*ἦ βραχύ τοι σθένος ἀνέρος· ἀλλὰ*
*ποικιλίᾳ πραπίδων*
*δεινὰ μὲν φῦλα πόντου*
*χθονίων τ' ἀερίων τε*
*δάμναται παιδεύματα.*

Plut. Mor. p. 959 D: *ἐπαινούσης τὸ Εὐριπίδειον* '*ἦ βραχύ — παιδεύματα*'. eundem locum habet Plut. Mor. p. 98 E. fabulam indicat Stob. Flor. 54, 6: *Εὐριπίδου*

*Αἰόλῳ.* '*βραχύ — πραπίδων*' (vs. 1 et 2). vs. 3 *δεινὰ μὲν πόντου* Plut. p. 98, *δαμᾷ φῦλα πόντου* p. 959. vs. 4 *ἀερίων* p. 98, *ἑανά* p. 959. vs. 5 *δάμναται* om. p. 959. versus 3—5 graviter laborant.

28

*παῖδες, σοφοῦ πρὸς ἀνδρὸς ὅστις ἐν βραχεῖ*
*πολλοὺς λόγους οἷός τε συντέμνειν καλῶς.*

Stob. Flor. 35, 3. locum repetiit Ar. Thesm. 177 haec Euripidi tribuens: *Ἀγάθων, σοφοῦ πρὸς ἀνδρὸς ὅστις ἐν βραχεῖ πολλοὺς καλῶς οἷός τε συντέμνειν λόγους.*

29

*σιγᾶν φρονοῦντα κρεῖσσον εἰς ὁμιλίαν*
*πεσόντα· τούτῳ δ' ἀνδρὶ μήτ' εἴην φίλος*
*μήτε ξυνείην, ὅστις αὐτάρκη φρονεῖν*
*πέποιθε, δούλους τοὺς φίλους ἡγούμενος.*

Stob. Flor. 22, 14. vs. 4 *τοὺς πέλας ποιούμενος* malim.

30

*ἀλλ' ὅμως οἰκτρός τις αἰὼν πατρίδος ἐκλιπεῖν ὅρους.*

Stob. Flor. 39, 5.

31

*ὀργῇ γὰρ ὅστις εὐθέως χαρίζεται,*
*κακῶς τελευτᾷ· πλεῖστα γὰρ σφάλλει βροτούς.*

Stob. Flor. 20, 7.

32

*κακῆς ἀπ' ἀρχῆς γίγνεται τέλος κακόν.*

Stob. Flor. 4, 11.

33

*οἴμοι, τίς ἀλγεῖν οὐκ ἐπίσταται κακοῖς;*
*τίς ἂν κλύων τῶνδ' οὐκ ἂν ἐκβάλοι δάκρυ;*

Stob. Flor. 114, 8. vs. 2 verba *οὐκ ἂν ἐκβάλοι δάκρυ* recurrunt Hecub. 298.

34

*γλυκεῖα γάρ μοι φροντὶς οὐδαμῇ βίου.*

Stob. Flor. 98, 32.

35

*ἀεὶ τὸ μὲν ζῇ, τὸ δὲ μεθίσταται κακόν,*
*τὸ δ' αὖ πέφηνεν αὖθις ἐξ ἀρχῆς νέον.*

Stob. Flor. 104, 10.

36

*γυναῖκα δ' ὅστις παύσεται λέγων κακῶς,*
*δύστηνος ἆρα κοὐ σοφὸς κεκλήσεται.*

Stob. Flor. 73, 13.

37

*μοχθεῖν ἀνάγκη· τὰς δὲ δαιμόνων τύχας*
*ὅστις φέρει κάλλιστ', ἀνὴρ οὗτος σοφός.*

Stob. Flor. 108, 19. verba *μοχθεῖν ἀνάγκη* iterum habes in fr. 719.

38

*ὁ χρόνος ἅπαντα τοῖσιν ὕστερον φράσει·*
*λάλος ἐστὶν οὗτος, οὐκ ἐρωτῶσιν λέγει.*

Stob. Ecl. 1, 8, 20 p. 232. vs. 2 *λάλος τις οὗτος κοὐκ ἐρωτῶσιν λέγει* Conington.

39

*τὰ πόλλ' ἀνάγκη διαφέρει τολμήματα.*

Stob. Flor. 50, 6.

40

Phot. Lex. p. 169, 7 et Suidas: *κλῆρος Ἑρμοῦ· συνήθεια ἀρχαία. ἔβαλλον οἱ κληροῦντες εἰς ὑδρίαν ἐλαίας φύλλον ὃ προσηγόρευον Ἑρμῆν, καὶ πρῶτον ἐξῄρουν τοῦτο, τιμὴν τῷ θεῷ ταύτην ἀπονέμοντες· ἐλάγχανεν δὲ ὁ μετὰ τὸν θεόν. Εὐριπίδης ἐν τῷ Αἰόλῳ μνημονεύει τοῦ ἔθους τούτου.*

41

*ἀκρατές*

Hesych.: *ἀκρατές· ἀσθενές. Εὐριπίδης Αἰόλῳ.*

42

*κατηρτυκέναι*

Antiatt. p. 105, 25: *κατηρτυκέναι ἐλέγοντο οἱ μηκέτι βόλον ἔχοντες ἵπποι. Εὐριπίδης Αἰόλῳ.*

## ΑΛΕΞΑΝΔΡΟΣ

Aelianus V. H. 2, 8: *κατὰ τὴν πρώτην καὶ ἐνενηκοστὴν ὀλυμπιάδα, καθ' ἣν ἐνίκα Ἐξαίνετος ὁ Ἀκραγαντῖνος στάδιον, ἀντηγωνίσαντο ἀλλήλοις Ξενοκλῆς καὶ Εὐριπίδης. καὶ πρῶτός γε ἦν Ξενοκλῆς ὅστις ποτὲ οὗτός ἐστιν, Οἰδίποδι καὶ Λυκάονι καὶ Βάκχαις καὶ Ἀθάμαντι σατυρικῷ· τούτου δεύτερος Εὐριπίδης ἦν Ἀλεξάνδρῳ καὶ Παλαμήδει καὶ Τρῳάσι καὶ Σισύφῳ σατυρικῷ. γελοῖον δέ (οὐ γάρ;) Ξενοκλέα μὲν νικᾶν, Εὐριπίδην δὲ ἡττᾶσθαι καὶ ταῦτα τοιούτοις δράμασι.* de mytho, quem in eiusdem tituli fabula Sophocles tractavit, cf. Hyginus fab. 91. *παραχορήγημα* in hac fabula fuisse docemur Schol. Eur. Hipp. 58: *ἕτεροι δέ εἰσι* (Hippolyti comites) *τοῦ χοροῦ, καθάπερ ἐν τῷ Ἀλεξάνδρῳ ποιμένες.* Ennium in Alexandro Euripidis vestigia legisse probabile est ex Varronis loco, vide fr. 65. ceterum *Ἀλεξάνδρα* cum Schol. Eur. habet Hesychius (fr. 64), quod falsum esse intellexit Osannus in Wolfii Anal. vol. 2 p. 529 sqq. huius fabulae videtur esse adesp. fr. 109: *ὡς Πριαμίδαισιν ἐμφερὴς ὁ βουκόλος.*

43

*καὶ χρόνου προὔβαινε πούς*

Ar. Ran. 100: *ὅστις φθέγξεται τοιουτονί τι παρακεκινδυνευμένον, αἰθέρα Διὸς δωμάτιον ἢ χρόνου πόδα.* ubi Schol. Rav. (cf. Suid. v. *παρακεκινδυνευμένον*): *χρόνου πόδα ἐξ Ἀλεξάνδρου 'καὶ — ποῦς'.* Ar. Ran. 311: *τίν' αἰτιάσωμαι θεῶν μ' ἀπολλύναι; αἰθέρα Διὸς δωμάτιον ἢ χρόνου πόδα;* cf. *δαρὸν χρόνου πόδα* Eur. Bacch. 889 et

qui *χρόνου πόδα* ex Euripide commemorat Eust. Opusc. p. 46, 32.

44

*παλαιὰ καινοῖς δακρύοις οὐ χρὴ στένειν.*

Stob. Flor. 124, 20.

45

Α. *οἶδ'· ἀλλὰ κάμπτειν τῷ χρόνῳ λύπας χρεών.*
Β. *χρῆν· τοῦτο δ' εἰπεῖν ῥᾷον ἢ φέρειν κακά.*

Stob. Flor. 114, 7. prior versus Priami videtur esse, alter Hecubae: libri personarum notas om.

46

*ὥστ' οὔτις ἀνδρῶν εἰς ἅπαντ' εὐδαιμονεῖ.*

Stob. Flor. 105, 33.

47

*πάντων τὸ θανεῖν· τὸ δὲ κοινὸν ἄχος*
*μετρίως ἀλγεῖν σοφία μελετᾷ.*

Stob. Flor. 108, 17.

48

*ὅθεν δὲ νικᾶν χρῆν σε, δυστυχεῖς, ἄναξ·*
*ὅθεν δέ σ' οὐ χρῆν, εὐτυχεῖς. δούλοισι γὰρ*
*τοῖς σοῖσι νικᾷς, τοῖς δ' ἐλευθέροισιν οὔ.*

Stob. Flor. 4, 32.

49

*σοφὸς μὲν οὖν εἶ, Πρίαμ', ὅμως δέ σοι λέγω·*
*δούλου φρονοῦντος μᾶλλον ἢ φρονεῖν χρεὼν*
*οὐκ ἔστιν ἄχθος μεῖζον οὐδὲ δώμασι*
*κτῆσις κακίων οὐδ' ἀνωφελεστέρα.*

Stob. Flor. 62, 14.

50

*ἤλεγχον· οὕτω γὰρ κακὸν δούλων γένος·*

*γαστὴρ ἅπαντα, τοὐπίσω δ' οὐδὲν σκοπεῖ.*

Stob. Flor. 62, 15.

51

*δούλων ὅσοι φιλοῦσι δεσποτῶν γένος,*
*πρὸς τῶν ὁμοίων πόλεμον αἴρονται μέγαν.*

Stob. Flor. 62, 16. vs. 1 *δεσπόται* Bothius.

52

*δούλους γὰρ οὐ*
*καλὸν πεπᾶσθαι κρείσσονας τῶν δεσποτῶν.*

Stob. Flor. 62, 19.

53

*περισσόμυθος ὁ λόγος, εὐγένειαν εἰ*
*βρότειον εὐλογήσομεν.*
*τὸ γὰρ πάλαι καὶ πρῶτον ὅτ' ἐγενόμεθα,*
*ὁμοίαν χθὼν ἅπασιν ἐξεπαίδευσεν ὄψιν·*
*διὰ δ' ἔκρινεν ἁ δόκησις βροτούς.*
*ἴδιον οὐδὲν ἔχομεν· μία δὲ γονὰ*
*τό τ' εὐγενὲς καὶ τὸ δυσγενές·*
*νόμῳ δὲ γαῦρον αὐτὸ κραίνει χρόνος.*
*τὸ φρόνιμον εὐγένεια, καὶ τὸ συνετὸν*
*ὁ θεὸς δίδωσιν, οὐχ ὁ πλοῦτος.*

Stob. Flor. 86, 2. scriptura et metrum incertum. vs. 4 et 5 inverso ordine in libris leguntur, correxit Meinekius. vs. 4 *ὄψιν*] fortasse *φύσιν* leg. vs. 5 *τεκοῦσα* libri, *δόκησις* Meinekius. v. 9 et 10 dubito num Euripidis sint.

54

*οὐκ ἔστιν ἐν κακοῖσιν εὐγένεια,*
*παρ' ἀγαθοῖσι δ' ἀνδρῶν.*

Stob. Flor. 86, 7.

55

*κακόν τι παίδευμ' ἦν ἄρ' εἰς εὐανδρίαν*
*ὁ πλοῦτος ἀνθρώποισιν αἵ τ' ἄγαν τρυφαί·*
*πενία δὲ δύστηνον μέν, ἀλλ' ὅμως τρέφει*
*μοχθοῦντ' ἀμείνω τέκνα καὶ δραστήρια.*

Stob. Flor. 97, 3. cf. Clemens Alex. Strom. IV p. 574: '*κακὸν οὖν ἦν τι παίδευμ' εἰς εὐανδρίαν — τρυφαί*' (vs. 1 et 2) *ἐν τῷ Ἀλεξάνδρῳ ὁ Εὐριπίδης πεποίηκεν.* vs. 1 *τι* om. Stobaei codex A. *βούλευμ'* Stob., *παίδευμ'* Clem. vs. 4 *μοχθεῖν τ' ἀμείνω* Conington.

56

*ἄδικον ὁ πλοῦτος, πολλὰ δ' οὐκ ὀρθῶς ποιεῖ.*

Stob. Flor. 93, 14.

57

*ἄναξ, διαβολαὶ δεινὸν ἀνθρώποις κακόν·*
*ἀγλωσσίᾳ δὲ πολλάκις ληφθεὶς ἀνὴρ*
*δίκαια λέξας ἧσσον εὐγλώσσου φέρει.*

Stob. Flor. 42, 3. vs. 2 et 3 affert Clemens Alex. Strom. I p. 340. vs. 2 *ἀγλωσσίᾳ* Clem., *εὐγλωσσίᾳ* Stob.

58

*ὦ παγκάκιστοι καὶ τὸ δοῦλον οὐ λόγῳ*
*ἔχοντες, ἀλλὰ τῇ τύχῃ κεκτημένοι*

Stob. Flor. 62, 18. vs. 2 *τῇ φύσει* Iacobsius.

59

*οἴμοι, θανοῦμαι διὰ τὸ χρήσιμον φρενῶν,*
*ἣ τοῖσιν ἄλλοις γίγνεται σωτηρία.*

Stob. Flor. 38, 20. vs. 2 *ἃ* libri, *ἣ* Barnesius ex Eur. Troad. 743 et Med. 14.

60

*ἐκ τῶν ὁμοίων οἱ κακοὶ γαμοῦσ' ἀεί.*

Stob. Flor. 69, 20.

61

χρόνος δὲ δείξει σ'· ᾧ τεκμηρίῳ μαθὼν
ἢ χρηστὸν ὄντα γνώσομαί σ' ἢ κακόν.

Clemens Alex. Strom. VI p. 742. vs. 2 γνώσομαί σε ἢ libri, γνώσομαι σέ γ' ἢ Grotius, γνωσόμεσθά σ' ἢ Schneidewinus, ego γνώσομαί σ' ἤτοι malim.

62

μισῶ σοφὸν
ὄντ' ἐν λόγοισιν, ἐς δ' ὄνησιν οὐ σοφόν.

Orion Flor. 1, 3 p. 247, 10: ἐξ ἀ$\overset{\varepsilon\nu}{N}$/. 'μισῶ — οὐ σοφόν'. ἐξ Ἀλεξάνδρου coniecit Schneidewin. Pacuvius Gellii 13, 8, 4: *ego odi homines ignava opera et philosopha sententia.*

63

Ἑκάβη, τὸ θεῖον ὡς ἄελπτον ἔρχεται
θνητοῖσιν, ἕλκει δ' οὔποτ' ἐκ ταὐτοῦ τύχας.

Stob. Flor. 111, 8. vs. 2 τύχας suspectum.

64

ἄρρητος κόρη

Hesych.: ἄρρητος κόρη· ἡ Περσεφόνη. Εὐριπίδης Ἀλεξάνδρᾳ. cf. Eur. Hel. 1307 et Carcin. fr. 5, 1.

65

Varro L. L. 7, 82: *apud Ennium — 'quapropter Parim pastores nunc Alexandrum vocant'. imitari dum voluit Euripidem et ponere* ἔτυμον, *est lapsus. nam Euripides quod Graeca posuit,* ἔτυμα *sunt aperta.*

ΑΛΚΜΕΩΝ Α ET Β

Ἀλκμέων Euripidem scripsisse, non Ἀλκμαίων, docet grammaticus Anecd. Oxon. vol. 2 p. 337, 4: Ἀλκμέωνας· τὸ ΜΕ ψιλόν, ὡς παρὰ Εὐριπίδῃ ἔχει ἡ χρῆσις. συστείλας τὸ Ε φυλάττει τὸ Ω ὡς κύριον ἐν τῇ γενικῇ. duas fuisse huius tituli fabulas nescivit Iohannes Malalas p. 72, 11: καὶ

*μετὰ Αἰσχύλον ἐβασίλευσεν αὐτῶν Ἀκμαίων ἔτη δύο· περὶ οὗ Εὐριπίδης ὁ σοφώτατος δρᾶμα ἐξέθετο.*

Prior fabula, *Ἀλκμέων ὁ διὰ Ψωφῖδος*, scenae commissa est olymp. 85, 2. Argum. Alcest.: *ἐδιδάχθη ἐπὶ Γλαυκίνου ἄρχοντος τὸ λ (πε΄ ὀλ.* Dindorfius). *πρῶτος ἦν Σοφοκλῆς, δεύτερος Εὐριπίδης Κρήσσαις, Ἀλκμαίωνι τῷ διὰ Ψωφῖδος, Τηλέφῳ, Ἀλκήστιδι.* de mytho cf. Hygin fab. 73 et Apollod. 3, 7, 5. Tatianus Orat. ad Graec. c. 24 p. 100: *τί μοι συμβάλλεται πρὸς ὠφέλειαν ὁ κατὰ τὸν Εὐριπίδην μαινόμενος καὶ τὴν Ἀλκμαίωνος μητροκτονίαν ἀπαγγέλλων; ᾧ μηδὲ τὸ οἰκεῖον πρόσεστι σχῆμα, κέχηνε δὲ μέγα καὶ ξίφος περιφέρει καὶ κεκραγὼς πίμπραται καὶ φορεῖ στολὴν ἀπάνθρωπον.*

*Ἀλκμέωνα τὸν διὰ Κορίνθου* spectat Scholion Ar. Ran. 67: *αἱ διδασκαλίαι φέρουσι, τελευτήσαντος Εὐριπίδου τὸν υἱὸν αὐτοῦ δεδιδαχέναι ὁμώνυμον ἐν ἄστει Ἰφιγένειαν τὴν ἐν Αὐλίδι, Ἀλκμαίωνα, Βάκχας.* de argumento cf. Apollod. 3, 7, 7: *Εὐριπίδης δὲ φησὶν Ἀλκμαίωνα κατὰ τὸν τῆς μανίας χρόνον ἐκ Μαντοῦς*) Τειρεσίου παῖδας δύο γεννῆσαι, Ἀμφίλοχον καὶ θυγατέρα Τισιφόνην, κομίσαντα δὲ εἰς Κόρινθον τὰ βρέφη δοῦναι τρέφειν Κορινθίων βασιλεῖ Κρέοντι, καὶ τὴν μὲν Τισιφόνην διενεγκοῦσαν εὐμορφίᾳ ὑπὸ τῆς Κρέοντος γυναικὸς ἀπεμποληθῆναι, δεδοικυίας μὴ Κρέων αὐτὴν γαμετὴν ποιήσηται. τὸν δὲ Ἀλκμαίωνα, ἀγοράσαντα ταύτην ἔχειν οὐκ εἰδότα τὴν ἑαυτοῦ θυγατέρα θεράπαιναν, παραγενόμενον δὲ εἰς Κόρινθον ἐπὶ τὴν τῶν τέκνων ἀπαίτησιν καὶ τὸν υἱὸν κομίσασθαι. καὶ Ἀμφίλοχος κατὰ χρησμοὺς Ἀπόλλωνος Ἀμφιλοχικὸν Ἄργος ᾤκησεν.*

Haud pauca fragmenta utrius sint fabulae nescimus; plerique enim auctores simpliciter *Ἀλκμαίωνα* afferunt, et fortasse illa *ὁ διὰ Ψωφῖδος* et *ὁ διὰ Κορίνθου* grammaticis debentur, non poetae.

66

*ἥκω δ' ἀτενὴς ἀπ' οἴκων*

---

*) Cf. Clemens Alex. Strom. I p. 399: *Τειρεσίας τε αὖ καὶ Μαντὼ ἐν Θήβαις, ὡς φησὶν Εὐριπίδης.*

Hesych.: *ἀτενής.* '*ἥκω — οἴκων*', *Εὐριπίδης Ἀλκμαίωνι τῷ διὰ Ψωφῖδος συντείνασα.*

67

*οὐδὲ πυνθάνεσθε ταῦτ', ὦ παρθένοι, τὰν τῇ πόλει;*

Ar. Eq. 1302: '*οὐδὲ — πόλει*'. ubi Schol.: *ὁ στίχος παρὰ τὰ ἐξ Ἀλκμαίωνος Εὐριπίδου.* Alcmaeonem *τὸν διὰ Ψωφῖδος* dici chronologia docet. Euripidea verba fortasse Aristophanes mutavit.

68

*ὁ φόβος, ὅταν τις σώματος μέλλῃ πέρι*
*λέγειν καταστὰς εἰς ἀγῶν' ἐναντίον,*
*τό τε στόμ' εἰς ἔκπληξιν ἀνθρώπων ἄγει*
*τὸν νοῦν τ' ἀπείργει μὴ λέγειν ἃ βούλεται.*
*τῷ μὲν γὰρ ἔνι κίνδυνος, ὁ δ' ἀθῷος μένει.*
*ὅμως δ' ἀγῶνα τόνδε δεῖ μ' ὑπεκδραμεῖν·*
*ψυχὴν γὰρ ἆθλα τιθεμένην ἐμὴν ὁρῶ.*

Stob. Flor. 8, 12: *Εὐριπίδου ἀκμ'ȷ* (sic Vind., *Εὐρ. ἐν Ἀλκμήνῃ* ed. Schowii, *Εὐριπίδου Ἀλκμαίωνος* Gaisfordus). '*ὁ φόβος — ὁρῶ*'. vs. 3 *ἀνθρώπων*] *ἀφασίαν τ'* Enger. post vs. 4 quaedam excidisse coniecit Bergkius. vs. 5 *ἔνι*] *ἔπι* Bergkius. vs. 6 *ὅμως*] *οὕπως* legendum videtur. vs. 7 *τιθεμένην*] *κειμένην* Lobeckius.

69

*μητέρα κατέκταν τὴν ἐμήν, βραχὺς λόγος.*
*ἑκὼν ἑκοῦσαν ἢ οὐ θέλουσαν οὐχ ἑκών;*

Aristot. Eth. Nic. 5, 11 p. 1136 a 13: *ὥσπερ Εὐριπίδης εἴρηκε λέγων ἀτόπως* '*μητέρα — οὐχ ἑκών*'. ubi Michael Ephes. fol. 74 b: *παρατίθεται τὰ τοῦ Εὐριπίδου ἰαμβεῖα ἐκ τοῦ Βελλεροφῶντος εἰς πίστωσιν τοῦ ἔστιν ἑκόντα ἀδικεῖσθαι.* Alcmaeonis esse locum vidit Welcker.

70

*μάλιστα μέν μ' ἐπῆρ' ἐπισκήψας πατήρ,*

*ὅθ' ἅρματ' εἰσέβαινεν εἰς Θήβας ἰών.*

Aristot. Eth. Nic. 3, 1 p. 1110a 28: *ἔνια δ' ἴσως οὐκ ἔστιν ἀναγκασθῆναι, ἀλλὰ μᾶλλον ἀποθανετέον παθόντι τὰ δεινότατα. καὶ γὰρ τὸν Εὐριπίδου Ἀλκμαίωνα γελοῖα φαίνεται τὰ ἀναγκάσαντα μητροκτονῆσαι.* ubi Scholia fol. 39b: *λέγει γὰρ παρ' αὐτῷ ὁ Ἀλκμαίων 'μάλιστα — ἰών'. διὰ γὰρ τούτων ἐντολὰς τοῦ πατρὸς διηγεῖται ὡς ἐντειλαμένου αὐτῷ ἀποκτεῖναι τὴν μητέρα καὶ καταρασαμένου αὐτοῦ, εἰ μὴ ἀποκτείνῃ, ἀκαρπίαν τε γῆς καὶ ἀτεκνίαν.*

71

*ὃς Οἰδίπουν ἀπώλεσ', Οἰδίπους δ' ἐμέ,*
*χρυσοῦν ἐνεγκὼν ὅρμον εἰς Ἄργους πόλιν*

Schol. Pind. Nem. 4, 32: *Ἀμφιτρύωνος· ἀντὶ πατρωνυμικοῦ τοῦ Ἀμφιτρυωνιάδου — ὡς δὲ Ὅμηρος λέγει Ὑπερίονος Ἠελίοιο ἀντὶ τοῦ Ὑπεριονίδου, καὶ Εὐριπίδης 'ὃς — πόλιν'. οὐ γὰρ ὁ Οἰδίπους ἤνεγκε χρυσοῦν ὅρμον εἰς Ἄργος, ἀλλ' ὁ Πολυνείκης καὶ ἔδωκεν Ἐριφύλῃ. ἔστιν οὖν Οἰδιποδίδης δέ με.* Alcmaeoni hos versus adscripsit Barnesius. vs. 1 extat ap. anon. de barb. et soloec. p. 291, 11 edit. meae (Anecd. Boiss. vol. 3 p. 239): *περὶ τὰ εἴδη (σολοικίζουσιν), ὃς — ἐμέ.*

72

*αἷμα γὰρ σὸν μήτηρ ἀπενίψατο*

Anonymus in Anecd. Oxon. vol. 3 p. 194, 3 de v. *αἷμα* disserens: *τοιοῦτον δέ τι δοκεῖ τὸ παρ' Εὐριπίδῃ ἐν τῷ διὰ Ψωφῖδος Ἀλκμαίωνι· αἷμα γάρ, φησί, σὸν μήτηρ ἀπενίψατο· τουτέστι καθάρσει τινὶ τὸν τῆς μητροκτονίας ἀπενίψατο μολυσμόν.* poetae verba non integra.

73

*χαῖρ', ὦ γεραιέ, τήν τε παῖδ' ἣν δῷς ἐμοί,*
*γαμβρὸς νομίζει καὶ πατὴρ σωτήρ τ' ἐμός.*

Photius Lex. p. 410, 7 et Suid.: *πενθερὰ τῷ νυμφίῳ ἡ τῆς κόρης μήτηρ καὶ πενθερὸς ὁ πατήρ· Εὐριπίδης δὲ γαμβρὸν αὐτὸν παρὰ τάξιν λέγει. ὁ γοῦν Ἀλκμαίων τῷ*

*Φηγεῖ φησί* '*καί — ἐμός*'. vs. 1 *παῖδα μὴ δῷς* Phot., *παῖδα μὴ δοὺς* Suid., *παῖδ' ἢν δῷς* Grotius, ego *παῖδ' ἐκδοὺς* malim. vs. 2 *νομίζου* scribendum suspicor.

74

*ἀργαίνειν*

Hesych.: *ἀργαίνειν· λευκαίνειν. Εὐριπίδης Ἀλκμαίωνι διὰ Ψωφῖδος.* Eust. Od. p. 1430, 62: *ἀργαίνειν τὸ λευκαίνειν παρ' Εὐριπίδῃ ἐν Ἀλκμαίωνι.*

---

75

*φίλαι φίλαι,*
*πρόβατε, μόλε τις ὧδε· ποδαπὸς ὁ ξένος*
*Κορίνθιος ἔμολεν ἀγχίαλος;*

Anecd. Paris. vol. 1 p. 20: *πάροδος δέ ἐστιν ᾠδὴ χοροῦ γινομένη ἅμα τῇ εἰσόδῳ, ὥσπερ — ἐν Ἀλκμαίωνι τῷ διὰ Κορίνθου* '*φίλαι — ἀγχίαλος*'. vs. 3 *Κορινθίοις* Hermannus. *ἄγχιμος* Meinekius.

76

*ὦ παῖ Κρέοντος, ὡς ἀληθὲς ἦν ἄρα,*
*ἐσθλῶν ἀπ' ἀνδρῶν ἐσθλὰ γίγνεσθαι τέκνα,*
*κακῶν δ' ὅμοια τῇ φύσει τῇ τοῦ πατρός.*

Stob. Flor. 90, 2: *τοῦ αὐτοῦ (Εὐρ.) Ἀλκμέωνι.* '*ὦ παῖ — πατρός*'. cum vs. 3 cf. Eupolis Com. 2 p. 463: *οὐ δεινὸν οὖν κριοὺς ἔμ' ἐκγεννᾶν τέκνα, ὄρνεις δ' ὁμοίους τοὺς νεοττοὺς τῷ πατρί.* utrius Alcmaeonis sit locus docet versus primus.

77

*ὁρᾶτε τὸν τύραννον, ὡς ἄπαις γέρων*
*φεύγει· φρονεῖν δὲ θνητὸν ὄντ' οὐ χρὴ μέγα.*

Stob. Flor. 22, 13. ad Alcmaeonem posteriorem hos versus rettulit Welcker.

78

*ἀπαιώνιστον*

Hesych.: *ἀπαιώνιστον· δύσφημον. Εὐριπίδης Ἀλκμαίωνι διὰ Κορίνθου.*

---

79

*γυναῖκα καὶ ὠφελίαν*
*καὶ νόσον ἀνδρὶ φέρειν*
*μεγίσταν ἐδίδαξα τῷμῷ λόγῳ.*

Stob. Flor. 69, 7: *Εὐριπίδου Ἀλκμέωνος.* '*γυναῖκα — λόγῳ*'. vs. 1 Zon. Lex. p. 1897: *ὠφέλεια· παρὰ δὲ τῷ Εὐριπίδῃ εὕρηται καὶ ὠφελία.* vs. 3 *μεγίστων* libri, *μεγίσταν* Grotius. *ἐδίδαξα*] *ἔδειξα* malim.

80

*βροτοῖς τὰ μείζω τῶν μέσων τίκτει νόσους·*
*θεῶν δὲ θνητοὺς κόσμον οὐ πρέπει φέρειν.*

Stob. Flor. 22, 8: *τοῦ αὐτοῦ* (*Εὐρ.*) *ἀλ*ˣ (sic codex Vind.). '*βροτοῖς — φέρειν*'.

81

*φεῦ φεῦ, τὰ μεγάλα μεγάλα καὶ πάσχει κακά.*

Stob. Flor. 49, 6: *Εὐριπίδου Ἀλκμέωνος.* '*φεῦ φεῦ — κακά*'.

82

*ταπεινὰ γὰρ χρὴ τοὺς κακῶς πεπραγότας*
*λέγειν, ἐς ὄγκον δ' οὐκ ἄνω βλέπειν τύχης.*

Stob. Flor. 22, 24: *Εὐριπίδου Ἀλκμαίωνι* (*ἀλ*ˣ Vind.). '*ταπεινὰ — τύχης*'.

83

*τὰ τῶν τεκόντων ὡς μετέρχεται θεὸς*
*μιάσματα*

Stob. Flor. 79, 15: *Εὐριπίδου Ἀλκμέωνος.* '*τὰ — μιάσματα*'.

84

*εἰ τοῦ τεκόντος οὐδὲν ἐντρέπει πατρός*

Priscianus Inst. XVIII, 211: *Attici ἐντρέπομαι τοῦτο καὶ τούτου.* — *Euripides in Alcmaone* ‘εἰ — πατρός’.

85

*ἢ τί πλέον εἶναι παῖδας ἀνθρώποις, πάτερ,*
*εἰ μὴ ἐπὶ τοῖς δεινοῖσιν ὠφελήσομεν;*

Stob. Flor. 79, 23: *Εὐριπίδου Ἀλκμέωνι.* ‘ἢ — ὠφελήσομεν’.

86

*μέτεστι τοῖς δούλοισι δεσποτῶν νόσου.*

Stob. Flor. 62, 20: *Εὐριπίδου Ἀλκμέωνος.* ‘μέτεστι — νόσου’.

87

*ὅστις δὲ δούλῳ φωτὶ πιστεύει βροτῶν,*
*πολλὴν παρ' ἡμῖν μωρίαν ὀφλισκάνει.*

Stob. Flor. 62, 22: *Εὐριπίδου Ἀλκμέωνος,* ‘ὅστις — ὀφλισκάνει’.

88

*γυναῖκες, ὁρμήθητε μηδ' ἀθυμίαν*
*σχέθῃ τις ὑμῶν· ταῦτα γὰρ σκεθρῶς ὁρᾶν*
*ἡμᾶς ἀνάγκη τοὺς νομίζοντας τέχνην*

Erotianus Gloss. Hippocr. p. 119, 14: σκεθροτέρης — ὁτὲ μὲν ἀντὶ τοῦ ἀληθοῦς, ὁτὲ δὲ ἀντὶ τοῦ ἀκριβοῦς λογισμοῦ τὸ σκεθρόν, ὡς καὶ Εὐριπίδης, ἐν Ἀλκμαίωνί φησι ‘γυναῖκες — τέχνην’. vs. 3 τέχνην] an τύχην leg.?

## ΑΛΚΜΗΝΗ

Omittit hanc fabulam marmor Albanum (C. I. 6047), argumentum ignoramus. Plautus Rudent. 1, 1, 4: *proh di inmortales, tempestatem quoiusmodi Neptunus nobis nocte hac misit proxuma!* — *non ventus fuit, verum Alcumena Euripidi.*

89

*πολὺς δ' ἀνεῖρπε κισσός, εὐφυὴς κλάδος,*
*ἀηδόνων μουσεῖον*

Ar. Ran. 93: ἐπιφυλλίδες ταῦτ' ἔστι καὶ στωμύλματα, χελιδόνων μουσεῖα, λωβηταὶ τέχνης. ubi Schol.: παρὰ τὰ ἐν Ἀλκμήνῃ Εὐριπίδου 'πολὺς — μουσεῖον'. cf. Suidas v. χελιδόνων μουσεῖα.

90

οὐ γάρ ποτ' εἴων Σθένελον εἰς τὸν εὐτυχῆ
χωροῦντα τοῖχον τῆς δίκης ἀποστερεῖν.

Ar. Ran. 536: μετακυλίνδειν αὑτὸν ἀεὶ πρὸς τὸν εὖ πράττοντα τοῖχον. ubi Schol. (cf. Suid. v. ταῦτα πρὸς ἀνδρός ἐστι): ὅμοιον τῷ ἐν Ἀλκμήνῃ Εὐριπίδου 'οὐ γάρ — ἀποστερεῖν'. vs. 2 δίκης σ' Grotius.

91

πόθεν δὲ πεύκης πανὸν ἐξεῦρες λαβεῖν;

Pollux 10, 117: πανός μέντοι καὶ φανός ἡ λαμπάς, ὡς ὅταν φῇ ἐν τῇ Ἀλκμήνῃ Εὐριπίδης 'πόθεν — λαβεῖν'.

92

ἀτρέκεια δ' ἄριστον ἀνδρὸς ἐν πόλει δικαίου
πέλει.

Stob. Flor. 43, 22. ἀτρέκεια δὲ ἄριστον ἀνδρὸς ὅπλον ἐνδίκου πέλει Herwerdenus.

93

ἴστω τ' ἄφρων ὢν ὅστις ἄνθρωπος γεγὼς
δῆμον κολούει χρήμασιν γαυρούμενος.

Stob. Flor. 45, 9. vs. 1 ἴστω τ' A, ἴστω δ' al.

94

ἀεὶ δ' ἀρέσκειν τοῖς κρατοῦσι· ταῦτα γὰρ
δούλοις ἄριστα· κἀφ' ὅτῳ τεταγμένος
εἴη τις, ἀνδάνοντα δεσπόταις ποιεῖν.

Stob. Flor. 62, 24.

95

τῶν γὰρ δυναστῶν πλεῖστος ἐν πόλει λόγος.

Stob. Flor. 45, 7: Ἀλκμήνη (sic Vind., AM locum om.).

'τῶν γὰρ — λόγος'. eundem versum habet Flor. Monac. 126 p. 276, 25.

96

ἀλλ' οὐδὲν ηὑγένεια πρὸς τὰ χρήματα·
τὸν γὰρ κάκιστον πλοῦτος εἰς πρώτους ἄγει.

Stob. Flor. 92, 1.

97

σκαιόν τι χρῆμα πλοῦτος ἥ τ' ἀπειρία.

Stob. Flor. 93, 15.

98

ἀλλ' οὐ γὰρ ὀρθῶς ταῦτα, γενναίως δ' ἴσως
ἔπραξας· αἰνεῖσθαι δὲ δυστυχῶν ἐγὼ
μισῶ· λόγος γὰρ τοὔργον οὐ νικᾷ ποτε.

Stob. Flor. 99, 16.

99

ἀλλ' εὖ φέρειν χρὴ συμφορὰς τὸν εὐγενῆ.

Stob. Flor. 108, 18. ἀλλ' εὖ] στερρῶς Men. mon. 480.

100

τὸν εὐτυχοῦντα χρὴ σοφὸν πεφυκέναι.

Stob. Flor. 45, 12. χρὴ] χρῆν Meinekius.

101

θάρσει, τάχ' ἂν γένοιτο· πολλά τοι θεὸς
κἀκ τῶν ἀέλπτων εὔπορ' ἀνθρώποις τελεῖ.

Stob. Flor. 111, 7.

102

ἀλλ' ἡμέρα τοι πολλὰ καὶ μέλαινα νὺξ
τίκτει βροτοῖσιν.

Stob. Flor. 98, 22.

103

σοφώτεροι γὰρ συμφορὰς τὰς τῶν πέλας
πάντες διαθρεῖν ἢ τύχας τὰς οἴκοθεν.

Stob. Flor. 114, 3.

104

*δεινόν τι τέκνων φίλτρον ἔθηκεν*
*θεὸς ἀνθρώποις.*

Stob. Flor. 83, 6.

105

*ἀμολγὸν νύκτα*

Hesych.: *ἀμολγὸν νύκτα· Εὐριπίδης Ἀλκμήνῃ, ζοφερὰν καὶ σκοτεινήν.*

## ΑΛΟΠΗ

Cercyonem et Alopen eandem fabulam dici intellexit Heathius. argumentum tradit Hyginus fab. 187. Harpocr. p. 13, 7: *Ἀλόπη — Κερκύονος θυγάτηρ, ἐξ ἧς καὶ Ποσειδῶνος Ἱπποθόων ὁ τῆς Ἱπποθοωντίδος φυλῆς ἐπώνυμος, ὡς Ἑλλάνικός τε ἐν β' Ἀτθίδος καὶ Εὐριπίδης ἐν τῷ ὁμωνύμῳ δράματι.* fortasse huius fabulae est fr. 509.

106

*ὁρῶ μὲν ἀνδρῶν τόνδε γυμνάδα στόλον*
*στείχοντα θεωρὸν ἐκ τρόχων πεπαυμένον.*

Ammon. de diff. voc. p. 137: *τρόχους δὲ βαρυτόνως λέγουσι τοὺς δρόμους· ἀναγινώσκομεν γάρ, ὡς φησίν, ἐν μὲν Ἀλόπῃ Εὐριπίδου 'ὁρῶ — πεπαυμένον', ἐν δὲ Μηδείᾳ 'ἀλλ' οἵδε παῖδες ἐκ τρόχων πεπαυμένοι'* (Med. 46). vs. 2 *στείχονθ' ἑῷον* Dindorfius, equidem suspicabar *ἀνδρῶν — στόλον στείχονθ' ὁρῶμεν* (cum v. scr. *στείχονθ' ἑώρων*) *ἐκ τρόχων πεπαυμένον.*

107

*. . γέμουσαν κύματος θεοσπόρου*

Eust. Il. p. 656, 58: *κῦμα τὸ γέννημα — ὡς δηλοῖ παρ' Εὐριπίδῃ ἐν Κερκυόνι τὸ 'γέμουσαν — θεοσπόρου' ἤγουν ἐγκυμονοῦσαν ἐκ Ποσειδῶνος.* ibid. p. 1234, 42: *ὅτι δὲ κῦμα δριμέως καὶ τὸ κατὰ γαστρὸς ἔμβρυον λέγεται — δηλοῖ Εὐριπίδης ἐν τῷ 'γέμουσαν — θεοσπόρου'.* Eust. Od. p. 1640, 60: *κῦμα καὶ τὸ κύημα, ὡς δηλοῖ καὶ Εὐριπίδης ἐν Κερκυόνι, οὗ τὴν θυγατέρα γέμειν ἔφη κύματος θεοσπό-*

ρου, τοῦ ἐκ Ποσειδῶνος δηλαδή. ibid. p. 1681, 42: παρὰ τῷ Εὐριπίδῃ ἔστιν εὑρεῖν ἐν τῷ κατ' αὐτὸν — Κερκυόνι, ὅπου λέγει τὴν ἐκείνου θυγατέρα 'γέμουσαν — θεοσπόρου'.

108

πλήσας δὲ νηδὺν οὐδ' ὄναρ κατ' εὐφρόνην
φίλοις ἔδειξεν αὐτόν.

Eust. Od. p. 1902, 1: Εὐριπίδης ἀνάπαλιν ἔφη ἐν Κερκυόνι ἐπὶ φίλου ἀμελοῦς, Ποσειδῶν δὲ ἦν ἐκεῖνος, τὸ 'πλήσας — αὐτόν'. cf. Eust. Od. p. 1607, 3: κατὰ τὸ 'πλήσας δὲ νηδύν', ὅπερ Εὐριπίδης ἐν Κερκυόνι φησὶν ἀντὶ τοῦ ἐγκύμονα ποιήσας.

109

γυνὴ γυναικὶ σύμμαχος πέφυκέ πως.

Stob. Flor. 73, 12.

110

οὐ μὴν σύ γ' ἡμᾶς τοὺς τεκόντας ᾐδέσω.

Etym. M. p. 420, 18: ᾐδέσθην σὺν τῷ Ι, παρὰ τὸ αἰδῶ περισπώμενον. Εὐριπίδης Ἀλόπῃ 'οὐ — ᾐδέσω'.

111

ἐγὼ δ', ὃ μὲν μέγιστον, ἄρξομαι λέγειν
ἐκ τοῦδε πρῶτον· πατρὶ πείθεσθαι χρεὼν
παῖδας νομίζειν τ' αὐτὸ τοῦτ' εἶναι δίκην.

Stob. Flor. 79, 29. eosdem versus habet Orion Flor. Eurip. 11 p. 265, 18.

112

τί δῆτα μοχθεῖν δεῖ γυναικεῖον γένος
φρενοῦντας; αἱ γὰρ εὖ τεθραμμέναι πλέον
σφάλλουσιν οἴκους τῶν παρημελημένων.

Stob. Flor. 74, 17.

113

ὀδῆσαι

Phot. Lex. p. 315, 13: ὀδῆσαι· τὸ ὠνήσασθαι. Εὐριπίδης Ἀλόπῃ καὶ Κύκλωπι.

## ΑΝΔΡΟΜΕΔΑ

Eratosth. Catast. 15: *Κηφεύς — ἦν δέ, ὡς Εὐριπίδης φησίν, Αἰθιόπων βασιλεύς, Ἀνδρομέδας δὲ πατήρ· τὴν δ' αὐτοῦ θυγατέρα δοκεῖ παραθεῖναι τῷ κήτει βοράν, ἣν Περσεὺς ὁ Διὸς διέσωσε, δι' ἣν καὶ αὐτὸς ἐν τοῖς ἄστροις ἐτέθη Ἀθηνᾶς γνώμῃ.* ibid. 17: *Ἀνδρομέδα. αὕτη κεῖται ἐν τοῖς ἄστροις διὰ τὴν Ἀθηνᾶν τῶν Περσέως ἄθλων ὑπόμνημα, διατεταμένη τὰς χεῖρας, ὡς καὶ προετέθη τῷ κήτει· ἀνθ' ὧν σωθεῖσα ὑπὸ τοῦ Περσέως οὐχ εἵλετο τῷ πατρὶ συμμένειν οὐδὲ τῇ μητρί, ἀλλ' αὐθαίρετος εἰς τὸ Ἄργος ἀπῆλθε μετ' ἐκείνου εὐγενές τι φρονήσασα. λέγει δὲ καὶ Εὐριπίδης σαφῶς ἐν τῷ περὶ αὐτῆς γεγραμμένῳ δράματι.* cf. Hygini Poet. Astron. 2, 9—11 p. 443 sq. Schol. Germ. Caes. Arat. p. 77 78 137 138 139 140. pluribus mythum persequuntur Apollod. 2, 4, 3 Ov. Met. 4, 662 sqq. Hyginus fab. 64 al. fabula quando scenae commissa fuerit docet Schol. Ar. Ran. 53: *τῶν καλλίστων Εὐριπίδου δραμάτων ἡ Ἀνδρομέδα. διὰ τί δὲ μὴ ἄλλο τι τῶν πρὸ ὀλίγου διδαχθέντων καὶ καλῶν, Ὑψιπύλης Φοινισσῶν Ἀντιόπης; ἡ δὲ Ἀνδρομέδα ὀγδόῳ ἔτει* (olymp. 91, 4) *προεισῆλθεν.* cf. Schol. Ar. Av. 348: *καὶ δοῦναι ῥύγχει φορβάν] παρὰ τὸ Εὐριπίδου ἐξ Ἀνδρομέδας 'ἐκθεῖναι κήτει φορβάν, ὡς Ἀσκληπιάδης τὰ μηδέπω διδαχθείσης τῆς τραγῳδίας παρατιθέμενος.* Ar. Thesm. 1060: *Ἠχὼ λόγων ἀντῳδὸς ἐπικοκκάστρια, ἥπερ πέρυσιν ἐν τῷδε ταὐτῷ χωρίῳ Εὐριπίδῃ καὐτὴ ξυνηγωνιζόμην.* ubi Schol.: *ἐπεὶ πέρυσιν* (anno ante olymp. 92, 1) *ἐδιδάχθη ἡ Ἀνδρομέδα.* Schol. Ar. Thesm. 1012: *Ἀνδρομέδαν] πιθανῶς· συνδεδίδακται γὰρ τῇ Ἑλένῃ.* praestantiam tragoediae vel illud arguit quod ab Aristophane cum in aliis comoediis tum in Thesmophoriazusis dedita opera ridetur. eandem Alexander Macedo admiratus est, si vera sunt quae tradit Nicobule Ath. XII p. 537 D: *ὅτι ἐν τῷ τελευταίῳ δείπνῳ αὐτὸς ὁ Ἀλέξανδρος ἐπεισόδιόν τι μνημονεύσας ἐκ τῆς Εὐριπίδου Ἀνδρομέδας ἠγωνίσατο.* nec posteriore tempore illustrissimae fabulae gloriam extinctam esse colligimus ex iis quae de Abderitis narrat Lucianus de conscr. hist. c. 1 vol. 2 p. 2: *ἅπαντες γὰρ ἐς τραγῳδίαν παρεκινοῦντο καὶ ἰαμβεῖα ἐφθέγγοντο καὶ μέγα ἐβόων, μάλιστα δὲ τὴν Εὐριπίδου Ἀνδρομέδαν*

*ἐμονῴδουν καὶ τὴν τοῦ Περσέως ῥῆσιν ἐν μέρει διεξῄεσαν, καὶ μεστὴ ἦν ἡ πόλις ὠχρῶν ἁπάντων καὶ λεπτῶν τῶν ἑβδομαίων ἐκείνων τραγῳδῶν, ‘σὺ δ' ὦ θεῶν τύραννε κἀνθρώπων Ἔρως’ καὶ τὰ ἄλλα μεγάλῃ τῇ φωνῇ ἀναβοώντων.* cf. Eunapius p. 80 ed. Bonn. quo de loco dixit Meinekius Herm. vol. 2 p. 403 sq. cf. Bernays ibid. vol. 3 p. 316. Euripideae fabulae personam spectat corrupta glossa Hesychii: *περισχαδόν· τὸν ὑποκρινόμενον τὸν Περσέα ὡς πτωχὸν καὶ φθισίμορφον* (cf. Meinekius Com. 4 p. 702). Ennii Andromedae quae supersunt collegit Ribbeckius p. 23 sq.

114

ΑΝΔΡ. *Ὦ νὺξ ἱερά,*
*ὡς μακρὸν ἵππευμα διώκεις*
*ἀστεροειδέα νῶτα διφρεύουσ'*
*αἰθέρος ἱερᾶς*
*τοῦ σεμνοτάτου δι' Ὀλύμπου.*

Ar. Thesm. 1065: ‘*ὦ νὺξ — δι' Ὀλύμπου*’. ubi Scholia: *ὁ Μνησίλοχος* (huic enim Aristophanes verba tribuit) *ὡς Ἀνδρομέδα. τοῦ προλόγου τῆς Ἀνδρομέδας εἰσβολή.* vs. 1—3 ex Euripide afferuntur in Schol. Theocr. 2, 166: *ὅτι δὲ ἐπὶ ἅρματος ὀχεῖται ἡ νύξ, Εὐριπίδης ‘ὦ νὺξ — νῶτα διφρεύουσα’.* vs. 1 et 2 Schol. Oribas. vol. 3 p. 684: *καὶ παρὰ τῷ τραγικῷ ‘νὺξ ἱερά’. ἐπιφέρει γοῦν ‘ὡς μακρὸν ἵππευμα διώκεις’.* Caelius Aurelianus de morbis chronicis I, 4, 60 p. 291: *velut tragicus poeta sacram noctem hoc est magnam appellavit.* Scholion V Il. *Ω*, 12: *ἐμφαίνει ἄδηλον εἶναι τὸν* (?) *ἐπὶ τῷ μήκει τῆς νυκτός, ὡς καὶ ἡ Ἀνδρομέδα ‘ὦ νὺξ ἱερά’.* vs. 3 *ἀστεροειδέα* vitiosum. vs. 4 *αἰθέρος ἁγνᾶς* Herwerdenus. Euripidem expressit Ennius Andromed. fr. 1: (nox) *quae cava caeli signitenentibus conficis bigis.*

115

*τί ποτ' Ἀνδρομέδα περίαλλα κακῶν*
*μέρος ἐξέλαχον, θανάτου τλήμων*
*μέλλουσα τυχεῖν;*

Ar. Thesm. 1070: ΜΝΗΣ. ‘*τί ποτ' — ἐξέλαχον*’.

ΕΥΡ. *μέρος ἐξέλαχον.* ΜΝΗΣ. *'θανάτου τλήμων'.* ΕΥΡ. *θανάτου τλήμων.* ubi Scholia vs. 1070: *καὶ τοῦτο ἐκ τοῦ προλόγου* (Andromedae Euripideae). et 1072: *λείπει 'μέλλουσα τυχεῖν'.*

116

*ποῖαι λιβάδες, ποία σειρήν*

Ar. Lys. 963: *ποία ψυχή, ποῖοι δ' ὄρχεις, ποία δ' ὀσφύς.* ubi Schol.: *παρὰ τὰ ἐξ Ἀνδρομέδας 'ποῖαι — σειρήν'.*

117

*φίλαι παρθένοι, φίλαι μοι*

Ar. Thesm. 1015: *φίλαι παρθένοι φίλαι, πῶς ἂν ἐπέλθοιμι καὶ τὸν Σκύθην λάθοιμι*; ubi Schol.: *παρὰ τὰ ἐξ Ἀνδρομέδας Εὐριπίδου 'φίλαι παρθένοι, φίλαι μοι'. τὰ δὲ ἐπιφερόμενα πρὸς τὸ αὐτὸ χρήσιμον.* itaque etiam verbis *πῶς ἂν ἐπέλθοιμι* Euripidea subesse videntur; quid mutarit Aristophanes nescimus.

118

*προσαυδῶ σὲ τὰν ἐν ἄντροις,*
*ἀπόπαυσον ἔασον Ἀ-*
*χοῖ με σὺν φίλαισιν*
*γόου πόθον λαβεῖν.*

Ar. Thesm. 1018: *κλύεις ὦ πρὸς Αἰδοῦς σε τὰν ἐν ἄντροις, κατάνευσον, ἔασον ὡς τὴν γυναῖκά μ' ἐλθεῖν.* ubi Schol.: *πρὸς τὴν ἠχὼ Ἀνδρομέδα λέγει 'προσαιδουσσαι — λαβεῖν'.* cf. Schol. Ar. Thesm. 1059: *εἰσήγαγε κακοστένακτον τὴν Ἠχὼ ὁ Εὐριπίδης ἐν τῇ Ἀνδρομέδᾳ.* vs. 2 *προσαιδουσσαι τὰς* cod., *πρὸς Αἰδοῦς σὲ τὰν* Seidler, *προσαυδῶ σὲ τὰν* Hermannus. vs. 4 *γόου κόρον* Herwerdenus.

119

*συνάλγησον, ὡς ὁ κάμνων*
*δακρύων μεταδοὺς ἔχει*
*κουφότητα μόχθων.*

Stob. Flor. 113, 2.

120

*ἄνοικτος ὃς τεκών σε τὴν*
*πολυπονωτάτην βροτῶν*
*μεθῆκεν Ἅιδᾳ πάτρας ὑπερθανεῖν.*

Ar. Thesm. 1022: *ἄνοικτος ὅς μ' ἔδησε τὸν πολυπονώτατον βροτῶν.* ubi Schol.: *παρὰ τὸ τοῦ χοροῦ ἐν Ἀνδρομέδᾳ 'ἄνοικτος — ὑπερθανεῖν'.*

121

*ἐκθεῖναι κήτει φορβάν*

Ar. Av. 348: *ὡς δεῖ τώδ' οἰμώζειν ἄμφω καὶ δοῦναι ῥύγχει φορβάν.* ubi Schol.: *παρὰ τὸ Εὐριπίδου ἐξ Ἀνδρομέδας 'ἐκθεῖναι — φορβάν', ὡς Ἀσκληπιάδης τὰ μηδέπω διδαχθείσης τῆς τραγῳδίας παρατιθέμενος, ὡς καὶ τὸ 'σὰ γὰρ ταῦτα πάντα καὶ τὸ τῇδε καὶ τὸ κεῖσε'* (Ar. Av. 423) *παρὰ τὰ ἐκ τῶν μηδέπω διδαχθεισῶν Φοινισσῶν φησίν, 'κἀκεῖσε καὶ τὸ δεῦρο, μὴ δόλος τις ᾖ'* (Eur. Phoen. 266).

122

Ar. Thesm. 1029—1041:

*ὁρᾷς; οὐ χοροῖσιν*
*οὐδ' ὑφ' ἡλίκων νεανίδων*
*. . . . ἕστηκ' ἔχουσ',*
*ἀλλ' ἐν πυκνοῖς δεσμοῖσιν ἐμπεπλεγμένη*
*κήτει βορὰ . . . πρόκειμαι.*
*γαμηλίῳ μὲν οὐ ξὺν*
*παιῶνι, δεσμίῳ δέ,*
*γοᾶσθέ μ', ὦ γυναῖκες, ὡς*
*μέλεα μὲν πέπονθα μέλεος,*
*ὦ τάλας ἐγὼ τάλας,*
*ἀπὸ δὲ συγγόνων τάλαν' ἄνομα πάθεα*
*φῶτα λιτομέναν,*
*πολυδάκρυτον Ἀίδα γόον φλέγουσαν*

et mox vs. 1047—1055:

*ἰὼ μοίρας ἄτεγκτε δαίμων·*
*ὢ κατάρατος ἐγώ· τίς ἐμὸν οὐκ ἐπόψεται*
[illegible] *ἀμέγαρτον ἐπὶ κακῶν παρουσίᾳ;*

*εἴθε με πυρφόρος αἰθέρος ἀστὴρ*
*τὸν βάρβαρον ἐξολέσειεν.*
*οὐ γὰρ ἔτ' ἀθανάταν φλόγα λεύσσειν*
*ἐστὶν ἐμοὶ φίλον, ὡς ἐκρεμάσθην*
*λαιμοτόμητ' ἄχη δαιμόνι', αἰόλαν*
*νέκυσιν ἐπὶ πορείαν.*

Hoc canticum, quod Aristophanes Mnesilocho Andromedae partes agenti tribuit, maximam partem ex Euripidea tragoedia expressum videtur. Scholia vs. 1030: *πάλιν ἐξ Ἀνδρομέδας.* 1034: *καὶ τοῦτο ἐξ Ἀνδρομέδας.* 1040: *καὶ ταῦτα ἐξ Ἀνδρομέδας.* versu 1031 Aristophanicum *ψήφων κημὸν* omisi, item *Γλαυκέτῃ* 1033. versus 1038 si Andromedae Euripideae verba refert, *τάλαιν' ἐγὼ τάλαινα* expectes, sicut 1051 *τὰν δύσμορον ἐξολέσειεν.* non audemus tamen quid Aristophanes mutarit definire. vs. 1050 *πυρφόρος ἀστεροπητὴς* suasit Herwerdenus. cum vs. 1048 cf. Eur. Andromach. 838.

123

*ὦ θεοί, τίν' εἰς γῆν βαρβάρων ἀφίγμεθα*
*ταχεῖ πεδίλῳ; διὰ μέσου γὰρ αἰθέρος*
*τέμνων κέλευθον πόδα τίθημ' ὑπόπτερον.*

Ar. Thesm. 1098: '*ὦ θεοί — ὑπόπτερον*'. ubi Schol.: *εἰς Περσέα ἐξ Ἀνδρομέδας τρία τὰ πρῶτα. καὶ λοιπὸν ἐπέζευξε τὰ ἑξῆς.* Meinekius his adiungendum suspicatur versum adespoton (fr. 131) Eusebii P. E. p. 854 D: *ὑπέρ τε πόντου χεῦμ' ὑπέρ τε Πλειάδα.*

124

*ἔα, τίν' ὄχθον τόνδ' ὁρῶ περίρρυτον*
*ἀφρῷ θαλάσσης; παρθένου τ' εἰκώ τινα*
*ἐξ αὐτομόρφων λαΐνων τυκισμάτων*
*σοφῆς ἄγαλμα χειρός.*

Ar. Thesm. 1105: *ἔα, τίν' ὄχθον τόνδ' ὁρῶ καὶ παρθένον θεαῖς ὁμοίαν, ναῦν ὅπως ὡρμισμένην.* ubi Scholia: *πάλιν ἐξ Ἀνδρομέδας* '*ἔα — εἰκώ τινα*' (vs. 1 et 2). Maximus in Dionys. Areop. vol. 2 p. 234 C et Georg. Pachym. ibid. vol. 1 p. 564 D: *αὐτοφυὲς δὲ ἄγαλμα φησὶν ὃ γίνεται ἐν*

ὕλῃ ἀτμήτῳ — ὡς δηλοῖ καὶ Εὐριπίδης ἐν Ἀνδρομέδᾳ ‘παρθένου — χειρός’ (vs. 2—4). Euripidem imitatur Ovidius Met. 4, 675: *marmoreum ratus esset opus.* quae Aristophanes habet, *παρθένον θεαῖς ὁμοίαν, ναῦν ὅπως ὡρμισμένην*, ex Andromeda derivata esse non crediderim: *ναῦς ὅπως ὡρμισμένος* dixit Eur. Herc. F. 1094.

125

ΠΕΡΣ. *ὦ παρθέν', οἰκτείρω σε κρεμαμένην ὁρῶν.*
ΑΝΔΡ. *σὺ δ' εἶ τίς ὅστις τοὐμὸν ᾤκτειρας πάθος;*
ΠΕΡΣ. *Περσεὺς πρὸς Ἄργος ναυστολῶν*

Ar. Thesm. 1110: ‘*ὦ — ὁρῶν*’. ibid. 1058: *σὺ δ' εἶ τίς ἥτις τοὐμὸν ᾤκτειρας πάθος*; ibid. 1101: *Περσεὺς πρὸς Ἄργος ναυστολῶν τὸ Γοργόνος κάρα κομίζων.* ex Eur. Andromeda hos versus derivatos esse dudum intellexerunt, vs. 1 et 2 iam Barnesius coniunxit, versu 3 quem his adiungere non dubitavi, exclusi verba *τὸ Γοργόνος κάρα κομίζων* huic loco minime apta.

126

*ὦ παρθέν' εἰ σώσαιμί σ', εἴσει μοι χάριν;*

Diog. L. 4, 29 de Arcesilao: *καὶ αὐτοῦ Κράντωρ ἐρωτικῶς διατεθεὶς ἐπύθετο τὰ ἐξ Ἀνδρομέδας Εὐριπίδου προενεγκάμενος ‘ὦ — χάριν;’ καὶ ὃς τὰ ἐχόμενα* (fr. 133) ‘*ἄγου με, ὦ ξένε, εἴτε δμωὰ ἐθέλεις εἴτ' ἄλοχον*’. Schol. BLV Il. Ξ, 235: *εἰδέω χάριν*] *Ἀττικῶς ἀντὶ τοῦ ὀφλήσω, ὡς Εὐριπίδης ‘ὦ — χάριν’*. Suidas v. *εἴσῃ*: *Εὐριπίδης ‘εἰ σώσαιμί σ', ἐξ Ἀνδρομέδας, ὦ παρθένε, εἴσῃ μοι χάριν;’* parodia hunc versum expressit Eubulus Com. 3 p. 218.

127

*σιγᾷς· σιωπὴ δ' ἄπορος ἑρμηνεὺς λόγων.*

Stob. Flor. 34, 12.

128

*τὰς συμφορὰς γὰρ τῶν κακῶς πεπραγότων*
*οὐπώποθ' ὕβρισ', αὐτὸς ὀρρωδῶν παθεῖν.*

Stob. Flor. 112, 4 et sine fabulae nomine 5, 17. Persei

esse verba testatur Ammonius Valck. p. 25 (Eranius Phil. p. 158): *ὀρρωδεῖν εἴρηται ἐπὶ τοῦ εὐλαβεῖσθαι, καθὰ Εὐριπίδης τὸν Περσέα εἰσάγει λέγοντα ‘τὰς — παθεῖν’.*

129

*ὦ ξένε, κατοίκτειρόν με τὴν παναθλίαν,*
*λῦσόν με δεσμῶν.*

Ar. Thesm. 1107: ‘*ὦ — δεσμῶν*’. ad Andromedam haec verba rettulit Matthiae.

130

*μή μοι προτείνων ἐλπίδ' ἐξάγου δάκρυ.*
*γένοιτο τἂν πόλλ' ὧν δόκησις οὐκ ἔνι.*

Stob. Flor. 111, 2. prior versus Andromedae, alter Persei videtur esse.

131

*ἀλλ' ἡδύ τοι σωθέντα μεμνῆσθαι πόνων.*

Stob. Flor. 29, 57. eundem versum afferunt Plut. Mor. p. 630 E Macrob. Sat. 7, 2, 9 Anecd. Boiss. vol. 1 p. 159, item Aristot. Rhet. 1, 11 p. 1370 b 4, ubi Scholia fol. 22 b 39: *Εὐριπίδου τὸ ῥητόν.* respiciunt Themistius p. 55 D et Epictetus fr. 121 vol. 3 p. 104. Latine reddidit Cicero de Fin. 2, 32, 105: *suavis laborum est praeteritorum memoria.* *ἀλλ'* Aristot. Stob., *ὡς* Plut. Macrob. Anecd. Boiss. *τοι* Stob. Aristot. Macrob., *τῷ* Anecd. Boiss., *τι τὸν* Plut. *σωθέντα*] *σωθέντι* Themist. Epictet. Anecd. Boiss.

132

*σὺ δ' ὦ τύραννε θεῶν τε κἀνθρώπων Ἔρως,*
*ἢ μὴ δίδασκε τὰ καλὰ φαίνεσθαι καλά,*
*ἢ τοῖς ἐρῶσιν εὐτυχῶς συνεκπόνει*
*μοχθοῦσι μόχθους ὧν σὺ δημιουργὸς εἶ.*
*καὶ ταῦτα μὲν δρῶν τίμιος θεοῖς ἔσει,*
*μὴ δρῶν δ' ὑπ' αὐτοῦ τοῦ διδάσκεσθαι φιλεῖν*
*ἀφαιρεθήσει χάριτας αἷς τιμῶσί σε.*

Ath. XIII p. 561 B: *ἕτερος δέ τις προσέθηκε τῶν Εὐρι-*

πίδου τάδε 'σὺ δ' — τιμῶσί σε'. vs. 1—3 habet Stobaeus Flor. 64, 6. Andromedae esse locum docet qui vs. 1 affert Lucianus (vide supra p. 25 sq). vs. 3 εὐτυχῶς συνεκπόνει] εὐμενὴς παρίστασο Stob. vs. 5 θεοῖς] θεῶν Dobraeus.

133

ἄγου δέ μ', ὦ ξέν', εἴτε πρόσπολον θέλεις
εἴτ' ἄλοχον εἴτε δμωίδ' . . . . .

Herodianus π. σχημάτων p. 58, 10 (Rhet. vol. 8 p. 602): παρὰ τῷ Εὐριπίδῃ εἰσάγεται ἡ Ἀνδρομέδα λέγουσα τῷ Περσεῖ 'ἄγου — δμωίδα'. cf. Diog. L. 4, 29 allatum fr. 126. Suidas: ἄλοχος· γαμετή. Εὐριπίδου ἐξ Ἀνδρομέδας 'ἄγου με, ὦ ξένε, εἴτε δμωίδ' ἐθέλεις εἴτ' ἄλοχον'.

134ᵃ

ὁρῶ δὲ πρὸς τῆς παρθένου θοινάματα

Tiberius περὶ σχημάτων Rhet. vol. 8 p. 576: τοὺς δὲ χρόνους ἀλλοιοῦσιν — ὁποῖόν ἐστι καὶ τὸ παρὰ τῷ Εὐριπίδῃ ἐν τῇ Ἀνδρομέδᾳ 'ὁρῶ — θυνάματα', ἀντὶ τοῦ εἶδον. Fritzschius cum hoc versu coniungit fr. 134ᵇ.

134ᵇ

κῆτος θοάζον ἐξ Ἀτλαντικῆς ἁλός

Plut. Mor. p. 22 E: τῷ θοάζειν ἢ τὸ κινεῖσθαι σημαίνουσιν ὡς Εὐριπίδης 'κῆτος — ἁλός', ἢ τὸ καθέζεσθαι. Schol. Eur. Or. 335: 'κῆτος θοάζον' Ἀνδρομέδᾳ.

135

πᾶς δὲ ποιμένων ἔρρει λεώς,
ὃ μὲν γάλακτος κίσσινον φέρων σκύφος
πόνων ἀναψυκτῆρ', ὃ δ' ἀμπέλων γάνος.

Ath. XI p. 477 A (Eust. Od. p. 1632, 9) et Macrob. Sat. 5, 21, 13. vs. 2 σκύφον Macrob.

136

οἱ κατ' οἶκον ἀμφὶ δαῖτα καὶ τράπεζαν

Anecd. Bekk. p. 339, 6: ἄγορος καὶ ἄγοροι. Εὐριπίδης

*Ἀνδρομέδᾳ* '*οἵ — τράπεζαν*'. *Αἰθίοπες σημαίνει*. locus mutilus et corruptus. Fritzschius temptavit: *οἵ κατ' οἶκον ἀμφὶ δαῖτα καὶ τράπεζαν* [*ἐν ἀγόροις*] *Αἰθίοπες*. *σημαίνει* [*δὲ τὴν ἀγοράν*]. alii *σημαίνει* ex *ἥμενοι* ortum putant.

137

*τέλειος*

Schol. Plat. p. 916 a 28: *ἐκιρνῶντο γὰρ ἐν αὐταῖς* (sc. *ταῖς συνουσίαις*) *κρατῆρες τρεῖς. καὶ τὸν μὲν πρῶτον Διὸς Ὀλυμπίου καὶ θεῶν Ὀλυμπίων ἔλεγον, τὸν δὲ δεύτερον ἡρώων, τὸν δὲ τρίτον σωτῆρος — ἔλεγον δὲ αὐτὸν καὶ τέλειον, ὡς Εὐριπίδης Ἀνδρομέδᾳ καὶ Ἀριστοφάνης Ταγηνισταῖς*.

138

*νεότης μ' ἐπῆρε καὶ θράσος τοῦ νοῦ πλέον*.

Stob. Flor. 52, 2 et Lucianus Necyom. 2 vol. 1 p. 456. *θράσος*] *σθένος* Stob.

139

*ἔρωτα δεινὸν ἔχομεν· ἐκ δὲ τῶν λόγων*
*ἑλοῦ τὰ βέλτισθ', ὡς ἄπιστόν ἐστ' ἔρως*
*κἂν τῷ κακίστῳ τῶν φρενῶν ἄρχειν φιλεῖ*.

Stob. Flor. 64, 7. vs. 3 *οἰκεῖν* ed., *ἀκεῖν* M, *ναρκεῖν* A, *ἄρχειν* Meinekius, qui proposuit: [*δεσπότην*] *ἔρωτα δεινὸν ἔχομεν*, et deinde *ὡς ἄπειστόν ἐστ' ἔρως κἂν τῷ κρατίστῳ τῶν φρενῶν ἄρχειν φιλεῖ*.

140

*ὅσοι γὰρ εἰς ἔρωτα πίπτουσιν βροτῶν,*
*ἐσθλῶν ὅταν τύχωσι τῶν ἐρωμένων,*
*οὐκ ἔσθ' ὁποίας λείπεται τόδ' ἡδονῆς*.

Stob. Flor. 63, 22.

141

*χρήμασιν γὰρ εὐτυχῶ·*
*ταῖς συμφοραῖσι δ', ὡς ὁρᾷς, οὐκ εὐτυχῶ*.

Stob. Flor. 98, 31.

142

*ἐγὼ δὲ παῖδας οὐκ ἐῶ νόθους λαβεῖν·*
*τῶν γνησίων γὰρ οὐδὲν ὄντες ἐνδεεῖς*
*νόμῳ νοσοῦσιν· ὅ σε φυλάξασθαι χρεών.*

Stob. Flor. 77, 12. vs. 1 *λαβεῖν*] *λέγειν* Th. Gomperzius.

143

*χρυσὸν μάλιστα βούλομαι δόμοις ἔχειν·*
*καὶ δοῦλος ὢν γὰρ τίμιος πλουτῶν ἀνήρ,*
*ἐλεύθερος δὲ χρεῖος ὢν οὐδὲν σθένει.*
*χρυσοῦ νόμιζε σαυτὸν εἵνεκ' εὐτυχεῖν.*

Stob. Flor. 91, 20. versum 4 a superioribus seiungendum suspicatus est Musgravius.

144

*αἰαῖ, τί δράσω; πρὸς τίνας στρεφθῶ λόγους;*
*ἀλλ' οὐκ ἂν ἐνδέξαιτο βάρβαρος φύσις.*

Ar. Thesm. 1128: '*αἰαῖ — φύσις*'. Euripideae Andromedae esse hos versus e loci nexu collegit Matthiae, cf. Fritzschius in Ar. Thesm. p. 491.

145

*μὴ τὸν ἐμὸν οἴκει νοῦν· ἐγὼ γὰρ ἀρκέσω.*

Ar. Ran. 105: *μὴ τὸν ἐμὸν οἴκει νοῦν· ἔχεις γὰρ οἰκίαν.* ubi Schol. (cf. Suid. v. *μὴ τὸν ἐμὸν οἴκει*): *καὶ τοῦτο παρὰ τὸ ἐν Ἀνδρομάχῃ* (*Ἀνδρομέδᾳ* Matth.) '*μὴ — ἀρκέσω*'.

146

*ἢ που τὸ μέλλον ἐκφοβεῖ καθ' ἡμέραν·*
*ὡς τοῦ γε πάσχειν τοὐπιὸν μεῖζον κακόν.*

Stob. Flor. 99, 11.

147

*εὔκλειαν ἔλαβον οὐκ ἄνευ πολλῶν πόνων.*

Stob. Flor. 29, 20.

148

ὦ τλῆμον, ὡς σοὶ τὰς τύχας μὲν ἀσθενεῖς
ἔδωχ' ὁ δαίμων, μέγα φρονοῦσι δ' οἱ λόγοι.

Stob. Flor. 81, 6.

149

οὐκ ἔστιν ὅστις εὐτυχὴς ἔφυ βροτῶν,
ὃν μὴ τὸ θεῖον ὡς τὰ πολλὰ συνθέλει.

Stob. Flor. 105, 32. vs. 2 τὰ πόλλ' ἐπωφελεῖ Heimsoethius.

150

τήν τοι Δίκην λέγουσι παῖδ' εἶναι Διὸς
ἐγγύς τε ναίειν τῆς βροτῶν ἁμαρτίας.

Stob. Ecl. I, 3, 23 p. 118: Εὐριπίδου (in codice A ad latus vers. seq. ἀνδρομάχ apponitur). 'τήν τοι — βροτῶν τιμωρίας'. fab. nomen om. Orion Flor. Eurip. 16 p. 266, 5. vs. 1 Διὸς Stob., χρόνου Orion, cf. fr. 223. vs. 2 ἁμαρτίας Orion, τιμωρίας Stob.

151

. . . τὸ δαιμόνιον οὐχ ὁρᾷς
ὅπῃ μοίρα διεξέρχεται;
στρέφει δ' ἄλλους ἄλλως εἰς ἀμέραν.

Stob. Ecl. 1, 5, 2 p. 166. vs. 2 μοίρα VA, μοίρας Grotius. ὅπῃ μοῖρά σου Fritzschius. vs. 3 ἄλλους ἄλλοσ' Hermannus, ἄλλοτ' ἄλλως Meinekius, ἄλλοτ' ἄλλοσ' Herwerdenus.

152

ὃ μὲν ὄλβιος ἦν, τὸ δ' ἀπέκρυψεν
θεὸς ἐκ κείνων τῶν ποτε λαμπρῶν·
νεύει βίοτος, νεύει δὲ τύχα
κατὰ πνεῦμ' ἀνέμων.

Stob. Flor. 105, 17. vs. 1 τὸ] τὸν Valck.

### 153

*τῶν γὰρ πλούτων ὅδ' ἄριστος*
*γενναῖον λέχος εὑρεῖν.*

Stob. Flor. 67, 10.

### 154

*τὸ ζῆν ἀφέντες τὸ κατὰ γῆν τιμῶσί σου.*
*κενόν γ'· ὅταν γὰρ ζῇ τις, εὐτυχεῖ, Κρέον.*

Stob. Flor. 123, 4. vs. 1 *ἀφέντες* corruptum. vs. 2 *εὐτυχεῖν χρεών* Musgravius. certe aut *Κρέον* vitiosum aut in fabulae nomine erratum est.

### 155

*ἀγρεύματα*

Hesych.: *ἀγρεύματα· σκῦλα. Εὐριπίδης Ἀνδρομέδᾳ.*

### 156

*ἀμείβεται*

Hesych.: *ἀμείβεται· παραιτεῖται. Εὐριπίδης Ἀνδρομέδᾳ.* similiter omissa Euripidis mentione Etym. M. p. 81, 35.

## ΑΝΤΙΓΟΝΗ

Aristophanes grammaticus in Argum. Soph. Antig.: *κεῖται ἡ μυθοποιία καὶ παρὰ Εὐριπίδῃ ἐν Ἀντιγόνῃ· πλὴν ἐκεῖ φωραθεῖσα μετὰ τοῦ Αἵμονος δίδοται πρὸς γάμου κοινωνίαν καὶ τέκνον τίκτει τὸν Μαίονα.* Schol. Soph. Ant. 1350: *ὅτι διαφέρει τῆς Εὐριπίδου Ἀντιγόνης αὕτη, ὅτι φωραθεῖσα ἐκείνη διὰ τὸν Αἵμονος ἔρωτα ἐξεδόθη πρὸς γάμον, ἐνταῦθα δὲ τοὐναντίον.* cf. fr. 213 et 215.

### 157

*Ἦν Οἰδίπους τὸ πρῶτον εὐδαίμων ἀνήρ*

Ar. Ran. 1182: '*ἦν — ἀνήρ*'. ubi Scholia: *ἐξ Ἀντιγόνης Εὐριπίδου. ἔστι δὲ ἡ ἀρχὴ τοῦ δράματος. εὐδαίμων*] [illegible] Dio Chrys. 64, 6 et Schol. Aesch. Sept. 775, quo[illegible]ae nomen omittitur.

158

*εἶτ' ἐγένετ' αὖθις ἀθλιώτατος βροτῶν.*

Ar. Ran. 1187: '*εἶτ' — βροτῶν*'. ex Euripideae Antigonae prologo versum esse petitum Aristophanei loci nexus docet. respicit hunc versum Clearchus Ath. XII p. 524 C: *εἶτα πάλιν ἐγένοντο πάντων ἀθλιώτατοι βροτῶν.*

159

*ἐπὶ χρυσεόνωτον*
*ἀσπίδα τὰν Καπανέως*

Schol. Eur. Phoen. 1130: *ἀνωτέρω εἶπε* '*λεύκασπιν εἰσορῶμεν Ἀργείων στρατόν*', *ἐν δὲ τῇ Ἀντιγόνῃ λέγει* '*ἐπὶ — Καπανέως*'.

160

*νέοι νέοισι συννοσοῦσι τἀφανῆ.*

Iohannes Dam. post Stob. Ecl. Gaisf. p. 706, 19.

161

*ἤρων· τὸ μαίνεσθαι δ' ἄρ' ἦν ἔρως βροτοῖς.*

Stob. Flor. 64, 4 et Plutarchus Stob. Flor. 64, 31.

162

*ἀνδρὸς δ' ὁρῶντος εἰς Κύπριν νεανίου*
*ἀφύλακτος ἡ τήρησις, ὡς κἂν φαῦλος ᾖ*
*τἄλλ', εἰς ἔρωτα πᾶς ἀνὴρ σοφώτερος·*
*ἣν δ' ἂν προσῆται Κύπρις, ἥδιστον λαβεῖν.*

Stob. Flor. 63, 4. vs. 2 *ἄπρακτος ἡ φύλαξις* scripserim. vs. 4 *ἂν προσῆται Κύπρις* nondum emendata.

163

*ἀνδρὸς φίλου δὲ χρυσὸς ἀμαθίας μέτα*
*ἄχρηστος, εἰ μὴ κἀρετὴν ἔχων τύχοι.*

Stob. Flor. 93, 13.

164

*ἄριστον ἀνδρὶ κτῆμα συμπαθὴς γυνή.*

Stob. Flor. 67, 13: *Εὐριπίδου Ἀντιγόνη.* '*ζευχθεὶς*

*γάμοισιν οὐκέτ' ἔστ' ἐλεύθερος. ἀλλ' ἕν γ' ἔχει τι χρηστόν· ἐν κήδει γὰρ ὢν ἐσθλῷ δέδοικε μηδὲν ἐξαμαρτάνειν'.* Flor. 67, 14: *Ἱπποθόωντος. 'ἄριστον — γυνή'.* lemmata transponenda esse indicat Stob. Flor. 68, 24: *Ἱπποθόου. 'ζευχθεὶς γάμοισιν οὐκέτ' ἔστ' ἐλεύθερος'.*

165

*ἄκουσον· οὐ γὰρ οἱ κακῶς πεπραγότες*
*σὺν ταῖς τύχαισι τοὺς λόγους ἀπώλεσαν.*

Iohannes Dam. post Stob. Ecl. Gaisf. p. 717, 20: *ἐξ Ἀντιγόνης. 'ἄκουσον — ἀπώλεσαν'.* Euripidis dici Antigonam admodum probabile est, ac fortasse *Εὐρ. Ἀντιγόνης* corrigendum. impugnat poeta Sophoclem Antig. 563: *οὐδ' ὃς ἂν βλάστῃ μένει νοῦς τοῖς κακῶς πράσσουσιν, ἀλλ' ἐξίσταται.*

166

*τὸ μῶρον αὐτῷ τοῦ πατρὸς νόσημ' ἔνι·*
*φιλεῖ γὰρ οὕτως ἐκ κακῶν εἶναι κακούς.*

Stob. Flor. 90, 1. vs. 1 *αὐτῷ*] *αὐτῇ* (Antigonae) Suevernius.

167

*ἡ γὰρ δόκησις πατράσι παῖδας εἰκέναι*
*τὰ πολλὰ ταύτῃ γίγνεται τέκνα πέρι.*

Stob. Flor. 87, 1. temptabam

*ἦ γὰρ δοκεῖ σοι πατράσι παῖδας εἰκέναι;*
*τὰ πολλὰ ταύτῃ· γίγνεται δὲ κἄμπαλιν.*

quorum versuum priorem Creonti, Haemoni alterum tribuerim. atque *γίγνεται δὲ κἄμπαλιν* ante me suasit H. Weilius.

168

*ὀνόματι μεμπτὸν τὸ νόθον, ἡ φύσις δ' ἴση.*

Stob. Flor. 77, 10 et Clemens Alex. Strom. VI p. 741.

169

*. . ἐπ' ἄκραν ἥκομεν γραμμὴν κακῶν.*

Stob. Flor. 104, 9.

170

*οὐκ ἔστι Πειθοῦς ἱερὸν ἄλλο πλὴν λόγος,*
*καὶ βωμὸς αὐτῆς ἔστ' ἐν ἀνθρώπου φύσει.*

Orion Flor. 1, 1 p. 249, 3 et Tzetz. in Hesiod. Op. 135. vs. 1 habent Ar. Ran. 1391 (ubi Schol. vs. 1386: *τὸ δὲ 'οὐκ ἔστι Πειθοῦς' ἐξ Ἀντιγόνης Εὐριπίδου*) Heraclitus Alleg. Hom. c. 59 p. 121 Schol. B Il. *Ω*, 486.

171

*δεῖ τοῖσι πολλοῖς τὸν τύραννον ἁνδάνειν.*

Stob. Flor. 48, 4.

172

*οὔτ' εἰκὸς ἄρχειν οὔτ' ἐχρῆν ἄνευ νόμου*
*τύραννον εἶναι· μωρία δὲ καὶ θέλειν*
*ὃς τῶν ὁμοίων βούλεται κρατεῖν μόνος.*

Stob. Flor. 49, 5. vs. 1 *εἶναι νόμον* libri, *ἄνευ νόμων* Bothius, *ἄνευ νόμου* Badham. vs. 2 *καὶ πέλειν* L. Dindorfius, *καὶ φιλεῖν* O. Hense.

173

*οἰκεῖος ἀνθρώποισι γίγνεσθαι φιλεῖ*
*πόλεμος ἐν ἀστοῖς, ἢν διχοστατῇ πόλις.*

Stob. Flor. 43, 21.

174

*[μὴ οὖν θέλε λυπεῖν σαυτὸν εἰδὼς ὅτι*
*πολλάκις τὸ λυποῦν ὕστερον χαρὰν ἄγει*
*καὶ τὸ κακὸν ἀγαθοῦ γίγνεται παραίτιον.]*

Stob. Flor. 108, 3: *Εὐριπίδου Ἀντιγόνη. 'μὴ — παραίτιον'.* vs. 1 *θέλε*] *ἔθελε* Grotius. *εἰδὼς*] *ἐξειδὼς* Hermannus. vs. 2 *πολλάκις*] *ἔσθ' ὅτε* Heimsoethius. *φιλεῖ τὸ λυποῦν ὕστερον χαρὰν ἄγειν* O. Hense. vs. 3 *γίνεται* M. num Euripidis hi sint versus, dubito cum Dobraeo, qui in Stobaei Flor. 108, 3—6 lemmatum hunc ordinem requirit: 3 *τοῦ αὐτοῦ* (Menandri) *'μὴ οὖν —'.* 4 *Εὐριπίδου Ἀντιγόνη 'οὐδεὶς ἐπὶ σμικροῖσι λυπεῖται σοφός'.* 5 *Χαιρήμονος*

'πειρῶ τύχης ἄνοιαν ἀνδρείως φέρειν'. 6 Μενάνδρου 'ἄνδρα τὸν ἀληθῶς —'.

175

ὅστις δὲ πρὸς τὸ πῖπτον εὐλόφως φέρει
τὸν δαίμον', οὗτος ἧσσόν ἐστ' ἀνόλβιος.

Stob. Flor. 108, 13.

176

θάνατος γὰρ ἀνθρώποισι νεικέων τέλος
ἔχει· μαθεῖν δὲ πᾶσίν ἐστιν εὐμαρές.
τίς γὰρ πετραῖον σκόπελον οὐτάζων δορὶ
ὀδύναισι δώσει; τίς δ' ἀτιμάζων νέκυς,
εἰ μηδὲν αἰσθάνοιντο τῶν παθημάτων;

Stob. Flor. 125, 6: Εὐριπίδου Ἀντιγόνης. 'θάνατος — παθημάτων'. vs. 2 μαθεῖν δὲ πᾶσίν ἐστιν εὐμαρές praebuit codex A post Stob. Flor. 120, 3, ubi vs. 1 et 2 exstare testatur Gesnerus. τί γὰρ τοῦδ' ἐστὶ μεῖζον ἐν βροτοῖς altero loco (Flor. 125, 6) scribitur.

177

ὦ παῖ Διώνης, ὡς ἔφυς μέγας θεός,
Διόνυσε, θνητοῖς τ' οὐδαμῶς [illegible].

Schol. Pind. Pyth. 3, 177: Θυώνῃ τῇ Σεμέλῃ — εἰσὶ δὲ [illegible] ὥσπερ Εὐριπίδης ἐν [illegible] vs. 2 [illegible] libri, [illegible]

178

Schol. [illegible] ὁ Διόνυσος [illegible]

ΑΝΤΙΟΠΗ

[illegible] Amphionem et Ze- [illegible] ex Antiopa [illegible] Georgius [illegible]

ἐξέθετο δρᾶμα ὡς ὅτι ὁ Ζεὺς εἰς σάτυρον μεταβληθεὶς ἔφθειρε τὴν Ἀντιόπην κἀκεῖθεν ἐγεννήθη ὁ Ζῆθος καὶ ὁ Ἀμφίων οἱ μουσικοί. Hyginus fab. 8: *eadem* (Antiopa) *Euripidis, quam scribit Ennius. Nyctei regis in Boeotia fuit filia Antiopa. eius formae bonitate Iuppiter adductus gravidam fecit. quam pater cum punire vellet propter stuprum, minitans periculum Antiopa effugit. casu in eodem loco quo illa pervenerat, Epaphus* (immo *Epopeus*) *Sicyonius stabat. is mulierem advectam domo matrimonio suo iunxit. id Nycteus aegre ferens, cum moreretur Lyco fratri suo per obtestationem mandat, cui tum regnum relinquebat, ne inpune Antiopa ferret. huius post mortem Lycus Sicyonem venit. interfecto Epapho Antiopam vinctam abduxit in Cithaeronem: parit geminos et reliquit. quos pastor educavit, Zethum et Amphionem nominavit. Antiopa Dircae uxori Lyci data erat in cruciatum. ea occasione nacta fugae se mandavit. devenit ad filios suos, ex quibus Zethus existimans fugitivam non recepit. in eundem locum Dirce per bacchationem Liberi illuc* (f. *tunc*) *delata est. ibi Antiopam repertam ad mortem extrahebat. sed ab educatore pastore adolescentes certiores facti eam esse matrem suam, celeriter consecuti matrem eripuerunt, Dircen ad taurum crinibus religatam necant. Lycum cum occidere vellent, vetuit eos Mercurius et simul iussit Lycum concedere regnum Amphioni.* Apollod. 3, 5, 5: Ἀντιόπη θυγάτηρ ἦν Νυκτέως· ταύτῃ Ζεὺς συνῆλθεν. ἡ δὲ ὡς ἔγκυος ἐγένετο, τοῦ πατρὸς ἀπειλοῦντος εἰς Σικυῶνα ἀποδιδράσκει πρὸς Ἐπωπέα καὶ τούτῳ γαμεῖται. Νυκτεὺς δὲ ἀθυμήσας ἑαυτὸν φονεύει, δοὺς ἐντολὴν Λύκῳ παρὰ Ἐπωπέως καὶ παρὰ Ἀντιόπης λαβεῖν δίκας. ὁ δὲ στρατευσάμενος Σικυῶνα χειροῦται, καὶ τὸν μὲν Ἐπωπέα κτείνει, τὴν δὲ Ἀντιόπην ἤγαγεν αἰχμάλωτον. ἡ δὲ ἀγομένη δύο γεννᾷ παῖδας ἐν Ἐλευθεραῖς (ἐλευθέρῳ libri) τῆς Βοιωτίας, οὓς ἐκκειμένους εὑρὼν βουκόλος*) ἀνατρέφει, καὶ τὸν μὲν

---

*) Ὀρθίων dicitur a Cephalione Ioh. Mal. p. 47 et 48 (Cedren. p. 44). nomen loci ubi Zethus et Amphion expositi sint, in Malala corruptum: ἐν τῇ κώμῃ τῇ λεγομένῃ ῥασθέᾳ p. 47, 2. ἐκ τοῦ δέρας θέας χωρίου p. 47, 20. ἐν Ἐρασθαίῳ χωρίῳ Θηβῶν Tzetz. Exeg. Il. p. 133, 8.

*καλεῖ Ζῆθον, τὸν δὲ Ἀμφίονα. Ζῆθος μὲν οὖν ἐπεμελεῖτο βουφορβίων, Ἀμφίων δὲ κιθαρῳδίαν ἤσκει δόντος αὐτῷ λύραν Ἑρμοῦ. Ἀντιόπην δὲ ᾐκίζετο Λύκος καθείρξας καὶ ἡ τούτου γυνὴ Δίρκη· λαθοῦσα δέ ποτε τῶν δεσμῶν αὐτομάτως λυθέντων ἧκεν ἐπὶ τὴν τῶν παίδων ἔπαυλιν, δεχθῆναι πρὸς αὐτῶν θέλουσα. οἱ δὲ ἀναγνωρισάμενοι τὴν μητέρα τὸν μὲν Λύκον κτείνουσι, τὴν δὲ Δίρκην δήσαντες ἐκ ταύρου θανοῦσαν ῥίπτουσιν εἰς κρήνην τὴν ἀπ' ἐκείνης καλουμένην Δίρκην.* cf. Schol. Ap. Rhod. 4, 1090 et Cephalion (Fragm. Hist. 3 p. 628 sqq.) ap. Ioh. Malal. p. 45—49. Euripideam fabulam paulo ante olymp. 93, 3 scenae commissam esse discimus ex Schol. Ar. Ran. 53: *διὰ τί δὲ μὴ ἄλλο τι τῶν πρὸ ὀλίγου διδαχθέντων καὶ καλῶν, Ὑψιπύλης Φοινισσῶν Ἀντιόπης;* parachoregemate poetam usum esse testatur Schol. Eur. Hipp. 58: *καὶ ἐν τῇ Ἀντιόπῃ δύο χοροὺς εἰσάγει, τόν τε Θηβαίων γερόντων διόλου καὶ τὸν μετὰ Θήβης ἢ Δίρκης.* Euripidis vestigia legisse Pacuvium coniciunt e Cic. de fin. 1, 2, 4: *quis enim tam inimicus paene nomini Romano est, qui Ennii Medeam aut Antiopam Pacuvii spernat aut reiciat, quod se iisdem Euripidis fabulis delectari dicat?* cf. Cic. de inv. 1, 50, 94: *ut Amphion apud Euripidem, item apud Pacuvium, qui vituperata musica sapientiam laudat.*

179

*Οἰνόῃ*

*σύγχορτα ναίω πεδία ταῖς τ' Ἐλευθεραῖς*

Schol. A Il. *Λ*, 774: *χόρτοι δὲ οἱ τριγχοί, ὡς παρ' Εὐριπίδῃ ἐν Ἀντιόπῃ 'σύγχορτα — Ἐλευθεραῖς'* (vs. 2). eadem vitiose scripta extant in Etym. Gud. p. 568, 42. cf. Apoll. Lex. Hom. v. *αὐλῆς* et Hesych. v. *χόρτος*. Strabo VIII p. 375: *ὠνομάζετο δ' Οἰνώνη πάλαι ὁμωνύμως δυσὶ δήμοις τῆς Ἀττικῆς, τῷ τε πρὸς Ἐλευθεραῖς 'Οἰνώνη — Ἐλευθεραῖς', καὶ μιᾷ τῶν ἐκ τῆς τετραπόλεως τῆς περὶ Μαραθῶνα, καθ' ἧς ἡ παροιμία 'Οἰνώνη τὴν χαράδραν'.* vs. 1 *Οἰνώνῃ* Strab., *Οἰνόῃ* Casaub. Matthiae huc rettulit locum Dionis Chrysost. 15, 9.

180

*Ὑσιαί*

Harpocr. p. 180, 7: *Ὑσιαί, τῆς Βοιωτίας πόλις, ἧς μνημονεύει καὶ Εὐριπίδης ἐν Ἀντιόπῃ.* Steph. Byz. p. 651, 17: *Ὑρία — Ἡσίοδος δ' ἐν Ὑρίᾳ τὴν Ἀντιόπην φησὶ γενέσθαι, Εὐριπίδης δ' ἐν Ὑσιαῖς.*

181

*τὸν μὲν κικλήσκει Ζῆθον· ἐζήτησε γὰρ*
*τόκοισιν εὐμάρειαν ἡ τεκοῦσά νιν.*

Etym. M. p. 411, 12: *Ζῆθος — ὅτι ἡ μήτηρ αὐτοῦ ἐζήτει εὐμαρῶς τεκεῖν αὐτόν, ὡς φησὶν Εὐριπίδης 'τὸν μὲν — νιν'.* Etym. Gud. p. 230, 57 sive Etym. cod. Sorb.: *Ζῆθος· Εὐριπίδης σαφῶς ἐτυμολογεῖ ἐν Ἀντιόπῃ 'ζητῆσαι γὰρ τόκοισιν εὐμάρειαν ἡ τεκοῦσα γυνή'.*

182

Etym. M. p. 92, 24: *λέγει δὲ Εὐριπίδης ὁ τραγικὸς ἐτυμολογῶν τὸ Ἀμφίων, ὅτι Ἀμφίων ἐκλήθη παρὰ τὸ παρὰ τὴν ἄμφοδον* (*παρὰ τὸ ἀμφ' ὁδὸν* recte Sylburgius) *ἤγουν παρὰ τὴν ὁδὸν γεννηθῆναι.* cf. Hyginus fab. 7: *dolor eam* (Antiopam) *in ipso bivio coegit partum edere. quos pastores pro suis educarunt et appellarunt Zethon ἀπὸ τοῦ ζητεῖν τόπον, alterum autem Amphionem ὅτι ἐν διόδῳ ἢ ὅτι ἀμφὶ ὁδὸν αὐτὸν ἔτεκεν.* etymologiam ridet Aristophanes Com. 2 p. 1083: *Ἄμφοδον ἐχρῆν αὐτῷ τίθεσθαι τοὔνομα.*

183

*λαμπρός θ' ἕκαστος κἀπὶ τοῦτ' ἐπείγεται*
*νέμων τὸ πλεῖστον ἡμέρας τούτῳ μέρος,*
*ἵν' αὐτὸς αὑτοῦ τυγχάνει βέλτιστος ὤν.*

Plat. Gorg. p. 484 E: *συμβαίνει γὰρ τὸ τοῦ Εὐριπίδου· λαμπρός τ' ἐστὶν ἕκαστος ἐν τούτῳ 'κἀπὶ τοῦτ' — ὤν'.* ubi Schol. p. 911 a 40: *τὰ ἰαμβεῖα ταῦτ' ἐστὶν ἐξ Ἀντιόπης τοῦ δράματος Εὐριπίδου ἐκ τῆς Ζήθου ῥήσεως πρὸς τὸν ἀδελφὸν Ἀμφίονα.* Valckenarius *ἐν τούτῳ γε τοι | λαμπρός θ' ἕκαστος* poetam dixisse coniecit. respiciunt hos versus Plat. Alcib. II p. 146 A Aristot. Rhet. 1, 11 p. 1371 b 31 Plut. Mor. p. 43 B p. 514 A p. 630 B. vs. 3 *βέλτιστος* Plato Gorg. et Aristot., *κράτιστος* Plat. Alcib. et Plutarchus.

184

*μοῦσάν τιν' ἄτοπον εἰσάγεις, ἀσύμφορον,*
*ἀργόν, φίλοινον, χρημάτων ἀτημελῆ.*

Dio Chrys. 73, 10: *πολὺ γὰρ ἂν εἴην τοῦ Ζήθου φαυλότερος τοιαῦτα ἐπιτιμῶν, ὡς ἐκεῖνος ἐνουθέτει τὸν ἀδελφόν, οὐκ ἀξιῶν φιλοσοφεῖν αὐτὸν οὐδὲ περὶ μουσικὴν διατρίβειν ἐάσαντα τὴν τῶν ἰδίων ἐπιμέλειαν· ἔφη δὲ αὐτὸν ἄτοπόν τινα καὶ ἀσύμφορον μοῦσαν εἰσάγειν· ὥσπερ ἂν τυχὸν εἴποι τις καὶ σὲ τοιαύτην προῃρῆσθαι πρᾶξιν, οὐκ ἀργὸν οὐδὲ φίλοινον οὐδαμῶς, χρημάτων μέντοι τῶν αὑτοῦ ἀτημελῆ ἴσως· καὶ νὴ Δία λέγοι ἂν καὶ τόδε τὸ ἔπος ‛ἐξ ὧν κενοῖσιν ἐγκατοικήσεις δόμοις'* (fr. 188, 6). Sextus Empir. p. 754, 3: *λέγοντες τοὐναντίον αὐτὴν ἀσύμφορον εἶναι καὶ ‛ἀργήν, φίλοινον, χρημάτων ἀτημελῆ'.* vs. 1 restituit Porsonus. vs. 2 *ἀργόν* Dio Chr., *ἀργήν* Sextus.

185

*. . . ἀμελεῖς ὧν [σε φροντίζειν ἐχρῆν·]*
*ψυχῆς [ἔχων γὰρ] ὧδε γενναίαν φύσιν*
*γυναικομίμῳ διαπρέπεις μορφώματι*
*. . . . . κοὔτ' ἂν ἀσπίδος κύτει*
*[ὀρθῶς] ὁμιλήσειας οὔτ' ἄλλων ὕπερ*
*νεανικὸν βούλευμα βουλεύσαιό [τι].*

Plato Gorg. p. 485 E: *κινδυνεύω οὖν πεπονθέναι νῦν ὅπερ ὁ Ζῆθος πρὸς τὸν Ἀμφίονα ὁ Εὐριπίδου, οὗπερ ἐμνήσθην· καὶ γὰρ ἐμοὶ τοιαῦτ' ἄττα ἐπέρχεται πρὸς σὲ λέγειν οἷάπερ ἐκεῖνος πρὸς τὸν ἀδελφόν, ὅτι ἀμελεῖς, ὦ Σώκρατες, ὧν δεῖ σε ἐπιμελεῖσθαι, καὶ φύσιν ψυχῆς ὧδε γενναίαν μειρακιώδει τινὶ διαπρέπεις μορφώματι, καὶ οὔτ' ἂν δίκης βουλαῖσι προσθεῖ' ἂν ὀρθῶς λόγον οὔτ' εἰκὸς ἂν καὶ πιθανὸν ἂν λάβοις* (*λάκοις* Bonitzius) *οὔθ' ὑπὲρ ἄλλου νεανικὸν βούλευμα βουλεύσαιο.* ubi v. Schol. p. 911 b 1. cf. Olympiodorus in *Archiv f. Philol. u. Paedag.* vol. 14 p. 285 Philostr. V. Apollon. 4, 21 p. 73, 26 (Phot. Bibl. p. 333 b 2) Clemens Alex. Paed. III p. 286. ex his locis temptavi Euripidea verba restituere. vs. 5 *ἀστῶν ὕπερ* malim.

186

*πῶς γὰρ σοφὸν τοῦτ' ἔστιν, εἴ τις εὐφυῆ*
*λαβοῦσα τέχνη φῶτ' ἔθηκε χείρονα;*

Plato Gorg. p. 486 B: *καίτοι πῶς σοφὸν τοῦτ' ἔστιν, ὦ Σώκρατες, εἴ τις εὐφυῆ λαβοῦσα τέχνη φῶτα ἔθηκε χείρονα, μήτε αὐτὸν αὑτῷ δυνάμενον βοηθεῖν μηδ' ἐκσῶσαι ἐκ τῶν μεγίστων κινδύνων μήτε ἑαυτὸν μήτε ἄλλον μηδένα, ὑπὸ δὲ τῶν ἐχθρῶν περισυλᾶσθαι πᾶσαν τὴν οὐσίαν, ἀτεχνῶς δὲ ἄτιμον ζῆν ἐν τῇ πόλει*; versus Euripideos agnovit Grotius. vs. 1 *ἥτις εὐφυᾶ* Dobraeus. deinceps Euripidem scripsisse

*μήτ' αὐτὸν αὑτῷ δυνάμενόν γ' ἐπαρκέσαι*

coniecit Valck., *δυνάμενον προσαρκέσαι* Matthiae.

187

*ἀνὴρ γὰρ ὅστις εὖ βίον κεκτημένος*
*τὰ μὲν κατ' οἴκους ἀμελίᾳ παρεὶς ἐᾷ,*
*μολπαῖσι δ' ἡσθεὶς τοῦτ' ἀεὶ θηρεύεται,*
*ἀργὸς μὲν οἴκοις καὶ πόλει γενήσεται,*
*φίλοισι δ' οὐδείς· ἡ φύσις γὰρ οἴχεται,*
*ὅταν γλυκείας ἡδονῆς ἥσσων τις ᾖ.*

Stob. Flor. 30, 1. vs. 1 expressit Diphilus (Com. 4 p. 411) ap. Ath. VI p. 247 C. vs. 3—6 affert Sextus Empir. p. 755, 15. vs. 4 *ἀργὸς μὲν ἀστοῖς* Elmsleius.

188

*ἀλλ' ἐμοὶ πιθοῦ·*
*παῦσαι μελῳδῶν, πολεμίων δ' εὐμουσίαν*
*ἄσκει· τοιαῦτ' ἄειδε καὶ δόξεις φρονεῖν,*
*σκάπτων, ἀρῶν γῆν, ποιμνίοις ἐπιστατῶν,*
*ἄλλοις τὰ κομψὰ ταῦτ' ἀφεὶς σοφίσματα,*
*ἐξ ὧν κενοῖσιν ἐγκατοικήσεις δόμοις.*

Plato Gorg. p. 486 C: *ἀλλ' ὠγαθέ, ἐμοὶ πείθου· παῦσαι δ' ἐλέγχων, πραγμάτων δ' εὐμουσίαν ἄσκει, καὶ ἄσκει*

ὁπόθεν δόξεις φρονεῖν, ἄλλοις τὰ κομψὰ ταῦτ' ἀφεὶς εἴτε ληρήματα χρὴ φάναι εἶναι εἴτε φλυαρίας, 'ἐξ ὧν — δόμοις' (vs. 6), ζηλῶν οὐκ ἐλέγχοντας ἄνδρας τὰ μικρὰ ταῦτα, ἀλλ' οἷς ἔστι καὶ βίος καὶ δόξα καὶ ἄλλα πολλὰ ἀγαθά. quo de loco Olympiodorus in *Archiv f. Phil. u. Paed.* vol. 14 p. 285: ἐκεῖνος (Zethus) δὲ εἶπε τῷ Ἀμφίονι (ἀμφίω ὅτι cod.) πολέμων δὲ εὐμουσίαν ἄσκει, οὗτος δὲ φησὶ πραγμάτων. Stob. Flor. 56, 13: Εὐριπίδου Ἀντιόπης. 'τοιαῦτ' — σοφίσματα' (vs. 3—5). Dio Chrys. 73, 10: καὶ νὴ Δία λέγοι ἂν καὶ τόδε τὸ ἔπος 'ἐξ ὧν — δόμοις' (vs. 6). Euripidea verba ex his locis eruit Valckenarius Diatr. p. 86. vs. 2 traditum παῦσαι δ' ἐλέγχων in παῦσαι μελῳδῶν mutavi, cf. Ar. Av. 1382 et Com. anon. 4 p. 659. deinceps πολέμων Olymp., πολεμίων Valck.

189

ἐκ παντὸς ἄν τις πράγματος δισσῶν λόγων
ἀγῶνα θεῖτ' ἄν, εἰ λέγειν εἴη σοφός.

Stob. Flor. 82, 2 et Ath. XV p. 677 B (Eust. Il. p. 1192, 48). verba videntur Amphionis, sicut fr. 190—201. Zethi et Amphionis controversiam praeter Ciceronem (vide p. 42) respicit Aristides vol. 2 p. 133 sq.

190

λύρα βοῶν . . ῥύσι' ἐξερρύσατο

Anonymus de lyricis poetis in Anecd. Boiss. vol. 4 p. 459 (sive Append. Lex. Vindob. p. 322 sq.): λύρα τοίνυν προσηγορεύθη διὰ τὸ λύτρον ὑπὸ Ἑρμοῦ δεδόσθαι τῆς κλοπῆς τῶν βοῶν τοῦ Ἀπόλλωνος, καθάπερ φησὶν Εὐριπίδης ἐν Ἀντιόπῃ 'λύρα βοῶν ῥύσα ἐξερρύσατο'. λύρᾳ et ῥύσια coniecit Boiss., λύρα βοῶν νιν ῥύσι' ἐξερρύσατο Vnger Theb. Parad. p. 33.

191

. . κρεῖσσον ὄλβου κτῆμα

Philostr. V. Soph. 2, 27 p. 270, 11: μελέτης δὲ ὁ Ἱππόδρομος οὔτε ἐν ἀγρῷ διαιτώμενος ἠμέλει οὔτε ὁδοιπορῶν οὔτε ἐν Θετταλίᾳ, ἀλλὰ καὶ 'κρεῖττον ὄλβου κτῆμα' ἐκάλει αὐ- [illegible] Εὐριπίδου τε ὕμνων καὶ Ἀμφίονος.

192

*χρόνος θεῶν τε πνεῦμ' ἔρως θ' ὑμνῳδίας*

Iulianus Suidae v. *Ἀμφίων: τρία δὲ ἅμα ταῦτα ξυνελθόντα ἤρκεσεν ἀποφῆναι τὸν Ἀμφίονα τῆς παλαιᾶς μουσικῆς εὑρετήν· χρόνος, θεοῦ πνεῦμα, ἔρως ὑμνῳδίας.* Euripideum versum agnovit Küster. *θεῶν* pro *θεοῦ* praebet Philostr. V. Apoll. 7, 34 p. 146, 27: *τίς ὁ ἀπολογησόμενος ἔσται; 'χρόνος' ἔφη 'καὶ θεῶν πνεῦμα καὶ σοφίας ἔρως, ᾗ ξύνειμι'.*

193

*ὅστις δὲ πράσσει πολλὰ μὴ πράσσειν χρεών,*
*μῶρος, παρὸν ζῆν ἡδέως ἀπράγμονα.*

Stob. Flor. 58, 1. vs. 1 *πόλλ' ἃ* O. Hense. *χρεών*] *παρόν* libri.

194

*ὁ δ' ἥσυχος φίλοισί τ' ἀσφαλὴς φίλος*
*πόλει τ' ἄριστος. μὴ τὰ κινδυνεύματα*
*αἰνεῖτ'· ἐγὼ γὰρ οὔτε ναυτίλον φιλῶ*
*τολμῶντα λίαν οὔτε προστάτην χθονός.*

Stob. Flor. 48, 3. vs. 2 *πόλει τ' ἀρεστός* scripserim. vs. 4 *χθονός*] *πόλεως* malim.

195

*ἅπαντα τίκτει χθὼν πάλιν τε λαμβάνει.*

Orion. Flor. 2, 1 p. 252, 20. cf. Men. monost. 89 539 668.

196

*τοιόσδε θνητῶν τῶν ταλαιπώρων βίος·*
*οὔτ' εὐτυχεῖ τὸ πάμπαν οὔτε δυστυχεῖ,*
*εὐδαιμονεῖ δὲ καὖθις οὐκ εὐδαιμονεῖ.*
*τί δῆτ' ἐν ὄλβῳ μὴ σαφεῖ βεβηκότες*
*οὐ ζῶμεν ὡς ἥδιστα μὴ λυπούμενοι;*

Stob. Flor. 105, 11. vs. 4 et 5 affert Clemens Alex. Strom. VI p. 744. vs. 4 *μὴ ἀσφαλεῖ* F. G. Schmidtius.

197

*βροτοῖσιν εὔκρας οὐ γένοιτ' ἂν ἡδονή.*

Phot. Lex. p. 34, 15: *εὔκρας· εὔκρατος. Εὐριπίδης 'βροτοῖσιν — ἡδέως' ἐν Ἀντιόπῃ.* Schol. Plat. p. 957 b 43: *εὐκράς εὔκρατος [ἢ εὐκέφαλος], ὡς Εὐριπίδης Ἀντιόπῃ.* Anecd. Oxon. vol. 4 p. 335, 1: *τὸ μέντοι εὔκρας παρ' Εὐριπίδῃ ἀνεγνώσθη. ἡδονή* Lobeckius, *ἡδέως* Phot.

198

*εἰ δ' εὐτυχῶν τις καὶ βίον κεκτημένος*
*μηδὲν δόμοισι τῶν καλῶν πειράσεται,*
*ἐγὼ μὲν οὔποτ' αὐτὸν ὄλβιον καλῶ,*
*φύλακα δὲ μᾶλλον χρημάτων εὐδαίμονα.*

Stob. Flor. 16, 4. vs. 2 *μηδὲν δόμοισι*] *μηδὲν δ' ὅμως τι* Floril. Vatic. MS. in Maii Script. vet. nov. coll. vol. 2 p. XXVII. vs. 4 *εὐδαίμονα*] an *δυσδαίμονα* leg.?

199

*τὸ δ' ἀσθενές μου καὶ τὸ θῆλυ σώματος*
*κακῶς ἐμέμφθης· εἰ γὰρ εὖ φρονεῖν ἔχω,*
*κρεῖσσον τόδ' ἐστὶ καρτεροῦ βραχίονος.*

Stob. Flor. 3, 12 et Flor. Lips. 2, 25 p. 16 ed. Westerm. vs. 2 *φρονεῖν*] *φρενῶν* Valck.

200

*καὶ μὴν ὅσοι μὲν σαρκὸς εἰς εὐεξίαν*
*ἀσκοῦσι βίοτον, ἢν σφαλῶσι χρημάτων,*
*κακοὶ πολῖται· δεῖ γὰρ ἄνδρ' εἰθισμένον*
*ἀκόλαστον ἦθος γαστρὸς ἐν ταὐτῷ μένειν.*

Stob. Flor. 6, 22. vs. 4 *γαστρὸς* suspectum.

201

*ἐγὼ μὲν οὖν ᾄδοιμι καὶ λέγοιμί τι*
*σοφόν, ταράσσων μηδὲν ὧν πόλις νοσεῖ.*

Stob. Flor. 3, 27. vs. 2 *νοεῖ* Badham.

202

*ἔνθον δὲ θαλάμοις βουκόλον . . . .*
*κομῶντα κισσῷ στῦλον εὐίου θεοῦ.*

Clemens Alex. Strom. I p. 418: *λέγεται δὲ καὶ ἐν χρησμῷ τινι 'στῦλος Θηβαίοισι Διώνυσος πολυγηθής', ἐκ τῆς παρ' Ἑβραίοις ἱστορίας. ἀλλὰ καὶ Ευριπίδης ἐν Ἀντιόπῃ φησίν 'ἔνδον — θεοῦ'.* vs. 1 *εἶδον δὲ* Bothius. vs. 2 *κοσμοῦντα* Toupius.

203

*πόλλ' ἔστιν ἀνθρώποισιν, ὦ ξένοι, κακά.*

Stob. Flor. 98, 36. cf. Philem. Com. 4 p. 56: *πόλλ' ἔστιν ἐν πολλαῖσιν οἰκίαις κακά.*

204

*φρονῶ δ' ἃ πάσχω, καὶ τόδ' οὐ σμικρὸν κακόν·*
*τὸ μὴ εἰδέναι γὰρ ἡδονὴν ἔχει τινὰ*
*νοσοῦντα, κέρδος δ' ἐν κακοῖς ἀγνωσία.*

Stob. Flor. 99, 12. vs. 1 habet Erotianus Gloss. Hippocr. p. 84, 4. *ἃ* Stob., *ὃ* Erot.

205

*ὦ παῖ, γένοιντ' ἂν εὖ λελεγμένοι λόγοι*
*ψευδεῖς, ἐπῶν δὲ κάλλεσιν νικῷεν ἂν*
*τἀληθές· ἀλλ' οὐ τοῦτο τἀκριβέστατον,*
*ἀλλ' ἡ φύσις καὶ τοὐρθόν· ὃς δ' εὐγλωσσίᾳ*
*νικᾷ, σοφὸς μέν, ἀλλ' ἐγὼ τὰ πράγματα*
*κρείσσω νομίζω τῶν λόγων ἀεί ποτε.*

Clemens Alex. Strom. I p. 340 sq.: *ἐγὼ γοῦν καὶ πάνυ ἀποδέχομαι τὴν τραγῳδίαν λέγουσαν 'ὦ παῖ — ἀεί ποτε'.* Iohannes Dam. post Stob. Ecl. Gaisf. p. 697, 5: *Εὐριπίδου Ἀντιόπῃ. 'ὃς δ' εὐγλωσσίᾳ — ἀεί ποτε'* (vs. 4—6).

206

*κύουσα τίκτω ἡνίκ' ἠγόμην πάλιν*

Ammonius Valck. p. 86: *κύειν μὲν τὸ ἔγκυον εἶναι, τίκτειν δὲ τὸ ἀπαλλάττεσθαι τοῦ κύειν. Εὐριπίδης ἐν Ἀντιόπῃ 'κύουσα τίκτω' εἶπεν 'ἡνίκ' ἡγόμην πάλιν'.* ubi *τίκτω θ'* et *πάλαι* coniecit Valck. Eustathius Od. p. 1799, 54: *καὶ φέρεται εἰς τοῦτο χρῆσις ἐξ Ἀντιόπης τὸ 'κύουσα τίκτον'.*

207

*εἰ δ' ἠμελήθην ἐκ θεῶν καὶ παῖδ' ἐμώ,*
*ἔχει λόγον καὶ τοῦτο· τῶν πολλῶν βροτῶν*
*δεῖ τοὺς μὲν εἶναι δυστυχεῖς, τοὺς δ' εὐτυχεῖς.*

Stob. Flor. 98, 38: *Εὐριπίδου Ἀντιόπης. 'ἔχει λόγον — εὐτυχεῖς'* (vs. 2 et 3). initium sine poetae nomine servavit Marcus Antoninus 7, 41 et 11, 6: *'εἰ δ' — καὶ τοῦτο'.* vs. 3 extat in Men. mon. 125. eundem respicit Hierocles Gaisf. p. 69.

208

*οὐ σωφρονίζειν ἔμαθον· αἰδεῖσθαι δὲ χρή,*
*γύναι, τὸ λίαν καὶ φυλάσσεσθαι φθόνον.*

Stob. Flor. 74, 18.

209

*οὐδὲ γὰρ λάθρᾳ δοκῶ*
*φωτὸς κακούργου σχήματ' ἐκμιμούμενον*
*σοὶ Ζῆν' ἐς εὐνὴν ὥσπερ ἄνθρωπον μολεῖν.*

Clemens Alex. Strom. V p. 715 sq. (Euseb. Pr. E. p. 679 D): *οὔκουν ἔτι κατὰ τὴν πολλῶν δόξαν περὶ τοῦ θεοῦ* (*θείου* Euseb.) *ὑποληπτέον. 'οὐδὲ γὰρ — μολεῖν', Ἀμφίων λέγει τῇ Ἀντιόπῃ.*

210

*φεῦ φεῦ, βροτείων πημάτων ὅσαι τύχαι*
*ὅσαι τε μορφαί· τέρμα δ' οὐκ εἴποι τις ἄν.*

Stob. Flor. 98, 34 et Clemens Alex. Strom. III p. 521.

211

*εἰ νοῦς ἔνεστιν· εἰ δὲ μή, τί δεῖ καλῆς*
*γυναικός, εἰ μὴ τὰς φρένας χρηστὰς ἔχοι;*

Stob. Flor. 72, 8.

212

*κόρος δὲ πάντων· καὶ γὰρ ἐκ καλλιόνων*
*λέκτροις ἐπ' αἰσχροῖς εἶδον ἐκπεπληγμένους,*
*δαιτὸς δὲ πληρωθείς τις ἄσμενος πάλιν*
*φαύλῃ διαίτῃ προσβαλὼν ἥσθη στόμα.*

Stob. Flor. 63, 2. vs. 4 habet Athenaeus X p. 421 F.

213

*κῆδος καθ' αὑτὸν τὸν σοφὸν κτᾶσθαι χρεών.*

Stob. Flor. 70, 3: *Εὐριπίδου Ἀντιόπῃ.* '*κῆδος — χρεών*'. in lemmate fortasse *Ἀντιγόνῃ* scribendum.

214

*πᾶσι δ' ἀγγέλλω βροτοῖς*
*ἐσθλῶν ἀπ' ἀνδρῶν εὐγενῆ σπείρειν τέκνα.*

Stob. Flor. 70, 10. ubi quae continuo accedunt, *οὐ γάρ ποτ' ἂν πράξειαν ἐς τέλος κακῶς* (cf. Eur. Andr. 1283), cum hoc loco non cohaerent. vs. 2 *ἀνδρῶν* vitiosum, *ἀρχῶν* suasit Meinekius, *ἀλόχων* Herwerdenus, mihi *ἐσθλοῖν ἀπ' ἀμφοῖν* scribendum videtur, cf. *Eurip. Stud.* II p. 79 sq.

215

*οὐ χρή ποτ' ἄνδρα δοῦλον ὄντ' ἐλευθέρας*
*γνώμας διώκειν οὐδ' ἐς ἀργίαν βλέπειν.*

Stob. Flor. 62, 4: *Εὐριπίδου Ἀντιόπῃ* (sic MVind., *Εὐρ. Ἀντιγόνῃ* A). '*οὐ χρή — βλέπειν*'.

216

*. . τὸ δοῦλον οὐχ ὁρᾷς ὅσον κακόν;*

Stob. Flor. 62, 12.

217

φεῦ φεῦ, τὸ δοῦλον ὡς ἁπανταχῇ γένος
πρὸς τὴν ἐλάσσω μοῖραν ὥρισεν θεός.

Stob. Flor. 62, 41.

218

κόσμος δὲ σιγῆς στέφανος ἀνδρὸς οὐ κακοῦ·
τὸ δ' ἐκλαλοῦν τοῦθ' ἡδονῆς μὲν ἅπτεται,
κακὸν δ' ὁμίλημ', ἀσθενὲς δὲ καὶ πόλει.

Stob. Flor. 36, 10. vs. 1 σιγὴ στεγανὸς Herwerdenus.

219

τρεῖς εἰσὶν ἀρεταί, τὰς χρεών σ' ἀσκεῖν, τέκνον,
θεούς τε τιμᾶν τούς τε θρέψαντας γονῆς
νόμους τε κοινοὺς Ἑλλάδος· καὶ ταῦτα δρῶν
κάλλιστον ἕξεις στέφανον εὐκλείας ἀεί.

Stob. Flor. 1, 8: *Εὐριπίδου Ἀντιόπῃ* (sic ed. Trinc., *Εὐριπίδης Ἡρακλείδαις* AM). '*τρεῖς — ἀεί*'. vs. 2 *γονῆς* scripsi, *γονεῖς* libri.

220

γνώμαις γὰρ ἀνδρὸς εὖ μὲν οἰκοῦνται πόλεις,
εὖ δ' οἶκος, εἴς τ' αὖ πόλεμον ἰσχύει μέγα·
σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας
νικᾷ, σὺν ὄχλῳ δ' ἀμαθία πλεῖστον κακόν.

Stob. Flor. 54, 5. vs. 1—4 afferunt Plutarchus V. Hom. c. 156 vol. 5 p. 1196 et Orion Flor. Eurip. 17 p. 266, 7. initium loci respiciunt Diogenes cynicus ap. Diog. L. 6, 104 Epictetus (fr. 82) in Stob. Flor. 46, 82 Clemens Alex Strom. II p. 483 sq. vs. 3 et 4 afferunt Galenus vol. 1 p. 35 (vol. 1 p. 5 ed. Bas., vol. 2 p. 14 Chart.) Sextus Empir. p. 663, 8 Schol. Il. B, 372. verba *σοφὸν — νικᾷ* apponunt Polybius 1, 35, 4 Eust. Il. p. 240, 42 Nicephorus Bryennius 4, 28 p. 156, 1 Plutarchus Mor. p. 790 A Themistius p. 207 D Doxopater Rhet. vol. 2 p. 303, 25. cf. Philodemus

in Vol. Hercul. VIII col. 14 p. 27 Themist. Orat. XV p. 191 A Orat. XXXIV p. 56 Liban. Decl. vol. 3 p. 309, 10 Nicolaus Rhet. vol. 1 p. 278 Constant. Manass. fragm. 9, 75 p. 403 ed. Boiss. Ioh. Cinnam. 2, 6 p. 45, 11 Iul. Valer. de rebus gestis Alex. 3, 2 in Maii Class. auct. VII p. 171. vs. 1 *γνώμαις*] *γνώμῃ* Stob., *βουλαῖς* Clem. *ἀνδρὸς* Stob. Plut., *ἀνδρῶν* Or. Diog. Epict. Clem. vs. 2 *εἱς δ'* Plut., *εἷς τ'* Stob. Or. vs. 4 *ὄχλῳ*] *ὅπλοις* Galen. *σὺν ὄχλου δ' ἀμαθίᾳ* Heimsoethius. *πλεῖστον*] *πλέον* Stob., *χεῖρον ἢ* Galen.

221

*πολλοὶ δὲ θνητῶν τοῦτο πάσχουσιν κακόν·*
*γνώμῃ φρονοῦντες οὐ θέλουσ' ὑπηρετεῖν*
*ψυχῇ, τὰ πολλὰ πρὸς φίλων νικώμενοι.*

Stob. Flor. 30, 9. vs. 2 *αὐτοὶ φρονοῦντες* suasit O. Hense.

222

*εἰ δέ που τύχοι*
*πέριξ ἑλίξας . . εἷλχ' ὁμοῦ λαβὼν*
*γυναῖκα πέτραν δρῦν μεταλλάσσων ἀεί.*

Longinus de subl. c. 40, 4: *ἐπὶ δὲ τῆς συρομένης ὑπὸ τοῦ ταύρου Δίρκης* (sc. *φησὶν Εὐριπίδης*) '*εἰ δέ — ἀεί*'. vs. 2 *ἑλίξας ταῦρος εἷλχ' ὁμοῦ λαβὼν* Valck., *ἑλίξας εἷλκε συλλαβὼν ὁμοῦ* O. Hense.

223

*τήν τοι Δίκην λέγουσι παῖδ' εἶναι χρόνου,*
*δείκνυσι δ' ἡμῶν ὅστις ἐστὶ μὴ κακός.*

Stob. Ecl. 1, 3, 33 p. 122. cum vs. 1 cf. Eur. fr. 150, 1. vs. 2 *ἐστὶ*] *ἔστ' ἢ* Porsonus.

224

*δίκα τοι δίκα χρόνιος· ἀλλ' ὅμως ὑποπεσοῦσ'*
*ἔλαθεν, ὅταν ἔχῃ τιν' ἀσεβῆ βροτῶν.*

Stob. Ecl. 1, 3, 25 p. 118: *Εὐριπίδου* (*Αἰσχύλου* A)

Ἀντιόπῃ. ‘δίκα τοι — βροτῶν’. vs. 2 ἔχῃ] ἕλῃ Fixius, ἴδῃ Meinekius.

225

*Ζῆθον μὲν ἐλθόνθ' ἁγνὸν ἐς Θήβης πέδον*
*οἰκεῖν κελεύω, τὸν δὲ μουσικώτατον*
*κλεινὰς Ἀθήνας ἐκπερᾶν Ἀμφίονα.*

Eubulus (Com. 3 p. 208) ap. Ath. II p. 47 B: *Ζῆθον μὲν ἐλθεῖν ἁγνὸν ἐς Θήβης πέδον οἰκεῖν κελεύει· καὶ γὰρ ἀξιωτέρους πωλοῦσιν, ὡς ἔοικε, τοὺς ἄρτους ἐκεῖ· σὺ δ' ὀξύπεινος· τὸν δὲ μουσικώτατον κλεινὰς Ἀθήνας ἐκπερᾶν Ἀμφίονα, οὗ ῥᾷστ' ἀεὶ πεινῶσι Κεκροπιδῶν κόροι κάπτοντες αὔρας, ἐλπίδας σιτούμενοι.* dubitari non potest quin verba supra exhibita tragici sint poetae, nec video unde petita esse possint nisi ex Euripidis Antiopa.

226

Probus in Vergil. Ecl. 6, 31 p. 21, 6: *sunt qui binis principiis mundum discriminent. nam Xenophanes Colophonius terram et aquam prodidit: — consentit in numero Euripides, sed speciem discriminat. terram enim et aerem inducit principia rerum esse in Antiopa* ...... verba Euripidea exciderunt, significari versus notissimos *ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα κτἑ.* (fr. 935), quos ipse Probus p. 11, 8 affert, coniecit Schneidewinus.

227

*νόσον ἔχειν*

Anecd. Bekk. p. 109, 17: *νόσον ἔχειν· ἀντὶ τοῦ φαῦλον ἦθος ἔχειν. Εὐριπίδης Ἀντιόπῃ.* cf. Phot. Lex. p. 303, 4 et Suid. v. *νόσον ἔχειν.*

228

*εὐθύδημον*

Hesych.: *εὐθυδήμονα· ἁπλοῦν δημότην. Εὐριπίδης Ἀντιόπῃ.* rectius Phot. Lex. p. 32, 5: *εὐθύδημον· ἁπλοῦν δημότην.*

## ΑΡΧΕΛΑΟΣ

Agatharchides in Phot. Bibl. p. 444b 29: *οὐδ' Εὐριπίδου κατηγορῶ τῷ μὲν Ἀρχελάῳ περιτεθεικότος τὰς Τημένου πράξεις, τὸν δὲ Τειρεσίαν βεβιωκότα παρεισάγοντος πέντε γενεῶν πλέον.* de argumento cf. Hyginus fab. 219. in Archelai Macedonum regis honorem fabulam compositam fuisse tradit auctor vitae Euripideae ab Elmsleio editae (Westerm. *Βιογρ.* p. 134, 21): *ἐκεῖθεν δ' εἰς Μακεδονίαν περὶ Ἀρχέλαον γεγονὼς διέτριψε*) καὶ χαριζόμενος αὐτῷ δρᾶμα ὁμωνύμως ἔγραψε.* contra Diomedes p. 488, 20: *tristitia namque tragoediae proprium, ideoque Euripides petente Archelao rege ut de se tragoediam scriberet abnuit ac deprecatus est, ne accideret Archelao aliquid, tragoediam ostendens nihil aliud esse quam miseriarum comprehensionem.* obiter huius fabulae meminit Libanius Declam. vol. 4 p. 313, respicere videtur Dio Chrysost. 4, 71: *ἢ οὐκ αἰπόλος ἦν ὁ Ἀρχέλαος, οὐδὲ ἦλθεν εἰς Μακεδονίαν αἶγας ἐλαύνων;* duplicem fuisse recensionem e fr. 229 collegit Valckenarius Diatr. p. 162, cf. Fritzschius in Ar. Ran. p. 366 sq.

### 229

*Αἴγυπτος, ὡς ὁ πλεῖστος ἔσπαρται λόγος,*
*ξὺν παισὶ πεντήκοντα ναυτίλῳ πλάτῃ*
*Ἄργος κατασχών*

Aristoph. Ran. 1206 Euripideos prologos ridens: '*Αἴγυπτος — κατασχών*'. ubi Scholia: *Ἀρχελάου αὕτη ἐστὶν ἡ ἀρχή, ὥς τινες, ψευδῶς· οὐ γὰρ φέρεται νῦν Εὐριπίδου λόγος οὐδεὶς τοιοῦτος. οὐ γάρ ἐστι, φησὶν Ἀρίσταρχος, τοῦ Ἀρχελάου, εἰ μὴ αὐτὸς μετέθηκεν ὕστερον, ὁ δὲ Ἀριστοφάνης τὸ ἐξ ἀρχῆς κείμενον εἶπε.* qui locus docet versus supra scriptos neque in Archelao neque in alia fabula ab Aristarcho inventos fuisse; aut igitur diversi extiterunt eiusdem

---

*) Euripidem spectare videntur quae Philodemus habet de vitiis libro X p. 20 ed. Saupp.: *διὸ καὶ φασὶν ἀχθόμενον αὐτὸν ἐπὶ τῷ σχεδὸν πάντας ἐπιχαίρειν πρὸς Ἀρχέλαον ἀπελθεῖν.*

tragoediae prologi aut errarunt qui Archelai initium proferri ab Aristophane dicerent.

230

*Δαναὸς ὁ πεντήκοντα θυγατέρων πατὴρ*
*Νείλου λιπὼν κάλλιστον ἐκ γαίας ὕδωρ,*
*ὃς ἐκ μελαμβρότοιο πληροῦται ῥοὰς*
*Αἰθιοπίδος γῆς, ἡνίκ᾽ ἂν τακῇ χιὼν*
*τέθριππ᾽ ἔχοντος ἡλίου κατὰ χθόνα,*
*ἐλθὼν ἐς Ἄργος ᾤκισ᾽ Ἰνάχου πόλιν·*
*Πελασγιώτας δ᾽ ὠνομασμένους τὸ πρὶν*
*Δαναοὺς καλεῖσθαι νόμον ἔθηκ᾽ ἀν᾽ Ἑλλάδα.*

Tiberius *περὶ σχημάτων* Rhet. vol. 8 p. 577: *καὶ Εὐριπίδης* ‘*Δαναὸς — πόλιν*’ (vs. 1—6). Strab. V p. 221: *καὶ Εὐριπίδης δ᾽ ἐν Ἀρχελάῳ φησὶν ὅτι* ‘*Δαναὸς — πατὴρ ἐλθὼν ἐς Ἄργος — ἀν᾽ Ἑλλάδα*’ (vs. 1 et 6—8). versum 1 afferunt auctor vit. X oratorum (Plut. Mor.) p. 837 E (cf. Vita Isocr. in Westerm. *Βιογρ.* p. 258, 48) et Plut. Mor. p. 497 B. vs. 2—5 anonymus de Nilo in Athenaei edit. Dind. p. 164 sq. vs. 2—4 Diod. Sic. 1, 38. vs. 4 Steph. Byz. v. *Αἰθίοψ* p. 47, 14. vs. 7 et 8 Strab. VIII p. 371. vs. 2—5 respicit Seneca Natur. Quaest. IV, 2, 16. cf. Ioh. Lydus de mens. 4, 68 p. 96, 19 et Theophyl. Simoc. Hist. 7, 17 p. 304. vs. 2 nondum emendatus. vs. 3 *ῥοὰς*] *θέρει* anon. de Nilo. vs. 5 *κατὰ χθόνα* anon., *κατ᾽ αἰθέρα* Tiber. vs. 6 *ἐς* Strab., *κατ᾽* Tiber.

231

*βασιλεῦ χώρας τῆς πολυβώλου*
*Κισσεῦ, πεδίον πυρὶ μαρμαίρει*

Dionys. de C. V. 25 vol. 5 p. 203 (p. 394 Schaef.): ‘*περὶ τοῦ τὴν Χερρόνησον ἔχειν —*’ *ὅμοιον τῷ παρ᾽ Εὐριπίδῃ* ‘*βασιλεῦ — μαρμαίρει*’. locum huc rettulit Musgravius.

232

*οὐ γὰρ ὑπερθεῖν κύματος ἄκραν*

*δυνάμεσθ᾽· ἔτι γὰρ θάλλει πενία*
*κακὸν ἔχθιστον, φεύγει δ᾽ ὄλβος.*

Stob. Flor. 96, 3.

233

*ἡμῶν τί δῆτα τυγχάνεις χρείαν ἔχων;*
*πατέρων γὰρ ἐσθλῶν ἐλπίδας δίδως γεγώς.*

Stob. Flor. 88, 3.

234

*ἐν τοῖς τέκνοις γὰρ ἀρετὴ τῶν εὐγενῶν*
*ἔλαμψε, κρεῖσσόν τ᾽ ἐστὶ πλουσίου γάμου*
*γένος· πένης γὰρ οὐκ ἐκεῖν᾽ ἀπώλεσεν*
*τὸ τοῦ πατρὸς γενναῖον.*

Stob. Flor. 88, 5: *τοῦ αὐτοῦ* (sc. *Εὐρ.*) *Ἀρχελάῳ*. '*ἐν τοῖς — γάμου*' (vs. 1 et 2). vs. 3 *γένος* addidi. quae sequuntur olim cum fr. 233 copulata, *πένης — γενναῖον*, h. l. habent BM, om. AVind.

235

*σοὶ δ᾽ εἶπον, ὦ παῖ, τὰς τύχας ἐκ τῶν πόνων*
*θηρᾶν· ὁρᾷς γὰρ πατέρα σὸν τιμώμενον.*

Stob. Flor. 29, 13.

236

*πατρὸς δ᾽ ἀνάγκη παισὶ πείθεσθαι λόγῳ.*

Stob. Flor. 79, 19.

237

*πλουτεῖς· ὁ πλοῦτος δ᾽ ἀμαθία δειλόν θ᾽ ἅμα.*

Stob. Flor. 93, 12.

238

*σὺν μυρίοισι τὰ καλὰ γίγνεται πόνοις.*

Stob. Flor. 29, 44. *σὺν*] *ἐν* Men. mon. 176.

239

*νεανίαν γὰρ ἄνδρα χρὴ τολμᾶν ἀεί·*
*οὐδεὶς γὰρ ὢν ῥάθυμος εὐκλεὴς ἀνήρ,*
*ἀλλ' οἱ πόνοι τίκτουσι τὴν εὐανδρίαν.*

Stob. Flor. 51, 4 et Orion Flor. Eurip. 22 p. 266, 26. vs. 2 et 3 repetit Stob. Flor. 29, 32. vs. 3 *εὐανδρίαν*] *εὐδοξίαν* (cum v. l. *εὐανδρίαν*) Stob. Flor. 51. eadem fere verba leguntur in fr. 1039, 7.

240

*οὐκ ἔστιν ὅστις ἡδέος ζήλῳ βίου*
*εὔκλειαν εἰσεκτήσατ', ἀλλὰ χρὴ πονεῖν.*

Stob. Flor. 29, 14. vs. 1 *ἡδέος ζήλῳ βίου* scripsi, *ἡδέως ζητῶν βιοῦν* libri. vs. 2 *εἰσεκτήσατο* vitiosum, emendatio incerta.

241

*ὁ δ' ἡδὺς αἰὼν ἡ κακή τ' ἀνανδρία*
*οὔτ' οἶκον οὔτε πόλιν ἀνορθώσειεν ἄν.*

Stob. Flor. 8, 13. cf. Eur. fr. 366.

242

*ἐμὲ δ' ἄρ' οὐ*
*μοχθεῖν δίκαιον; τίς δ' ἄμοχθος εὐκλεής;*
*τίς τῶν μεγίστων δειλὸς ὢν ὠρέξατο;*

Stob. Flor. 51, 7. versum 3 a praegressis dirimit Badham.

243

*ἐγὼ δὲ τὸν σὸν κρᾶτ' ἀναστέψαι θέλω.*

Schol. Eur. Phoen. 1159: *ἀμφίβολον πότερον τὸν κρᾶτα εἶπεν ἢ τὸ κρᾶτα, ἐπεὶ καὶ ἐν Ἀρχελάῳ 'ἐγὼ — θέλω'.* *ἀναστρέψαι* ante Barnesium.

244

*φέρει δὲ καὶ τοῦτ' οὐχὶ μικρόν, εὐγενὴς*
*ἀνὴρ στρατηγῶν εὐκλεᾶ τ' ἔχων φάτιν.*

Stob. Flor. 54, 11: ἐν ταὐτῷ (sc. Eur. Archel.). 'ἔχει δὲ — φάτιν'. Stob. Flor. 88, 4: ἐν τῷ αὐτῷ. 'φέρει δὲ — φάτιν'. vs. 1 φέρει] ἔχει Stob. loco priore, σθένει malim.

245

ὀλίγον ἄλκιμον δόρυ
κρεῖσσον στρατηγοῦ μυρίου στρατεύματος.

Stob. Flor. 54, 10. vs. 2 στρατηγοῦ] στρατηγῷ Grotius, σάφ' ἡγοῦ Conington.

246

ὀλίγοι γὰρ ἐσθλοὶ κρείσσονες πολλῶν κακῶν.

Stob. Flor. 51, 9 et Orion. Flor. 7, 3 p. 259, 22.

247

ἓν δέ σοι μόνον προφωνῶ, μὴ ἐπὶ δουλείαν ποτὲ
ζῶν ἑκὼν ἔλθῃς παρὸν σοὶ κατθανεῖν ἐλευθέρῳ.

Stob. Flor. 7, 5.

248

νεανίας τε καὶ πένης σοφός θ' ἅμα·
ταῦτ' εἰς ἓν ἐλθόντ' ἄξι' ἐνθυμήσεως.

Stob. Flor. 52, 4.

249

τί δ' οὐκ ἂν εἴη χρηστὸς ὄλβιος γεγώς;

Stob. Flor. 91, 16.

250

οὐκ ἔστι πενίας ἱερὸν αἰσχίστης θεοῦ.
μισῶ γὰρ ὄντως οἵτινες φρονοῦσι μέν,
φρονοῦσι δ' οὐδενός γε χρημάτων ὕπερ.

Stob. Flor. 96, 4. vs. 1 ἐχθίστης Bergkius. vs. 3 οὐδὲν χρημάτων ὑπέρτερον Pflugkius. vs. 2 et 3 a primo dirimendos esse coniecit Musgravius.

251

*μὴ πλούσιον θῇς· ἐνδεέστερος γὰρ ὢν*
*ταπεινὸς ἔσται· κεῖνο δ' ἰσχύει μέγα,*
*πλοῦτος λαβών τε τοῦτον εὐγενὴς ἀνήρ.*

Stob. Flor. 91, 18.

252

*τυραννίδ' ἣ θεῶν δευτέρα νομίζεται·*
*τὸ μὴ θανεῖν γὰρ οὐκ ἔχει, τὰ δ' ἄλλ' ἔχει.*

Stob. Flor. 47, 5.

253

*κρείσσω γὰρ οὔτε δοῦλον οὔτ' ἐλεύθερον*
*τρέφειν ἐν οἴκοις ἀσφαλὲς τοῖς σώφροσιν.*

Stob. Flor. 62, 11.

254

*εἰ τῶν δικαίων γὰρ νόμοι τ' αὐξήματα*
*μεγάλα φέρουσι, πάντα δ' ἀνθρώποις . .*
*τάδ' ἐστὶ χρήματ', ἤν τις εὐσεβῇ θεόν.*

Orion Flor. 3, 1 p. 253, 4. vs. 1 et 2 nondum emendati. vs. 3 *θεόν*] f. *θεούς* leg.

255

*ἁπλοῦς ὁ μῦθος, μὴ λέγ' εὖ· τὸ γὰρ λέγειν*
*εὖ, δεινόν ἐστιν, εἰ φέροι τινὰ βλάβην.*

Stob. Flor. 34, 2.

256

A. *πόλλ', ὦ τέκνον, σφάλλουσιν ἀνθρώπους θεοί.*
B. *τὸ ῥᾷστον εἶπας, αἰτιάσασθαι θεούς.*

Plut. Mor. p. 20 D: *δεῖ τῷ βελτίονι συνηγορεῖν, ὥσπερ ἐν τούτοις ‘πόλλ' — θεούς’.* vs. 1 ex Euripidis Archelao affert Iustinus M. de monarchia c. 5. vs. 2 habet Plut. Mor. p. 1049 F. versus prior Cissei videtur, Archelai alter.

257

*δοκεῖς τὰ τῶν θεῶν ξυνετὰ νικήσειν ποτὲ*
*καὶ τὴν δίκην που μάκρ' ἀπῳκίσθαι βροτῶν·*
*ἡ δ' ἐγγύς ἐστιν, οὐχ ὁρωμένη δ' ὁρᾷ*
*ὃν χρὴ κολάζειν τ' οἶδεν· ἀλλ' οὐκ οἶσθα σὺ*
*ὁπόταν ἄφνω μολοῦσα διολέσῃ κακούς.*

Stob. Ecl. 1, 3, 47 p. 130 sine lemm.: '*δοκεῖς — κακούς*'. Orion Flor. 5, 1 p. 255, 7: *ἐκ τοῦ Ἀρχελάου Εὐριπίδου.* '*δοκεῖς — ὁρᾷ*' (vs. 1—3).

258

*μακάριος ὅστις νοῦν ἔχων τιμᾷ θεὸν*
*καὶ κέρδος αὑτῷ τοῦτο ποιεῖται μέγα.*

Orion Flor. 3, 2 p. 253, 8. vs. 1 fort. *θεοὺς* leg.

259

*πολλοὺς δ' ὁ θυμὸς ὁ μέγας ὤλεσεν βροτῶν*
*ἥ τ' ἀξυνεσία, δύο κακὼ τοῖς χρωμένοις.*

Stob. Flor. 20, 11.

260

*τῷ γὰρ βιαίῳ κἀγρίῳ τὸ μαλθακὸν*
*εἰς ταὐτὸν ἐλθὸν τοῦ λίαν παρείλετο.*

Stob. Flor. 20, 25.

261

*ὀργῇ δὲ φαύλῃ πόλλ' ἔνεστ' ἀσχήμονα.*

Stob. Flor. 20, 12: *Εὐριπίδου Ἀρχελάῳ.* '*ὀργῇ — ἀσχήμονα. ἔξω γὰρ ὀργῆς πᾶς ἀνὴρ σοφώτερος. πόλλ' ἐστὶν ὀργῆς ἐξ ἀπαιδεύτου κακά*'. tria haec esse fragmenta vidit Grotius; vs. 2 ex Eur. Hypsip. desumptus est (fr. 760), vs. 3 nescio cuius poetae. Archelai versus recurrit in Men. mon. 687.

262

*ἔπαυσ' ὀδουροὺς λυμεῶνας*

Schol. Pind. Pyth. 2, 54: *πειρατὰς τοὺς κατὰ πέλαγος λῃστὰς λέγομεν, κυρίως δὲ τοὺς ἐν ὁδῷ κακουργοῦντας· παρ' ὃ δὴ καὶ ὁδουροὺς αὐτοὺς λέγουσιν Εὐριπίδης ἐν Ἀρχελάῳ 'ἔπαυσ' ὁδ. λ.' καὶ Σοφοκλῆς ἐν Αἰγεῖ* —.

263

*ἔσωσα δούλην οὖσαν· οἱ γὰρ ἥσσονες*
*τοῖς κρείσσοσιν φιλοῦσι δουλεύειν βροτῶν.*

Stob. Flor. 62, 13. vs. 1 *ἔσωσε* vel *ἐγῷδα* Meinekius.

264

*πάλαι σκοποῦμαι τὰς τύχας τῶν βροτῶν*
*ὡς εὖ μεταλλάσσουσιν· ὃς γὰρ ἂν σφαλῇ*
*εἰς ὀρθὸν ἔστη χὡ πρὶν εὐτυχῶν πίτνει.*

Stob. Flor. 105, 31 et Orion Flor. 8, 2 p. 261, 21. vs. 1 *σκοποῦμαι*] *σκοπῶμεν* Or. *τὰς ἐφημέρων τύχας* O. Hense. vs. 2 *ὡς εὖ*] *ὅσον* Herwerdenus, *ὡς θεοὶ* O. Hense.

265

*ἔστι τι καὶ παρὰ δάκρυσι*
*κείμενον ἡδὺ βροτοῖς, ὅταν*
*ἄνδρα φίλον στενάχῃ τις ἐν οἴκῳ.*

Stob. Flor. 122, 7. vs. 1 *τι* addidit Meinekius.

266

*τὰ γὰρ οὐκ ὀρθῶς πρασσόμεν' ὀρθῶς*
*τοῖς πράσσουσιν κακὸν ἦλθεν.*

Stob. Ecl. 1, 3, 35 p. 124.

## ΑΥΓΗ

Aristoph. Ran. 1080: *οὐ προαγωγοὺς κατέδειξ' οὗτος* (Euripides) *καὶ τικτούσας ἐν τοῖς ἱεροῖς*; ubi Scholion codicis Paris. 2821: *τικτούσας μὲν ἐν τοῖς ἱεροῖς, ὡς ἡ Αὔγη ἡ θυγάτηρ Ἀλέου ἱέρεια οὖσα Ἀθηνᾶς ἐν τῷ ἱερῷ γεννᾷ τὸν Τήλεφον.* Strab. XIII p. 615: *Εὐριπίδης δ' ὑπὸ Ἀλέου φησὶ τοῦ τῆς Αὔγης πατρὸς εἰς λάρνακα τὴν Αὔγην κατα-*

*τεθεῖσαν ἅμα τῷ παιδὶ Τηλέφῳ καταποντωθῆναι, Ἀθηνᾶς δὲ προνοίᾳ τὴν λάρνακα περαιωθεῖσαν ἐκπεσεῖν εἰς τὸ στόμα τοῦ Καΐκου, τὸν δὲ Τεύθραντα ἀναλαβόντα τὰ σώματα τῇ μὲν ὡς γαμετῇ χρήσασθαι, τῷ δ' ὡς ἑαυτοῦ παιδί.* Aelianus N. A. 3, 47: *δότε μοι τοὺς τραγῳδοὺς — ἐρέσθαι τί βουλόμενοι τοσαύτην ἄγνοιαν τοῦ παιδὸς τοῦ Λαΐου καταχέουσι τοῦ συνελθόντος τῇ μητρὶ τὴν δυστυχῆ σύνοδον, καὶ τοῦ Τηλέφου τοῦ μὴ πειραθέντος μὲν τῆς ὁμιλίας, συγκατακλινέντος δὲ τῇ γειναμένῃ καὶ πράξαντος ἂν τὰ αὐτά, εἰ μὴ θείᾳ πομπῇ διεῖρξεν ὁ δράκων.* plura et partim diversa tradunt Apollod. 2, 7, 4 et 3, 9, 1 Hyginus fab. 99 et 100. cf. Paus. VIII, 4, 9 et 48, 7. memoriae errore Diogenes L. 2, 33 verba *κράτιστον εἰκῇ ταῦτ' ἐᾶν ἀφειμένα* (Eur. El. 379) ex hac fabula affert. comici poetae *Αὔγην* spectare videtur Schol. Eur. Rhes. 419, ubi de v. *ἄμυστις* agitur: *ὡς ἐν Αὔγῃ 'σὺν τῷ βαθείας καὶ πυκνὰς | ἕλκουσι τὰς ἀμυστίδας'.* versus sunt dimetri iambici; *Σκυθῶν* pro *σὺν τῷ* coniecit Fritzschius. Euripideae fabulae fragmentum latere suspicor apud Teletem in Stob. Flor. 108, 83: *καὶ ταύτην* (fort. *Αὔγην* leg.) *μὲν ἐπαινοῦσιν ἐντελλομένην 'σὺ δ', ὦ τεκοῦσα, μὴ τὴν σὴν λιβάσι κατάσπενδε παρηίδα'.* neque improbabile duco dixisse Euripidem in Auga

*ὦ πότνι' Εἰλείθυια,*

cf. Meinek. Vind. Aristoph. p. 129 et quae diximus in *Mélanges Gréco-Rom.* II p. 730 sq.

267

*νῦν δ' οἶνος ἐξέστησέ μ'· ὁμολογῶ δέ σε*
*ἀδικεῖν, τὸ δ' ἀδίκημ' ἐγένετ' οὐχ ἑκούσιον.*

Stob. Flor. 18, 20.

268

*σκῦλα μὲν βροτοφθόρα*
*χαίρεις ὁρῶσα καὶ νεκρῶν ἐρείπια,*
*κοὐ μιαρά σοι ταῦτ' ἔστιν· εἰ δ' ἐγὼ ἔτεκον,*
*δεινὸν τόδ' ἡγεῖ;*

Clemens Alex. Strom. VII p. 841 sq.: *εὖ δὲ καὶ ἡ Αὔγη*

(ἡ αὐτὴ libri) δικαιολογουμένη πρὸς τὴν Ἀθηνᾶν ἐπὶ τῷ χαλεπαίνειν αὐτῇ τετοκυίᾳ ἐν τῷ ἱερῷ λέγει 'σκῦλα — ἡγῇ', καίτοι καὶ τὰ ἄλλα ζῷα ἐν τοῖς ἱεροῖς τίκτοντα οὐδὲν ἀδικεῖ. Euripidi versus tribuit Grotius.

269

*δεινὴ πόλις νοσοῦσ' ἀνευρίσκειν κακά.*

Stob. Flor. 43, 12. *δεινὴ νοσοῦσα πόλις* malit O. Hense.

270

*καὶ βουθυτεῖν γὰρ ἠξίους ἐμὴν χάριν.*

Apollon. de coni. p. 514, 11 de accusativo *χάριν*: *ὀνοματικῆς συντάξεως ἔτυχεν. ἐν μὲν γὰρ Κρήσσαις 'ἐγὼ — κατακτενῶ' καὶ ἐν Αὔγῃ 'καὶ βουθυτεῖν — χάριν'.*

271

*Ἔρωτα δ' ὅστις μὴ θεὸν κρίνει μέγαν*
*καὶ τῶν ἁπάντων δαιμόνων ὑπέρτατον,*
*ἢ σκαιός ἐστιν ἢ καλῶν ἄπειρος ὢν*
*οὐκ οἶδε τὸν μέγιστον ἀνθρώποις θεόν.*

Stob. Flor. 63, 11. vs. 1 3 4 affert Ath. XIII p. 600 D. Latine locum expressit Caecilius Statius (Com. Lat. Ribbeck. p. 65) ap. Cic. Tusc. 4, 32, 68: . . [*Amorem*] *deum qui non summum putet, aut stultum aut rerum esse imperitum existumo.* vs. 1 *θεὸν κρίνει μέγαν*] *μόνον κρίνει θεόν* Ath. vs. 4 *οὐκ οἶδεν ὄνθ' ἥδιστον* Meinekius.

272

*οὐ τῶν κακούργων οἶκτος, ἀλλὰ τῆς δίκης.*

Stob. Flor. 46, 9. *οἶκος* Bothius.

273

*πτηνὰς διώκεις, ὦ τέκνον τὰς ἐλπίδας*
*οὐχ ἡ τύχη γε· τῆς τύχης δ' οὐχ εἷς τρόπος.*

Stob. Flor. 111,1: *Εὐριπίδου Αὔγης* (sic Vind., *Αἰγέως* A, fab. nomen om. M). '*πτηνὰς — τρόπος*'. vs. 2 *ἔχει*

τύχη σε Hermannus, alii alia: ante vs. 2 non nihil intercidisse statuit Meinekius.

274

τίς δ' οὐχὶ χαίρει νηπίοις ἀθύρμασιν;

Stob. Flor. 78, 4.

275

πᾶσιν γὰρ ἀνθρώποισιν, οὐχ ἡμῖν μόνον,
ἢ καὶ παραυτίκ' ἢ χρόνῳ δαίμων βίον
ἔσφηλε, κοὐδεὶς διὰ τέλους εὐδαιμονεῖ.

Stob. Flor. 105, 15. vs. 1 μόνοις B.

276

. . τὸ δ' ἐπιεικὲς ὠφελεῖ τὰς ξυμφοράς.

Stob. Flor. 37, 20. τὸ δ'] τὸ γὰρ Grotius.

277

κακῶς δ' ὄλοιντο πάντες οἳ τυραννίδι
χαίρουσιν ὀλίγῃ τ' ἐν πόλει μοναρχίᾳ·
τοὐλεύθερον γὰρ ὄνομα παντὸς ἄξιον,
κἂν σμίκρ' ἔχῃ τις, μεγάλ' ἔχειν νομιζέτω.

Stob. Flor. 49, 3. vs. 2 ὀλίγων Grotius. vs. 3 et 4 affert Philo Iud. vol. 2 p. 467.

278

γυναῖκές ἐσμεν· τὰ μὲν ὄκνῳ νικώμεθα,
τὰ δ' οὐκ ἂν ἡμῶν θράσος ὑπερβάλοιτό τις.

Stob. Flor. 73, 41.

279

ποῖ; πῶς δὲ λήσει; τίς δὲ νῷν πιστὸς φίλος;
ζητῶμεν· ἡ δόκησις ἀνθρώποις κακόν,
καὶ τοὐπιχειρεῖν γ' ἐξαμαρτάνειν φιλεῖ.

Stob. Flor. 22, 7.

280

*κέρας ὄρθιον*

Hesych.: *κέρας ὄρθιον· ἡ νευρά. Εὐριπίδης δὲ Αὔγῃ* (*αὐγήν* cod.). locus mutilus videtur.

281

*ἀπενήσω*

Hesych.: *ἀπενήσω· ἀπέβαλες. Εὐριπίδης Αὔγῃ.*

282

*διέφθειρε*

Hesych.: *διέφθειρε· διῆγεν. Εὐριπίδης Αὔγῃ. διέφερε* Küster.

283

*φιλοτραφής*

Antiatt. p. 116, 2: *φιλοτραφής, ὃν ἡ συνήθεια φιλότροφον λέγει. Εὐριπίδης Αὔγῃ.*

## ΑΥΤΟΛΥΚΟΣ ΣΑΤΥΡΙΚΟΣ

Tzetzes postquam de Autolyci furtis narravit, haec addit Chil. 8, 459: *ἐν Αὐτολύκῳ δράματι σατυρικῷ τὰ πάντα ὁ Εὐριπίδης ἀκριβῶς τὰ περὶ τούτου γράφει.* de argumento v. Hygin. fab. 201: *Mercurius Autolyco, ex Chione quem procreaverat, muneri dedit ut furacissimus esset nec deprehenderetur in furto, ut quidquid subripuisset in quamcunque effigiem vellet transmutaretur, ex albo in nigrum vel ex nigro in album, in cornutum ex mutilo, in mutilum ex cornuto. is cum Sisyphi pecus adsidue involaret nec ab eo posset deprehendi, sensit eum furtum sibi facere, quod illius numerus augebatur et suus minuebatur. qui ut eum deprehenderet, in pecorum ungulis notam imposuit. qui cum solito more involasset et Sisyphus ad eum venisset, pecora sua ex ungulis deprehendit.* cf. Polyaen. 6, 52. Diomedes p. 490, 20: *Latina Atellana a Graeca satyrica differt, quod in satyrica fere satyrorum personae inducuntur aut si quae sunt ridiculae similes satyris, Autolycus, Busiris.* duas fuisse fabulae editiones docere videtur Ath.

X p 413 C, ubi Εὐριπίδης ἐν τῷ πρώτῳ Αὐτολύκῳ legitur, sed fortasse πρώτῳ corruptum ex σατυρικῷ.

284

*κακῶν γὰρ ὄντων μυρίων καθ' Ἑλλάδα*
*οὐδὲν κάκιόν ἐστιν ἀθλητῶν γένους.*
*οἳ πρῶτα μὲν ζῆν οὔτε μανθάνουσιν εὖ*
*οὔτ' ἂν δύναιντο· πῶς γὰρ ὅστις ἔστ' ἀνὴρ*
*γνάθου τε δοῦλος νηδύος θ' ἡσσημένος*
*κτήσαιτ' ἂν ὄλβον εἰς ὑπερβολὴν πατρός;*
*οὐδ' αὖ πένεσθαι καὶ ξυνηρετεῖν τύχαις*
*οἷοί τ'· ἔθη γὰρ οὐκ ἐθισθέντες καλὰ*
*σκληρῶς μεταλλάσσουσιν εἰς τἀμήχανα.*
*λαμπροὶ δ' ἐν ἥβῃ καὶ πόλεως ἀγάλματα*
*φοιτῶσ'· ὅταν δὲ προσπέσῃ γῆρας πικρόν,*
*τρίβωνες ἐκβαλόντες οἴχονται κρόκας.*
*ἐμεμψάμην δὲ καὶ τὸν Ἑλλήνων νόμον,*
*οἳ τῶνδ' ἕκατι σύλλογον ποιούμενοι*
*τιμῶσ' ἀχρείους ἡδονὰς δαιτὸς χάριν.*
*τίς γὰρ παλαίσας εὖ, τίς ὠκύπους ἀνὴρ*
*ἢ δίσκον ἄρας ἢ γνάθον παίσας καλῶς*
*πόλει πατρῴᾳ στέφανον ἤρκεσεν λαβών;*
*πότερα μαχοῦνται πολεμίοισιν ἐν χεροῖν*
*δίσκους ἔχοντες ἢ δι' ἀσπίδων ποσὶ*
*θείνοντες ἐκβαλοῦσι πολεμίους πάτρας;*
*οὐδεὶς σιδήρου ταῦτα μωραίνει πέλας*
*στάς. ἄνδρας οὖν χρῆν τοὺς σοφούς τε κἀγαθοὺς*
*φύλλοις στέφεσθαι, χὤστις ἡγεῖται πόλει*
*κάλλιστα σώφρων καὶ δίκαιος ὢν ἀνήρ,*
*ὅστις τε μύθοις ἔργ' ἀπαλλάσσει κακὰ*
*μάχας τ' ἀφαιρῶν καὶ στάσεις· τοιαῦτα γὰρ*
*πόλει τε ταύτῃ πᾶσί θ' Ἕλλησιν καλά.*

Ath. X p. 413 C: *πάντες γὰρ οἱ ἀθλοῦντες μετὰ τῶν γυμνασμάτων καὶ ἐσθίειν πολλὰ διδάσκονται· διὸ καὶ Εὐριπίδης ἐν τῷ πρώτῳ Αὐτολύκῳ λέγει* '*κακῶν — καλά*'. *ταῦτ' εἴληφεν ὁ Εὐριπίδης ἐκ τῶν τοῦ Κολοφωνίου ἐλεγειῶν Ξενοφάνους* (Bergk. Lyr. p. 357). vs. 1—9 et 16—22 affert Galenus vol. 1 p. 23 sqq. (vol. 1 p. 4 ed. Basil., vol. 2 p. 10 Chart.), vs. 1 et 2 Eust. Il. p. 1299, 20, vs. 12 Diog. L. 1, 56, vs. 19 sq. (*πότερα — ἔχοντες*) iterum Galenus vol. 1 p. 33 (vol. 1 p. 5 ed. Basil., vol. 2 p. 13 sq. Chart.), vs. 22 Plut. Mor. p. 581 F p. 803 B Galenus vol. 1 p. 33. vs. 1 *γὰρ ὄντων*] *γε ὄντων* Ath., unde *γεγώτων* scripserim. vs. 5 *ἡσσώμενος* Herwerdenus. vs. 6 *ὑπεκτροφὴν* Gal. vs. 7 *κἀξυπηρετεῖν* Gal. vs. 14 *συλλόγους* malim. vs. 20 *δίχ' ἀσπίδων* Lobeckius. *ποσὶ* Gal., *χερὶ* vel *χεροῖν* Ath.

### 285

*τοὺς ὄνους τοὺς λαρκαγωγοὺς ἐξ ὄρους οἴσειν ξύλα*

Pollux 10, 111 de nomine *λάρκος* disputans: *Εὐριπίδης μὲν εἴρηκεν ἐν Αὐτολύκῳ σατυρικῷ* '*τοὺς — ξύλα*'.

### 286

*σχοινίνας γὰρ ἵπποισι φλοΐνας ἡνίας πλέκει.*

Pollux 10, 178: *φλοΐνην δὲ ἐσθῆτα Ἡροδότου εἰπόντος σοὶ τοῦτο ὑπάρχει λέγειν καὶ ἐπὶ τῶν ἄλλων πλεγμάτων — μάλιστα καὶ Εὐριπίδου ἐν Αὐτολύκῳ σατυρικῷ εἰπόντος* '*σχοινίνας — πλέκει*'. videtur tetrameter trochaicus restituendus esse.

## ΒΕΛΛΕΡΟΦΟΝΤΗΣ

De argumento cf. Pind. Isthm. 7, 44: *ὅ τοι πτερόεις ἔρριψε Πάγασος δεσπόταν ἐθέλοντ' ἐς οὐρανοῦ σταθμοὺς ἐλθεῖν μεθ' ὁμάγυριν Βελλεροφόνταν Ζανός.* Asclepiades in Schol. Il. Z, 155: *λέγεται δὲ αὐτὸν* (Bellerophontem) *ἐπαρθέντα ἐφ' οἷς ἔπραξε θελῆσαι μετὰ τοῦ Πηγάσου τὸν οὐρα-*

*νὸν κατοπτεῦσαι**) — *τὸν δὲ Δία μηνίσαντα οἶστρον ἐμβαλεῖν τῷ Πηγάσῳ ὥστε ἐκπεσεῖν μὲν τὸν Βελλεροφόντην καὶ κατενεχθῆναι εἰς τὸ τῆς Λυκίας πεδίον τὸ ἀπ' αὐτοῦ καλούμενον Ἀλήιον πεδίον, ἀλᾶσθαι δὲ κατὰ τοῦτο πηρωθέντα.* heroem claudum et sordida veste indutum saepius ridet Aristophanes, cf. Pac. 135: *ἐχρῆν σε Πηγάσου ζεῦξαι πτερόν, ὅπως ἐφαίνου τοῖς θεοῖς τραγικώτερος.* et 146: *ἐκεῖνο τήρει, μὴ σφαλεὶς καταρρυῇς ἐντεῦθεν, εἶτα χωλὸς ὢν Εὐριπίδῃ λόγον παράσχῃς καὶ τραγῳδία γένῃ.* ubi Schol. vs. 136: *αἰνίττεται δὲ εἰς τὸν Πήγασον καὶ τὸν Βελλεροφόντην Εὐριπίδου.* Schol. Ven. vs. 147: *λέγει δὲ περὶ Φιλοκτήτου καὶ Βελλεροφόντου.* Ar. Ach. 426: *ἀλλ' ἢ τὰ δυσπινῆ θέλεις πεπλώματα ἃ Βελλεροφόντης εἶχ' ὁ χωλὸς οὑτοσί;* ubi Scholia: *εἰσήγαγε γὰρ καὶ τοῦτον καταβληθέντα ἐκ τοῦ Πηγάσου καὶ ἐρρυπωμένα ἱμάτια ἔχοντα.* verba *δυσπινῆ πεπλώματα* tragoediam sapiunt; utrum ex hac fabula an aliunde repetita sint nescimus. Acharnensium locus fabulam ante olymp. 88, 3 scenae commissam esse docet. aliquot locos ex hac fabula laudatos ad Stheneboeam rettulimus (fr. 663 665 670). Danaen et Bellerophontem Seneca confudit (fr. 326), Alcmaeonem et Bellerophontem Michael Ephesius (fr. 69).

## 287

*ἐγὼ τὸ μὲν δὴ πανταχοῦ θρυλούμενον*
*κράτιστον εἶναι φημὶ μὴ φῦναι βροτῷ·*
*τρισσῶν δὲ μοιρῶν ἐγκρινῶ νικᾶν μίαν,*
*πλούτου τε χὤτῳ σπέρμα γενναῖον προσῇ*
*πενίας τ'· ἀριθμὸν γὰρ τοσόνδε προυθέμην.*
*ὁ μὲν ζάπλουτος, εἰς γένος δ' οὐκ εὐτυχής,*
*ἀλγεῖ μὲν ἀλγεῖ, παγκάλως δ' ἀλγύνεται*
*ὄλβου διοίγων θάλαμον ἥδιστον χερί.*
*ἔξω δὲ βαίνων τοῦδε τὸν πάρος χρόνον*

---

*) Pollux 4, 128: *ἡ μηχανὴ δὲ θεοὺς καὶ ἥρως τοὺς ἐν ἀέρι, Βελλεροφόντας ἢ Περσέας.* similiter Schol. Clem. Alex. p. 98.

πλουτῶν ὑπ' ἄτης ζεῦγλαν ἀσχάλλει πεσών.
ὅστις δὲ γαῦρον σπέρμα γενναῖόν τ' ἔχων
βίου σπανίζει, τῷ γένει μὲν εὐτυχεῖ,
πενίᾳ δ' ἐλάσσων ἐστίν, ἐν δ' ἀλγύνεται
φρονῶν, ὑπ' αἰδοῦς δ' ἔργ' ἀπωθεῖται χερῶν.
ὁ δ' οὐδὲν οὐδείς, διὰ τέλους δὲ δυστυχῶν
τοσῷδε νικᾷ· τοῦ γὰρ εὖ τητώμενος
οὐκ οἶδεν, ἀεὶ δυστυχῶν κακῶς τ' ἔχων.
οὕτως ἄμεινον μὴ πεπειρᾶσθαι καλῶν.
ἐκεῖνο γὰρ μεμνήμεθ' οἷος ἦν ποτε
κἀγὼ μετ' ἀνδρῶν ἡνίκ' εὐτύχουν βίῳ.

Stob. Flor. 97, 16: *Εὐριπίδου.* '*ἐγὼ — εὐτύχουν ποτέ*' (vs. 1—20). Stob. Flor. 98, 39: *Εὐριπίδου Βελλεροφόντου.* '*ἐγὼ — βροτῷ*' (vs. 1 et 2). Stob. 96, 1: *Εὐριπίδου Βελλεροφόντῃ* (*βελλεροφῶντι* M). '*ὅστις δὲ — χερῶν*' (vs. 11—14). vs. 6 fortasse spectat Hesych.: *ζάπλουτος· πλούσιος πάνυ.* Phot. Lex. p. 51, 19: *ζάπλουτος· μεγαλοπλούσιος.* vs. 7 *ἀλγεῖ μέν, ἄλγος δ' εὐκόλως ἀμύνεται* Hermannus, *ἀλγεῖ μέν, αλγει παγκάλως δ' ἀμύνεται* Badham. *αβρύνεται* pro *ἀμύνεται* scribendum esse ci Madwig. vs. 8 *ὄλβου*] *πλούτου* Plut. Mor. p. 1069 A. vs. 9 *τοὐδε*] *τουδ' ὁ* Badham. vs. 10 *ζεύγματ' ἀσχάλλει* Badham. vs. 13 *πενίας* Badham. vs. 14 *φρονῶν δ' ὑπ' αἰδοῦς* Stob. Flor. 96, *φρενῶν ὑπ' αἰδοῦς δ'* 97. vs. 19 et 20 om. AMVind., qui cum h. l. iungunt adesp. fr. 461. vs. 19 fort. *μεμνήμεθ' οἷον ἦν ποτε* leg. vs. 20 *εὐτύχουν ποτέ* vulgo, *εὐτύχουν βίῳ* Ioh. Damasc. in Stob. Ecl. Gaisf. p. 762, 25, ubi vs. 20 sine lemmate extat. in codice M vs. 15—20 leguntur item supra inter Flor. 97, 9 et 10 cum lemm. *Εὐρ. Βελλεροφόντι.*

288

φησίν τις εἶναι δῆτ' ἐν οὐρανῷ θεούς;
οὐκ εἰσίν, οὐκ εἴσ', εἴ τις ἀνθρώπων θέλει
μὴ τῷ παλαιῷ μῶρος ὢν χρῆσθαι λόγῳ.
σκέψασθε δ' αὐτοί, μὴ 'πὶ τοῖς ἐμοῖς λόγοις

*γνώμην ἔχοντες. φήμ' ἐγὼ τυραννίδα*
*κτείνειν τε πλείστους χρημάτων τ' ἀποστερεῖν*
*ὅρκους τε παραβαίνοντας ἐκπορθεῖν πόλεις·*
*καὶ ταῦτα δρῶντες μᾶλλόν εἰσ' εὐδαίμονες*
*τῶν εὐσεβούντων ἡσυχῇ καθ' ἡμέραν.*
*πόλεις τε μικρὰς οἶδα τιμώσας θεούς,*
*αἳ μειζόνων κλύουσι δυσσεβεστέρων*
*λόγχης ἀριθμῷ πλείονος κρατούμεναι.*
*οἶμαι δ' ἂν ὑμᾶς, εἴ τις ἀργὸς ὢν θεοῖς*
*εὔχοιτο καὶ μὴ χειρὶ συλλέγοι βίον,*
*τὰ θεῖα πυργοῦσιν αἱ κακαί τε συμφοραί.*

Iustinus Mart. de monarchia c. 5: *καὶ ἐν Βελλεροφόντῃ* ‘*εἰ θεοί — εἰσὶν θεοί*’ (fr. 294, 7). *καὶ πάλιν ἐν τῷ αὐτῷ* ‘*φησίν — συμφοραί*’. vs. 15 non expedio.

## 289

*τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι χρεών·*
*μέλει γὰρ αὐτοῖς οὐδέν· ἀλλ' οὑντυγχάνων*
*τὰ πράγματ' ὀρθῶς ἢν τιθῇ, πράσσει καλῶς.*

Stob. Flor. 108, 20. cum Eur. fr. 1040 hi versus coaluerunt in Stob. Flor. 54, 14. eosdem habent Plut. Mor. p. 467 A et Plut. q. d. de vita Hom. c. 153 vol. 5 p. 1194, vs. 1 et dimidium 2 (*τοῖς πρ. — οὐδέν*) Marcus Anton. 7, 38 et vs 1 omisso *χρεών* idem 11, 6. cum vs. 1 cf. versus interpolatus Eur. Bacch. 673: *τοῖς γὰρ δικαίοις οὐχὶ θυμοῦσθαι χρεών.*

## 290

*δόλοι δὲ καὶ σκοτεινὰ μηχανήματα*
*χρείας ἀνάνδρου φάρμακ' εὕρηται βροτοῖς.*

Stob. Flor. 8, 1. vs. 2 *χρείας* suspectum.

## 291

*νείκη γὰρ ἀνδρῶν φόνια καὶ μάχας χρεὼν*

*δόλοισι κλέπτειν· τῆς δ' ἀληθείας ὁδὸς*
*φαύλη τίς ἐστι· ψεύδεσιν δ' Ἄρης φίλος.*

Stob. Flor. 54, 19.

292

*ἀεὶ γὰρ ἄνδρα σκαιὸν ἰσχυρὸν φύσει*
*ἧσσον δέδοικα τἀσθενοῦς τε καὶ σοφοῦ.*

Stob. Flor. 54, 7.

293

*ὦ παῖ, νέων τοι δρᾶν μὲν ἔντονοι χέρες,*
*γνῶμαι δ' ἀμείνους εἰσὶ τῶν γεραιτέρων·*
*ὁ γὰρ χρόνος δίδαγμα ποικιλώτατον.*

Stob. Flor. 115, 2. vs. 1 *εὔτονοι* malim. Cornutus de N. D. 31 p. 189: *οἰκείως δὲ παρέδοσαν αὐτὸν* (Herculem) *Κῷοι τῇ Ἥβῃ συνοικοῦντα, ὡς ὁλοσχερέστερον αὐτὸν τὴν διάνοιαν ὄντα· ὡς γὰρ νέων τι* (*τοι* Par. 4) *δρᾶν μὲν εὐτονώτεραι χέρες, ψυχαὶ δ' ἀμείνους τῶν γεραιτέρων πολύ.* vs. 2 extat in Men. mon. 101.

294

*πρὸς τὴν νόσον τοι καὶ τὸν ἰατρὸν χρεὼν*
*ἰδόντ' ἀκεῖσθαι, μὴ 'πιτὰξ τὰ φάρμακα*
*διδόντ', ἐὰν μὴ ταῦτα τῇ νόσῳ πρέπῃ.*
*νόσοι δὲ θνητῶν αἳ μέν εἰσ' αὐθαίρετοι,*
*αἳ δ' ἐκ θεῶν πάρεισιν, ἀλλὰ τῷ νόμῳ*
*ἰώμεθ' αὐτάς. ἀλλά σοι λέξαι θέλω,*
*εἰ θεοί τι δρῶσιν αἰσχρόν, οὐκ εἰσὶν θεοί.*

Stob. Flor. 100, 3: *Εὐριπίδου.* '*πρὸς — πρέπῃ*' (vs. 1—3). et 100, 4: '*νόσοι δὲ — θεοί*' (vs. 4—7). quos locos duce codice Vind. iunxi. AM lemma praebent *Θελλέροφος* et Flor. 100, 3 et 4 post 100, 4 repetunt. vs. 2 *ἐπιτὰξ*] cf. Etym. M. p. 365, 29: *ἐπιτάξ — εἰς δὲ ῥητορικὸν λεξικὸν εὗρον τὴν λέξιν σημαίνειν τὸ συντόμως — οὐχ ὡς οἱ τραγικοί, μακρῶς.* vs. 7 afferunt Plut. Mor. p. 21 A p. 1049 F et Iustinus M. de monarchia c. 5. *δρῶσιν αἰσχρόν*] *δρῶσι φαῦλον* Plut. priore loco et Iustinus.

295

A. *τιμή σ' ἐπαίρει τῶν πέλας μεῖζον φρονεῖν.*
B. *θνήσκοιμ' ἄν· οὐ γὰρ ἄξιον λεύσσειν φάος*
*κακοὺς ὁρῶντας ἐκδίκως τιμωμένους.*

Stob. Flor. 106, 1. inter duas personas versus distribuit Matth., sed fortasse, id quod Meinekius conicit, ab vs. 2 aliud fragmentum orditur. vs. 1 *μεῖζον* Cobetus, *μᾶλλον* libri. vs. 3 ὁρῶντα *μὴ ἐνδίκως* Dobraeus.

296

*φθονοῦσιν αὐτοὶ χείρονες πεφυκότες·*
*εἰς τἀπίσημα δ' ὁ φθόνος πηδᾶν φιλεῖ.*

Stob. Flor. 38, 13.

297

*ἤδη γὰρ εἶδον καὶ δίκης παραστάτας*
*ἐσθλοὺς πονηρῷ τῷ φθόνῳ νικωμένους.*

Stob. Flor. 38, 19. vs. 2 *πονηρῶν* Bothius.

298

*ἀνὴρ δὲ χρηστὸς χρηστὸν οὐ μισεῖ ποτε,*
*κακὸς κακῷ δὲ συντέτηκεν ἡδονῇ·*
*φιλεῖ δὲ θοὐμόφυλον ἀνθρώπους ἄγειν.*

Ioh. Dam. post Stob. Ecl. Gaisf. p. 706, 7. vs. 1 legitur in Men. mon. 28. vs. 2 respicit Aristot. Eth. M. 2, 11 p. 1209 b 36: *οἱ φαῦλοι, ὥς φησιν Εὐριπίδης, αὐτοὶ ἑαυτοῖς ἡδεῖς εἰσίν· κακὸς κακῷ γὰρ συντέτηκεν.* Eth. Eud. 7, 2 p. 1238 a 34: *ὅθεν λέγεται ʽἧλιξ ἥλικα τέρπει' καὶ ʽκακὸς κακῷ συντέτηκεν ἡδονῇ'.* Eth. Eud. 7, 5 p. 1239 b 22: *ἐνδέχεται καὶ τοὺς φαύλους ἀλλήλους φιλεῖν· ʽκακὸς κακῷ δὲ συντέτηκεν ἡδονῇ'. κακὸς κακῷ δὲ] κακῷ κακός τε* Ioh. Dam. *ἡδονῇ] ἡδοναῖς* Ioh. Dam.

299

*ὡς ἔμφυτος μὲν πᾶσιν ἀνθρώποις κάκη·*

*ὅστις δὲ πλεῖστον μισθὸν εἰς χεῖρας λαβὼν*
*κακὸς γένηται, τῷδε συγγνώμη μὲν οὔ,*
*πλείω δὲ μισθὸν μείζονος τόλμης ἔχων*
*τὸν τῶν ψεγόντων ῥᾷον ἂν φέροι λόγον.*

Stob. Flor. 10, 17.

300

*οὐκ ἂν γένοιτο τραῦμ', ἐάν τις ἐγχύσῃ*
*θάμνοις ἐλείοις, οὐδ' ἂν ἐκ μητρὸς κακῆς*
*ἐσθλοὶ γένοιντο παῖδες εἰς ἀλκὴν δορός.*

Stob. Flor. 90, 10. vs. 1 *ἐάν* scripsi, *εἴ* libri.

301

*πρὸς τὴν ἀνάγκην πάντα τἄλλ' ἔστ' ἀσθενῆ.*

Stob. Ecl. 1, 4, 2 b p. 154. *τἄλλ' ἔστ' ἀσθενῆ*] *τἄλλα δεύτερα* O. Hense.

302

*οἴμοι· τί δ' οἴμοι; θνητά τοι πεπόνθαμεν.*

Diog. L. 4, 26 (cf. Hesych. Miles. 39 in Mülleri Fragm. Hist. 4 p. 167): *ἐθαύμαζε δὲ ὁ Κράντωρ πάντων δὴ μᾶλλον Ὅμηρον καὶ Εὐριπίδην — καὶ προεφέρετο τὸν στίχον τὸν ἐκ τοῦ Βελλεροφόντου 'οἴμοι — πεπόνθαμεν'.* Suid. v. *οἴμοι: καὶ Εὐριπίδης ἐκ τοῦ Βελλεροφόντου 'οἴμοι — πεπόνθαμεν'.* eundem versum habent Plut. Mor. p. 475 C et Synesius Epist. 126 p. 261 C.

303

*ὁρᾷς δ' ἀέλπτων μυρίων ἀναστροφάς·*
*πολλοὶ μὲν οἶδμα διέφυγον θαλάσσιον,*
*πολλοὶ δὲ λόγχαις πολεμίων ἀμείνονες*
*ἥσσους γεγῶτες κρείσσον' ἦλθον εἰς τύχην.*

Stob. Flor. 111, 9. vs. 3 *ἀμεινόνων* Grotius.

304

*θάρσος δὲ πρὸς τὰς συμφορὰς μέγα σθένει.*

Stob. Flor. 7, 1.

305

*οὐδέποτ᾽ εὐτυχίαν κακοῦ ἀνδρὸς ὑπέρφρονά τ᾽ ὄλβον*
*βέβαιον εἰκάσαι χρεών,*
*οὐδ᾽ ἀδίκων γενεάν· ὁ γὰρ οὐδενὸς ἐκφὺς*
*χρόνος δικαίους ἐπάγων κανόνας*
*δείκνυσιν ἀνθρώπων κακότητας ἐμοί.*

Stob. Flor. 2, 15 et Theophilus ad Autol. 2, 37 p. 180.

306

*ποῦ δὴ τὸ σαφὲς θνατοῖσι βιοτᾶς;*
*θοαῖσι μὲν ναυσὶ πόρον πνοαὶ κατὰ βένθους ἅλιαι*
*ἰθύνουσι· τύχας δὲ θνητῶν*
*τὸ μὲν μέγ᾽ εἰς οὐδὲν ὁ πολὺς χρόνος*
*μεθίστησι, τὸ δὲ μεῖον αὔξων*

Stob. Flor. 105, 12. vs. 2 *μὲν*] *μὲν καὶ* M. metrum loci laborat.

307

*καὶ ξεστὸν ὄχθον Δαναΐδῶν ἑδρασμάτων*
*στὰς ἐν μέσοισιν εἶπε κηρύκων . .*

Schol. Eur. Or. 872: *δεικνύουσιν ἔτι καὶ νῦν ὑπεράνω τοῦ καλουμένου πρωνὸς χῶμα παντελῶς, οὗ συμβαίνει τοὺς Ἀργείους δικάζειν. τάχα δ᾽ ἂν τούτου καὶ ἐν Βελλεροφόντῃ μνημονεύοι εἰπὼν 'καὶ ξεστὸν — κηρύκων'.* vs. 2 *κηρύκων ὕπο* Cobetus.

308

*ἄγ᾽, ὦ φίλον μοι Πηγάσου πτερόν . .*

Ar. Pac. 76: *ὦ Πηγάσιόν μοι φησί, γενναῖον πτερόν.* ubi Scholia: *παρὰ τὰ ἐκ Βελλεροφόντου Εὐριπίδου. ἐκεῖνος γὰρ δια Πηγάσου τοῦ πτερωτου ἐπεθύμει εἰς τὸν οὐρανὸν ἀνελθεῖν. 'ἄγ᾽ — πτερόν'.* cf. Suid. v. *ἑώρημα: καὶ φησὶν Εὐριπίδης 'ἄγ᾽ — Πηγάσου ταχὺ πτερόν'.* ubi *ταχὺ* ver-

sus supplendi causa additum suspicor. Ar. Pac. 135: *ἐχρῆν σε Πηγάσου ζεῦξαι πτερόν.*

309

*ἴθι χρυσοχάλιν' αἴρων πτέρυγας*

Ar. Pac. 154: *ἀλλ' ἄγε, Πήγασε, χώρει χαίρων, χρυσοχάλινον πάταγον ψαλίων διακινήσας φαιδροῖς ὠσίν.* ubi Scholia Ven.: *καὶ τάδε ἐκ τοῦ Βελλεροφόντου 'ἴθι χρυσεοχάλινε αἴρων πτέρυγας'.*

310

*πάρες, ὦ σκιερὰ φυλλάς, ὑπερβῶ*
*κρηναῖα νάπη· τὸν ὑπὲρ κεφαλῆς*
*αἰθέρ' ἰδέσθαι σπεύδω, τίν' ἔχει*
*στάσιν Εἰνοδία.*

Ar. Vesp. 757: *σπεῦδ', ὦ ψυχή. ποῦ μοι ψυχή. πάρες, ὦ σκιερά. μὰ τὸν Ἡρακλέα κτἑ.* ubi Scholia Ven.: *παρὰ τὰ ἐκ Βελλεροφόντου παίζει ταῦτα 'πάρες — εὐοδίας'.* vs. 4 *εὐοδίας* ante Valck.

311

*ἔπτησσ' ὑπείκων μᾶλλον ἢ μᾶλλον θέλοι*

Plut. Mor. p. 529 E: *οὐδὲ δεῖ τοῖς ἐπαίνοις κηλούμενον ἥδεσθαι — μηδ' ὥσπερ ὁ Εὐριπίδου Πήγασος 'ἔπτησσ' ὑπείκων μᾶλλον ἢ θέλοι' τῷ Βελλεροφόντῃ, τοῖς δεομένοις ἑαυτὸν ἐκδιδόναι.* p. 807 E: *Ἀγησίλαος δὲ περὶ τὰς τῶν φίλων σπουδὰς αὐτὸς αὐτοῦ γιγνόμενος ἀσθενέστατος καὶ ταπεινότατος ὥσπερ ὁ Εὐριπίδου Πήγασος 'ἔπτηξ' ὑπείκων μᾶλλον ἢ μᾶλλον θέλοι', καὶ ταῖς ἀτυχίαις προθυμότερον βοηθῶν τοῦ δέοντος ἐδόκει συνεξομοιοῦσθαι ταῖς ἀδικίαις.* poetae verba mihi obscura.

312

*κομίζετ' εἴσω τόνδε τὸν δυσδαίμονα.*

Ar. Eq. 1249: *κυλίνδετ' εἴσω τόνδε τὸν δυσδαίμονα.* ubi Scholia: *ταῦτα δὲ ἐκ Βελλεροφόντου Εὐριπίδου. τὸ δὲ κυλίνδετ' ἀντὶ τοῦ κομίζετε.*

313

*ἦσθ' εἰς θεοὺς μὲν εὐσεβής, ὅτ' ἦσθ', ἀεὶ*
*ξένοις τ' ἐπήρκεις οὐδ' ἔκαμνες εἰς φίλους.*

Aelian N. A. 5, 34: *τοιοῦτόν τινα καὶ τὸν Βελλεροφόντην ἡρωικῶς καὶ μεγαλοψύχως εἰς θάνατον παρεσκευασμένον ὁ Εὐριπίδης ὑμνεῖ· πεποίηκε γοῦν πρὸς τὴν ἑαυτοῦ ψυχὴν λέγοντα αὐτόν 'ἦσθ' — φίλους' καὶ τὰ ἐπὶ τούτοις.*

314

*ὑφ' ἅρματ' ἐλθὼν Ζηνὸς ἀστραπηφορεῖ.*

Ar. Pac. 722: ΕΡΜ. *οὐκ ἐνθάδ', ὦ τᾶν, ἔστι* (sc. *ὁ κάνθαρος*). ΤΡΥΓ. *ποῖ γὰρ οἴχεται;* ΕΡΜ. *ὑφ' ἅρματ' ἐλθὼν Ζηνὸς ἀστραπηφορεῖ.* ubi Schol. Ven.: *ὁ στίχος ἐκ Βελλεροφόντου Εὐριπίδου.*

## ΒΟΥΣΙΡΙΣ ΣΑΤΥΡΙΚΟΣ

De argumento cf. Apollod. 2, 5, 11: *ἐννέα — ἔτη ἀφορία τὴν Αἴγυπτον κατέλαβε, Φράσιος δὲ ἐλθὼν ἐκ Κύπρου μάντις τὴν ἐπιστήμην ἔφη τὴν ἀφορίαν παύσεσθαι, ἐὰν ξένον ἄνδρα τῷ Διὶ σφάξωσι κατ' ἔτος. Βούσιρις δὲ ἐκεῖνον πρῶτον σφάξας τὸν μάντιν τοὺς κατιόντας ξένους ἔσφαζε. συλληφθεὶς οὖν καὶ Ἡρακλῆς τοῖς βωμοῖς προσεφέρετο, τὰ δὲ δεσμὰ διαρρήξας τόν τε Βούσιριν καὶ τὸν ἐκείνου παῖδα Ἀμφιδάμαντα ἀπέκτεινε.* Dio Chrys. 8, 32: *τὸν δὲ Βούσιριν εὑρὼν πάνυ ἐπιμελῶς ἀθλοῦντα καὶ δι' ὅλης ἡμέρας ἐσθίοντα καὶ φρονοῦντα μέγιστον ἐπὶ πάλῃ, διέρρηξεν ἐπὶ τὴν γῆν καταβαλών.* Schol. Ap. Rh. 4, 1396: *Βούσιριν τὸν Ποσειδῶνος κτείνει καὶ τὸν παῖδα αὐτοῦ Ἰφιδάμαντα καὶ τὸν κήρυκα Χάλβην καὶ τοὺς ὀπάονας πρὸς τῷ βωμῷ τοῦ Διός, ἔνθα ἐξενοκτόνουν.* satyricam fuisse fabulam docet Diomedis locus supra p. 66 allatus.

315

*δούλῳ γὰρ οὐχ οἷόν τε τἀληθῆ λέγειν,*
*εἰ δεσπόταισι μὴ πρέποντα τυγχάνοι.*

Stob. Flor. 62, 21.

### 316

*ἁγνίσαι*

Hesych.: *ἁγνίσαι· ἀποθῦσαι. Βουσίριδι.*

### 317

*ἀτρεκήσασα*

Hesych.: *ἀτρεκήσασα· ἀκριβωσαμένη. Εὐριπίδης Βουσίριδι.*

## ΓΛΑΥΚΟΣ v. ΠΟΛΥΙΔΟΣ

## ΔΑΝΑΗ

Argumentum fabulae indicat Iohannes Mal. p. 34, 19: *περὶ ἧς ἐμυθολόγησεν Εὐριπίδης ὁ σοφώτατος ἐν τῇ συντάξει τοῦ αὐτοῦ δράματος ἐν κιβωτίῳ τινὶ βληθεῖσαν καὶ ῥιφεῖσαν τὴν Δανάην, ὡς φθαρεῖσαν ὑπὸ Διὸς μεταβληθέντος εἰς χρυσόν.* quicum conferas hypothesin huius fabulae in Ps.-Eur. fr. 1117 allatam. chorum mulieres efficiebant, id quod docet Pollux 4, 111: *τῶν δὲ χορικῶν ᾀσμάτων τῶν κωμικῶν ἕν τι καὶ ἡ παράβασις, ὅταν ἃ ὁ ποιητὴς πρὸς τὸ θέατρον βούλεται λέγειν, ὁ χορὸς παρελθὼν λέγῃ. ἐπιεικῶς δ' αὐτὸ ποιοῦσιν οἱ κωμῳδοποιηταί, τραγικὸν δὲ οὐκ ἔστιν· ἀλλ' Εὐριπίδης αὐτὸ πεποίηκεν ἐν πολλοῖς δράμασιν. ἐν μέν γε τῇ Δανάῃ τὸν χορὸν τὰς γυναῖκας ὑπὲρ αὐτοῦ τι ποιήσας παρᾴδειν, ἐκλαθόμενος ὡς ἄνδρας λέγειν ἐποίησε τῷ σχήματι τῆς λέξεως τὰς γυναῖκας.* mulieres de se dicentes uti interdum genere masculino notissimum est (cf. Eur. fr. 417, 4); parabasi tragicorum poetarum quemquam usum esse non credibile videtur. ex hac fabula petitos suspicor versus septendecim quos Sophocli tribuit Stobaeus Flor. 63, 6: vide Soph. fr. 856.

### 318

*γύναι, φίλον μὲν φέγγος ἡλίου τόδε,*
*καλὸν δὲ πόντου χεῦμ' ἰδεῖν εὐήνεμον,*
*γῆ τ' ἠρινὸν θάλλουσα πλούσιόν θ' ὕδωρ,*
*πολλῶν τ' ἔπαινον ἔστι μοι λέξαι καλῶν·*
*ἀλλ' οὐδὲν οὕτω λαμπρὸν οὐδ' ἰδεῖν καλὸν*

*ὡς τοῖς ἄπαισι καὶ πόθῳ δεδηγμένοις*
*παίδων νεογνῶν ἐν δόμοις ἰδεῖν φάος.*

Stob. Flor. 75, 4. vs. 3 *ποτάμιόν θ' ὕδωρ* coniecit Meinekius, *πλούσιον θάλος* Schneidewinus; suspicabar huc spectare Hesychium: *πλούσιον· θαλασσιοειδές. οἱ δὲ τὸ ὕδωρ.* vs. 4 *ἄλλων τ'* Meinekius. vs. 7 *νεογνὸν — ἰδεῖν θάλος* F. G. Schmidtius.

319

*καὶ νῦν παραινῶ πᾶσι τοῖς νεωτέροις*
*μὴ πρὸς τὸ γῆρας ἀναβολὰς ποιουμένοις*
*σχολῇ τεκνοῦσθαι παῖδας· οὐ γὰρ ἡδονή,*
*γυναικί τ' ἐχθρὸν χρῆμα πρεσβύτης ἀνήρ·*
*ἀλλ' ὡς τάχιστα. καὶ γὰρ ἐκτροφαὶ καλαὶ*
*καὶ συννεάζων ἡδὺ παῖς νέῳ πατρί.*

Stob. Flor. 71, 7. vs. 2 *ἀναβολὰς* scripsi, *τοὺς γάμους* libri. vs. 4 delendus videtur, certe *νέᾳ γυναικί* dicendum erat, sicut fr. 804.

320

*γυνὴ γὰρ ἐξελθοῦσα πατρῴων δόμων*
*οὐ τῶν τεκόντων ἐστίν, ἀλλὰ τοῦ λέχους·*
*τὸ δ' ἄρσεν ἕστηκ' ἐν δόμοις ἀεὶ γένος*
*θεῶν πατρῴων καὶ τάφων τιμάορον.*

Stob. Flor. 77, 1. vs. 1 et 2 habet Stob. Flor. 73, 11.

321

*συμμαρτυρῶ σοι· πανταχοῦ λελείμμεθα*
*πᾶσαι γυναῖκες ἀρσένων ἀεὶ δίχα.*

Stob. Flor. 73, 22.

322

*οὐκ ἔστιν οὔτε τεῖχος οὔτε χρήματα*
*οὔτ' ἄλλο δυσφύλακτον οὐδὲν ὡς γυνή.*

Stob. Flor. 74, 13. idem locus cum lemmate *Ἀλέξιδος* (Com. 3 p. 521) legitur 73, 42.

### 323

ἦν γάρ τις αἶνος, ὡς γυναιξὶ μὲν τέχναι
μέλουσι, λόγχῃ δ' ἄνδρες εὐστοχώτεροι.
εἰ γὰρ δόλοισιν ἦν τὸ νικητήριον,
ἡμεῖς ἂν ἀνδρῶν εἴχομεν τυραννίδα.

Stob. Flor. 73, 21. vs. 1 *ἦν ἄρα τις αἶνος* Meinekius.

### 324

ἔρως γὰρ ἀργὸν κἀπὶ τοῖς ἀργοῖς ἔφυ·
φιλεῖ κάτοπτρα καὶ κόμης ξανθίσματα,
φεύγει δὲ μόχθους. ἓν δέ μοι τεκμήριον·
οὐδεὶς προσαιτῶν βίοτον ἠράσθη βροτῶν,
ἐν τοῖς δ' ἔχουσιν ἡβητὴς πέφυχ' ὅδε.

Stob. Flor. 64, 5. vs. 1 *τοῖς ἀργοῖς* Piersonus, *τοῖς ἔργοις* Stob., *τοιούτοις* Plutarchus Mor. p. 757 A. cf. Plut. Mor. p. 760 D: *σκόπει τοίνυν αὖθις, ἔφη, τοῖς Ἀρηίοις ἔργοις ὅσον Ἔρως περίεστιν, οὐκ ἀργὸς ὤν, ὡς Εὐριπίδης ἔλεγεν, οὐδὲ ἀστράτευτος.* vs. 5 *ἡβητὴς* corruptum.

### 325

τάχ' ἂν πρὸς ἀγκάλαισι καὶ στέρνοις ἐμοῖς
πηδῶν ἀθύροι καὶ φιλημάτων ὄχλῳ
ψυχὴν ἐμὴν κτήσαιτο· ταῦτα γὰρ βροτοῖς
φίλτρον μέγιστον, αἱ ξυνουσίαι, πάτερ.

Stob. Flor. 78, 8. vs. 2 *πηδῶν*] *πεσὼν* vel *πίπτων* scripserim. vs. 3 *βροτοῖς* om. AB. si hunc locum respexit Aristophanes Thesm. 21: *οἷόν γε τοὐστὶν αἱ σοφαὶ ξυνουσίαι*, suspicari possis: *ταῦτα γάρ, πάτερ, φίλτρον μέγιστον, αἱ σοφαὶ ξυνουσίαι.*

### 326

ὦ χρυσέ, δεξίωμα κάλλιστον βροτοῖς,
ὡς οὔτε μήτηρ ἡδονὰς τοιάσδ' ἔχει,
οὐ παῖδες ἀνθρώποισιν, οὐ φίλος πατήρ
[οἵας σὺ χοἱ σὲ δώμασιν κεκτημένοι].

*εἰ δ' ἡ Κύπρις τοιοῦτον ὀφθαλμοῖς ὁρᾷ,*
*οὐ θαῦμ' ἔρωτας μυρίους αὐτὴν ἔχειν.*

Stob. Flor. 91, 4. eundem locum attulit Ath. IV p. 159 B, item vs. 1—4 Sextus Empir. p. 663, 23, vs. 1 2 et tertii initium Athenag. Legat. c. 29 p. 154, vs. 1 et alterius initium Diodorus exc. Vat. p. 135, denique vs. 1 Lucianus Timon. 41 vol. 1 p. 153 Somn. 14 vol. 2 p. 725 Sextus Empir. p. 570, 14. respicit vs. 1 Tzetzes Epist. 43 p. 38. vs. 3 *ἀνθρώποισιν*] *ἐν δόμοισιν* Ath. vs. 4 om. Stobaeus et Seneca. v. 6 *τρέφειν* Stob., *ἔχειν* Ath. e Bellerophonte locum petitum narrat Seneca Epist. 115: *nec apud Graecos tragicos desunt qui lucro innocentiam salutem opinionem mutent —*

*pecunia ingens generis humani bonum,*
*cui non voluptas matris aut blandae potest*
*par esse prolis, non sacer meritis parens.*
*tam dulce si quid Veneris in vultu micat,*
*merito illa amores coelitum atque hominum movet.*

*cum hi novissimi versus in tragoedia Euripidis pronuntiati essent, totus populus ad eiciendum et actorem et carmen consurrexit uno impetu, donec Euripides in medium ipse prosiluit petens ut expectarent viderentque quem admirator auri exitum faceret. dabat in illa fabula poenas Bellerophontes'*. si ipsorum versuum sententiam consideres, errasse Senecam fateare necesse est*). item erravit Gregorius Nys-

*) De Ixione similia tradit Plutarchus Mor. p. 19 E: *Εὐριπίδης εἰπεῖν λέγεται πρὸς τοὺς τὸν Ἰξίονα λοιδοροῦντας ὡς ἀσεβῆ καὶ μιαρόν, 'οὐ μέντοι πρότερον αὐτὸν ἐκ τῆς σκηνῆς ἐξήγαγον ἢ τῷ τροχῷ προσηλῶσαι'*. quae paulo maiorem habent veritatis speciem, vera esse non affirmarim. Palamedes Euripidis fabula scenae commissa est duodecim annis ante Socratis mortem ineunte olympiade 91; nihilo minus Diog. L. 2, 44 narrat ad damnatum Socratem hac tragoedia poetam allusisse (vide Eur. fr. 591), quam fabellam exornavit auctor argumenti Isocr. Busir.: *λέγεταί τι τοιοῦτον, ὡς ὅτι Εὐριπίδου βουλομένου εἰπεῖν περὶ αὐτοῦ* (de Socrate) *καὶ δεδιότος, ἀναπλάσασθαι τὸν Παλαμήδην, ἵνα διὰ τούτου σχοίη καιρὸν τοῦ αἰνίξασθαι εἰς τὸν Σωκράτη καὶ εἰς τοὺς Ἀθηναίους 'ἐκάνετε ἐκάνετε τῶν Ἑλλήνων τὸν ἄριστον', ὅ ἐστιν ἐφονεύσατε· καὶ νοῆσαν τὸ θέατρον ἅπαν ἐδάκρυσε, διότι περὶ Σωκράτους ᾐνίττετο.*

senus Epist. 11 in Gallandi Bibl. Patr. vol. 6 p. 614 C: *ἀλλ' ὃ παντὸς πλούτου τοῖς γε νοῦν ἔχουσιν ὑψηλότερόν ἐστι, τὸ κάλλιστον ὄντως δεξίωμα κατὰ Πίνδαρον, τὰ σά φημι γράμματα.*

327

*κρείσσων γὰρ οὔτις χρημάτων πέφυκ' ἀνήρ,*
*πλὴν εἴ τις· ὅστις δ' οὗτός ἐστιν οὐχ ὁρῶ.*

Stob. Flor. 10, 18. vs. 2 *εἷς τις* Porson. *οὐκ ἐρῶ* Badham.

328

*ἆρ' οἶσθ' ὁθούνεχ' οἱ μὲν εὐγενεῖς βροτῶν*
*πένητες ὄντες οὐδὲν ἀλφάνουσ' ἔτι,*
*οἳ δ' οὐδὲν ἦσαν πρόσθεν, ὄλβιοι δὲ νῦν,*
*δόξαν φέρονται τοῦ νομίσματος χάριν*
*καὶ συμπλέκοντες σπέρμα καὶ γάμους τέκνων;*
*δοῦναι δὲ πᾶς τις μᾶλλον ὀλβίῳ κακῷ*
*πρόθυμός ἐστιν ἢ πένητι κἀγαθῷ·*
*κακὸς δ' ὁ μὴ ἔχων, οἱ δ' ἔχοντες ὄλβιοι.*

Stob. Flor. 91, 23 et 92, 6. vs. 8 *ὄλβιοι*] *εὐγενεῖς* O. Hense.

329

*φιλοῦσι γάρ τοι τῶν μὲν ὀλβίων βροτοὶ*
*σοφοὺς ἡγεῖσθαι τοὺς λόγους, ὅταν δέ τις*
*λεπτῶν ἀπ' οἴκων εὖ λέγῃ πένης ἀνήρ,*
*γελᾶν· ἐγὼ δὲ πολλάκις σοφωτέρους*
*πένητας ἄνδρας εἰσορῶ τῶν πλουσίων*
*καὶ θεοῖσι μικρὰ χειρὶ θύοντας τέλη*
*τῶν βουθυτούντων ὄντας εὐσεβεστέρους.*

Stob. Flor. 97, 14. vs. 2 *ἡγεῖσθαι*] *τίθεσθαι* Valck., *ἄγεσθαι* Conington. vs. 6 et 7 affert Ath. II p. 40 D, vs. 6 Eust. Il. p. 892, 39.

330

*ὅστις δόμους μὲν ἥδεται πληρουμένους,*

*γαστρὸς δ' ἀφαιρῶν σῶμα δύστηνος κακοῖ,*
*τοῦτον νομίζω κἂν θεῶν συλᾶν βρέτη*
*τοῖς φιλτάτοις τε πολέμιον πεφυκέναι.*

Stob. Flor. 16, 6.

331

*φεῦ, τοῖσι γενναίοισιν ὡς ἁπανταχοῦ*
*πρέπει χαρακτὴρ χρηστὸς εἰς εὐψυχίαν.*

Stob. Flor. 7, 6. cum vs. 1 cf. Eur. fr. 953. vs. 2 *ῥέπει* malim.

332

*ἐς ταὐτὸν ἥκειν φημὶ ταῖς βροτῶν τύχαις*
*τόνδ' ὃν καλοῦσιν αἰθέρ', ᾧ τάδ' ἔστι δή.*
*οὗτος θέρους τε λαμπρὸν ἐκλάμπει σέλας,*
*χειμῶνά τ' αὔξει συντιθεὶς πυκνὸν νέφος,*
*θάλλειν τε καὶ μή, ζῆν τε καὶ φθίνειν ποιεῖ·*
*οὕτω δὲ θνητῶν σπέρμα τῶν μὲν εὐτυχεῖ*
*λαμπρᾷ γαλήνῃ, τῶν δὲ συννέφει πάλιν,*
*ζῶσίν τε σὺν κακοῖσιν, οἳ δ' ὄλβου μέτα*
*φθίνουσ' ἐτείοις προσφερεῖς μεταλλαγαῖς.*

Stob. Ecl. 1, 7, 8 p. 216. vs. 2 *ᾧ τάδ'*] *ὅστις* Porson. vs. 3 fortasse *λαμπρὸν ἐκπέμπει* legendum.

## ΔΙΚΤΥΣ

Argum. Eur. Med.: *ἐδιδάχθη ἐπὶ Πυθοδώρου ἄρχοντος ὀλυμπιάδος πζ' ἔτει πρώτῳ· πρῶτος Εὐφορίων, δεύτερος Σοφοκλῆς, τρίτος Εὐριπίδης Μηδείᾳ, Φιλοκτήτῃ, Δίκτυϊ, Θερισταῖς σατύροις.* de mytho cf. Apollod. 2, 4, 1: *προσενεχθείσης δὲ τῆς λάρνακος* (qua Danae exposita erat) *Σερίφῳ Δίκτυς ἄρας ἀνέτρεφε τοῦτον* (Perseum). *βασιλεύων δὲ τῆς Σερίφου Πολυδέκτης ἀδελφὸς Δίκτυος, Δανάης ἐρασθεὶς καὶ ἠνδρωμένου Περσέως μὴ δυνάμενος αὐτῇ συνελθεῖν* — (Perseo) *ἐπέταξε τῆς Γοργόνος κομίζειν τὴν κεφαλήν.* ibid. § 3: *παραγενόμενος δὲ εἰς Σέριφον* (sc. *ὁ Περσεύς*) *καὶ καταλαβὼν προσπεφευγυῖαν τοῖς βωμοῖς μετὰ*

*τοῦ Δίκτυος τὴν μητέρα διὰ τὴν Πολυδέκτου βίαν, εἰσελθὼν εἰς τὸν βασιλέα — ἀπεστραμμένος τὴν κεφαλὴν Γοργόνος ἔδειξε, τῶν δὲ ἰδόντων ὁποῖον ἕκαστος ἔτυχε σχῆμα ἔχων ἀπελιθώθη.*

333

*ἐγὼ νομίζω πατρὶ φίλτατον τέκνα*
*παισίν τε τοὺς τεκόντας, οὐδὲ συμμάχους*
*ἄλλους γενέσθαι φήμ' ἂν ἐνδικωτέρους.*

Stob. Flor. 83, 18.

334

*εἷς γάρ τις ἔστι κοινὸς ἀνθρώποις νόμος*
*καὶ θεοῖσι τοῦτο δόξαν, ὡς σαφῶς λέγω,*
*θηρσίν τε πᾶσι, τέκνα τίκτουσιν φιλεῖν.*
*τὰ δ' ἄλλα χωρὶς χρώμεθ' ἀλλήλων νόμοις.*

Stob. Flor. 83, 17. vs. 2 *τοῦτο*] *ταὐτὸ* Heathius.

335

*νέος, πόνοισι δ' οὐκ ἀγύμναστος φρένας.*

Stob. Flor. 52, 5.

336

*δοκεῖς τὸν Ἅιδην σῶν τι φροντίζειν γόων*
*καὶ παῖδ' ἀνήσειν τὸν σόν, εἰ θέλοις στένειν;*
*παῦσαι· βλέπουσα δ' εἰς τὰ τῶν πέλας κακὰ*
*ῥάων γένοι' ἄν, εἰ λογίζεσθαι θέλοις*
*ὅσοι τε δεσμοῖς ἐκμεμόχθηνται βροτῶν*
*ὅσοι τε γηράσκουσιν ὀρφανοὶ τέκνων,*
*τοὺς δ' ἐκ μεγίστης ὀλβίας τυραννίδος*
*τὸ μηδὲν ὄντας· ταῦτά σε σκοπεῖν χρεών.*

Plut. Mor. p. 106 A: *ὁ δὲ παραμυθούμενος τὴν Δανάην δυσπενθοῦσαν Δίκτυς φησί 'δοκεῖς — χρεών'.* vs. 5 *ἐμμεμόχλευνται* Bentleius. vs. 7 *μέγιστον* Elmsleius. Euripidis Dictyi hos versus vindicavit Musgravius.

337

*. . τί μ' ἄρτι πημάτων λελησμένην*
*ὀρθοῖς;*

Soph. Ai. 787: *τί μ' αὖ τάλαιναν ἀρτίως πεπαυμένην κακῶν ἀτρύτων ἐξ ἕδρας ἀνίστατε;* ubi Scholia: *παρὰ τὸ Εὐριπίδου ἐν Δίκτυϊ 'τί μ' — ὀρθοῖς'.* vs. 1 *τί μ' ἄρτι*] *τί μ' ὦ ἄρτι* codex Laur. teste G. Wolffio, qui *τί μ', ὦ ξέν', ἄρτι* conicit.

338

*θάρσει· τό τοι δίκαιον ἰσχύει μέγα.*

Stob. Flor. 13, 13.

339

*ὄντων δὲ παίδων καὶ πεφυκότος γένους*
*καινοὺς φυτεῦσαι παῖδας ἐν δόμοις θέλεις,*
*ἔχθραν μεγίστην σοῖσι συμβάλλων τέκνοις.*

Stob. Flor. 83, 21. vs. 3 *συμβαλῶν* Bergkius.

340

*πατέρα τε παισὶν ἡδέως συνεκφέρειν*
*φίλους ἔρωτας ἐκβαλόντ' αὐθαδίαν,*
*παῖδάς τε πατρί· καὶ γὰρ οὐκ αὐθαίρετοι*
*βροτοῖς ἔρωτες οὐδ' ἑκουσία νόσος.*
*σκαιόν τι δὴ τὸ χρῆμα γίγνεσθαι φιλεῖ,*
*θεῶν ἀνάγκας ὅστις ἰᾶσθαι θέλει.*

Stob. Flor. 83, 16. vs. 2 *φίλους*] *φίλος* AB, *ὦ φίλος* Iacobsius, *δεῖ τοὺς* Meinekius.

341

*Κύπρις γὰρ οὐδὲν νουθετουμένη χαλᾷ,*
*ἤν τ' αὖ βιάζῃ, μᾶλλον ἐντείνειν φιλεῖ,*
*κἄπειτα τίκτει πόλεμον· εἰς δ' ἀνάστασιν*
*δόμων περαίνει πολλάκις τὰ τοιάδε.*

Stob. Flor. 64, 8. vs. 1 et 2 habet Galenus vol. 5 p. 411

*της ἀμφισβητοῦντα, τυχεῖν δὲ κατ' ἐκείνους τοὺς χρόνους βασιλεύοντα Ἐρεχθέα, γυναῖκα ἔχοντα Πραξιθέαν τὴν Κηφισοῦ θυγατέρα. μεγάλου δὲ στρατοπέδου μέλλοντος αὐτοῖς εἰσβάλλειν εἰς τὴν χώραν, εἰς Δελφοὺς ἰὼν ἠρώτα τὸν θεὸν τί ποιῶν ἂν νίκην λάβοι παρὰ τῶν πολεμίων. χρήσαντος δ' αὐτῷ τοῦ θεοῦ, τὴν θυγατέρα εἰ θύσειε πρὸ τοῦ συμβαλεῖν τῷ στρατοπέδῳ, κρατήσειν τῶν πολεμίων, ὃ δὲ τῷ θεῷ πειθόμενος τοῦτ' ἔπραξε καὶ τοὺς ἐπιστρατευομένους ἐκ τῆς χώρας ἐξέβαλε. διὸ καὶ δικαίως ἄν τις Εὐριπίδην ἐπαινέσειεν, ὅτι — τοῦτον τὸν μῦθον προείλετο ποιῆσαι.* Plut. Mor. p. 310 D: *Ἐρεχθεὺς πρὸς Εὔμολπον πολεμῶν ἔμαθε νικῆσαι ἐὰν τὴν θυγατέρα προθύσῃ, καὶ συγκοινωνήσας τῇ γυναικὶ Πραξιθέᾳ προέθυσε τὴν παῖδα. μέμνηται Εὐριπίδης ἐν Ἐρεχθεῖ.* cf. Demaratus Tragodum. in Mülleri Fragm. Hist. vol. 4 p. 379 sq. Apollod. 3, 15, 1 et 4. fabulam paulo post olymp. 89, 4 actam esse e Plut. V. Niciae c. 9 (vide fr. 370) conclusit Meinekius. Porsonus probabiliter huc refert adesp. fr. 339: *φιλῶ τέκν', ἀλλὰ πατρίδ' ἐμὴν μᾶλλον φιλῶ.*

351

*Αἰθιοπίαν νιν ἐξέσωσ' ἐπὶ χθόνα.*

Steph. Byz. v. *Αἰθίοψ* p. 47, 13: *λέγεται καὶ Αἰθιοπία γῆ. Εὐριπίδης Ἐρεχθεῖ 'Αἰθιοπίαν — χθόνα'.* Apollod. 3, 15, 4: *Χιόνη δὲ Ποσειδῶνι μίγνυται· ἡ δὲ κρύφα τοῦ πατρὸς Εὔμολπον τεκοῦσα, ἵνα μὴ γένηται καταφανής, εἰς τὸν βυθὸν ῥίπτει τὸ παιδίον· Ποσειδῶν δὲ ἀνελόμενος εἰς Αἰθιοπίαν κομίζει καὶ δίδωσι Βενθεσικύμῃ τρέφειν.*

352

*καί μοι, πολὺν γὰρ πέλανον ἐκπέμπεις δόμων,*
*φράσον σελήνας τάσδε πυρίνου χλόης*

Suid. v. *ἀνάστατοι* et *σελῆναι*: *ἐν Ἐρεχθεῖ τὰς σελήνας πελάνους εἴρηκεν Εὐριπίδης 'καί μοι — χλόης'.* cf. Suid. v. *βοῦς ἕβδομος*: *ὁμοίως δὲ καὶ αἱ σελῆναι πέμματα πλατέα κυκλοτερῆ, ἃ καὶ οὕτως ἐκάλουν· ἔστι δὲ παρὰ Εὐριπίδῃ ἐν Ἐρεχθεῖ καὶ παρ' Ἀχαιῷ ἐν Ἴριδι.* Hesych.: *σελήνας· πόπανα τῷ ἄστρῳ ὅμοια, πέμματα.* Steph. Byz. v. *Σελήνης*

*πόλις* p. 560, 18: *ἔστι καὶ σελήνη πόπανόν τι τῷ ἄστρῳ παραπλήσιον.*

353

*ὀλολύζετ', ὦ γυναῖκες, ὡς ἔλθῃ θεὰ*
*χρυσῆν ἔχουσα Γοργόν' ἐπίκουρος πόλει.*

Schol. Ven. Ar. Pac. 97: *ὀλολύζειν — εὔχεσθαι. καὶ Εὐριπίδης Ἐρεχθεῖ* (*ἔρχεσθαι* cod.) '*ὀλολύζετ — πόλει*'.

354

*ὡς σὺν θεοῖσι τοὺς σοφοὺς κινεῖν δόρυ*
*στρατηλάτας χρή, τῶν θεῶν δὲ μὴ βίᾳ.*

Stob. Flor. 54, 12.

355

*οὐδεὶς στρατεύσας ἄδικα σῶς ἦλθεν πάλιν.*

Stob. Flor. 54, 13.

356

*τὰς οὐσίας γὰρ μᾶλλον ἢ τὰς ἁρπαγὰς*
*τιμᾶν δίκαιον· οὔτε γὰρ πλοῦτός ποτε*
*βέβαιος ἄδικος*

Stob. Flor. 94, 10. vs. 1 *οὐσίας* suspectum. vs. 2 *οὔτι γὰρ* Bothius.

357

*ναῦς ἡ μεγίστη κρεῖσσον ἢ μικρὸν σκάφος.*

Stob. Flor. 59, 13. *πολλάκις ναὸς μεγίστης κρεῖσσον ἦν μικρὸν σκάφος* Herwerdenus.

358

*ὀλίγους ἐπαινῶ μᾶλλον ἢ πολλοὺς κακούς.*

Stob. Flor. 51, 12.

359

*ζεῦγος τριπάρθενον*

Hesych.: *ζεῦγος τριπάρθενον· Εὐριπίδης Ἐρεχθεῖ.* cf. Schol. Arat. 172: *Εὐριπίδης μὲν οὖν ἐν Ἐρεχθεῖ τὰς Ἐρεχθέως θυγατέρας Ὑάδας φησὶ γενέσθαι τρεῖς οὔσας.*

*ὦ πατρίς, εἴθε πάντες οἳ ναίουσί σε*
*οὕτω φιλοῖεν ὡς ἐγώ· καὶ ῥᾳδίως*
*οἰκοῖμεν ἄν σε, κοὐδὲν ἂν πάσχοις κακόν.*

Lycurg. c. Leocr. § 100: *ἄξιον δέ, ὦ ἄνδρες δικασταί, καὶ τῶν ἰαμβείων ἀκοῦσαι ἃ πεποίηκε* (sc. Euripides Erechthei mythum tractans) *λέγουσαν τὴν μητέρα τῆς παιδός· ὄψεσθε γὰρ ἐν αὐτοῖς μεγαλοψυχίαν καὶ γενναιότητα ἀξίαν καὶ τῆς πόλεως καὶ τοῦ γενέσθαι Κηφισοῦ θυγατέρα. ʽτὰς χάριτας — πάσχοις κακόν᾿*. Plut. Mor. p. 604 D: *τίς γὰρ εἴρηκε τῆς ἑαυτοῦ πατρίδος ἐγκώμιον τοιοῦτον οἷον Εὐριπίδης; ʽἣ πρῶτα — εἰσὶν ἐξαγώγιμοι᾿* (vs. 7—10), ubi qui accedunt versus quinque, *εἰ δὲ πάρεργον κτἑ.* videntur alius loci esse (cf. fr. 971). vs. 3 [*δρῶσι*] *δυσγενέστερον* Heinrichius, *δυσγενέστερον* [*λέγω*] Meinekius. vs. 4 *παῖδα τὴν ἐμὴν* scripsi, *τὴν ἐμὴν παῖδα* libri. vs. 6 *οὐκ ἂν — λαβεῖν*] *οὐκ ἂν — λάβοιν* Dind., *οὐκ ἦν — λαβεῖν* Both. vs. 9 *διαφορηθεῖσαι βολαῖς* Plut. vs. 10 *ἐξαγώγιμοι* Plut. vs. 11 *οἰκήσῃ* Meinekius, *οἰκίζει* libri. vs. 19 *εἰ γὰρ ἀριθμοὺς δίοιδα* Herwerdenus. vs. 20 *πλέον*] *πλεῖον* libri. vs. 31 *εἵλοντο παῖδας καὶ* Dobraeus, *ζῆν παῖδας εἵλοντ᾿ ἢ* Matthiae. vs. 38 *ἐμὴν οὖν* Nagel. vs. 44 *ἄτερ*] *ἄνερ* Valck., *ἀνήρ* Bothius. vs. 48 *Θρῇξ* L. Dindorfius. vs. 52 *ὑμῖν τήνδ᾿ ἐγὼ οὐ*] *οὐ τήνδ᾿ ἐγὼ* Ald., *ὑμῖν ἐγὼ οὐ* Sauppius.

## 363

*ἐγὼ δὲ τοὺς καλῶς τεθνηκότας*
*ζῆν φημὶ μᾶλλον τοῦ βλέπειν τοὺς μὴ καλῶς.*

Stob. Flor. 121, 15. vs. 2 fort. *ζῆν φημί, φημὶ δ᾿ οὐ βλέπειν* leg.

## 364

*ὀρθῶς μ᾿ ἐπήρου· βούλομαι δὲ σοί, τέκνον,*
*φρονεῖς γὰρ ἤδη κἀποσῶσαι᾿ ἂν πατρὸς*
*γνώμας φράσαντος, ἢν θάνω, παραινέσαι*
*κειμήλι᾿ ἐσθλὰ καὶ νέοισι χρήσιμα.*
*βραχεῖ δὲ μύθῳ πολλὰ συλλαβὼν ἐρῶ.*

*πρῶτον φρένας μὲν ἠπίους ἔχειν χρεών·*
*τῷ πλουσίῳ τε τῷ τε μὴ διδοὺς μέρος*
*ἴσον σεαυτὸν εὐσεβεῖν πᾶσιν δίδου.*
*δυοῖν παρόντοιν πραγμάτοιν πρὸς θάτερον*
*γνώμην προσάπτων τὴν ἐναντίαν μέθες.*
*ἀδίκως δὲ μὴ κτῶ χρήματ', ἢν βούλῃ πολὺν*
*χρόνον μελάθροις ἐμμένειν· τὰ γὰρ κακῶς*
*οἴκους ἐσελθόντ' οὐκ ἔχει σωτηρίαν.*
*ἔχειν δὲ πειρῶ· τοῦτο γάρ τό τ' εὐγενὲς*
*καὶ τοὺς γάμους δίδωσι τοὺς πρώτους ἔχειν.*
*ἐν τῷ πένεσθαι δ' ἐστὶν ἥ τ' ἀδοξία,*
*κἂν ᾖ σοφός τις, ἥ τ' ἀτιμία βίου.*
*φίλους δὲ τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις*
*κέκτησο· τοὺς δὲ πρὸς χάριν σὺν ἡδονῇ*
*τῇ σῇ πονηροὺς κλῇθρον εἰργέτω στέγης.*
*ὁμιλίας τε τὰς γεραιτέρας φίλει,*
*ἀκόλαστα δ' ἤθη λαμπρὰ συγγελᾶν μόνον*
*μίσει· βραχεῖα τέρψις ἡδονῆς κακῆς.*
*ἐξουσίᾳ δὲ μήποτ' ἐντυχών, τέκνον,*
*αἰσχροὺς ἔρωτας δημοτῶν διωκαθεῖν.*
*ὃ καὶ σίδηρον ἀγχόνας τ' ἐφέλκεται,*
*χρηστῶν πενήτων ἤν τις αἰσχύνῃ τέκνα.*
*καὶ τοὺς πονηροὺς μήποτ' αὔξαν' ἐν πόλει·*
*κακοὶ γὰρ ἐμπλησθέντες ἢ νομίσματος*
*ἢ πόλεος ἐμπεσόντες εἰς ἀρχήν τινα*
*σκιρτῶσιν, ἀδόκητ' εὐτυχησάντων δόμων.*
*ἀλλ' ὦ τέκνον μοι δὸς χέρ', ὡς θίγῃ πατήρ,*
*καὶ χαῖρ'· ὑπ' αἰδοῦς δ' οὐ λίαν ἀσπάζομαι·*
*γυναικόφρων γὰρ θυμὸς ἀνδρὸς οὐ σοφοῦ.*

Stob. Flor. 3, 18. vs. 11—13 affert Stob. Flor. 94, 4. vs. 14—17 Stob. Flor. 91, 22 et 92, 2. vs. 18—20 Stob. Flor. 14, 3; eosdem *τῇ τραγικῇ Μερόπῃ* memoriae errore

tribuit Plut. Mor. p. 63 A. vs. 21—23 habet Stob. Flor. 115, 3. vs. 21 legitur in Men. mon. 421. vs. 24—27 Stob. Flor. 17, 7. vs. 28—31 Stob. Flor. 44, 4. vs. 29—31 Plut. Mor. p. 337 F. vs. 5 cf. Aesch. Prom. 505: *βραχεῖ δὲ μύθῳ πάντα* (*πολλὰ* malim) *συλλήβδην μάθε*. Lucret. 6, 1083: *sed breviter paucis praestat comprendere multa*. vs. 8 *εὐσεβῆ* scribendum suspicor. vs. 22 et 23 *ἀκόλαστα — κακῆς*] *βραχεῖα τέρψις ἡδονῆς τίκτει λύπην* Stob. Flor. 3 turpi interpolatione. vs. 30 *ἀρχήν τινα*] *τιμάς τινας* Plut.

## 365

*εἷς μὲν λόγος μοι δεῦρ᾽ ἀεὶ περαίνεται.*

Anecd. Bachm. vol. 1 p. 191, 29: *δεῦρ᾽ ἀεί — τινὲς ἀντὶ τοῦ ὡδί. τοῦτο μὲν δεῦρο ὧδε. τὸ δὲ δεῦρ᾽ ἀεί που καὶ Εὐριπίδης 'εἷς — περαίνεται'*. eundem versum habet Ar. Lys. 1135. huc igitur cum Meinekio revocandum est quod ad Ar. Lys. 1131: *'Ὀλυμπίασιν, ἐν Πύλαις, Πυθοῖ, πόσους'* Scholia annotant: *ὅλος ὁ ἴαμβος λέλεκται ἐξ Ἐρεχθέως*.

## 366

*ἐκ τῶν πόνων τοι τἀγάθ᾽ αὔξεται βροτοῖς·*
*ὁ δ᾽ ἡδὺς αἰὼν ἡ κακή τ᾽ ἀνανδρία*
*οὔτ᾽ οἶκον οὔτε βίοτον οὐδὲν ὠφελεῖ.*

Stob. Flor. 29, 22. vs. 1—3 habet Orion Flor. 7, 2 p. 259, 18. vs. 1 recurrit in Stob. Flor. 29, 11 Schol. Aristot. Eth. Nic. in Anecd. Paris. vol. 1 p. 192, 27 Men. mon. 149. *τοι*] *γὰρ* Orion et Men. mon. vs. 2 *ἀτολμία* Orion. vs. 3 *γαῖαν ὀρθώσειεν ἂν* Orion (cf. Eur. fr. 241), *βίοτον οὐδὲν ὠφελεῖ* Stobaeus, ubi *οὐδὲν ὠφελεῖν* Vind., fortasse igitur *οἶδεν ὠφελεῖν* leg.

## 367

*αἰδοῦς δὲ καὐτὸς δυσκρίτως ἔχω πέρι·*
*καὶ δεῖ γὰρ αὐτῆς κἄστιν αὖ κακὸν μέγα.*

Clemens Alex. Strom. VI p. 741: *Εὐριπίδης ἐν Ἐρεχθεῖ γράφει 'αἰδοῦς — μέγα'*.

368[a]

*τοὐνθένδ' ἀπίχθυς βαρβάρους οἰκεῖν δοκῶ*

Eust. Od. p. 1720, 26: *ἐν μέντοι τῷ περὶ ὀνομασίας ἡλικιῶν τοῦ γραμματικοῦ Ἀριστοφάνους φέρεται ὅτι ἀπίχθυες κατά τινας οἱ μὴ ἐσθίοντες ἰχθῦς, καὶ φέρει ἐκεῖνος καὶ Ἀριστοφάνους χρῆσιν ἐξ Ἐρεχθέως ταύτην ʻτοὐνθένδεν — δοκῶʼ*. Euripidis esse iambum, non Aristophanis, verissime iudicavit Dindorfius. Eustathius ut *Ἀριστοφάνους χρῆσιν* pro *Εὐριπίδου χρῆσιν* scriberet effecerunt verba *τοῦ γραμματικοῦ Ἀριστοφάνους*. ceterum *τοὐνθένδεν* Eust.

368[b]

*ἐν ἀστρώτῳ πέδῳ*
*εὕδουσι, πηγαῖς δ' οὐχ ὑγραίνουσιν πόδας.*

Clemens Alex. Strom. VI p. 739. vs. 2 cf. Eust. Il. p. 1058, 4 de Sellis: *ὃ καὶ ἐν τῷ τοῦ Εὐριπίδου Ἐρεχθεῖ δηλοῦται εἰπόντος ὅτι πηγαῖς οὐχ ὑγραίνουσιν πόδας.*

369

*μίασμα δρυός*

Proverb. append. 3, 97: *μίασμα δρυός· παρ' Εὐριπίδῃ ἐν Ἐρεχθεῖ αἰνιττόμενον τὸ Θηβαίων παρανόμημα εἰς τὸ ἐν Δωδώνῃ μαντεῖον· — ἠσέβησαν γὰρ εἰς τὴν ἱέρειαν ἐμβαλόντες αὐτὴν εἰς τὸν ἐν Δωδώνῃ λέβητα ζέοντα, ἐρωτικῶς διατεθεῖσαν εἰς ἕνα τῶν θεωρῶν.*

370

*κείσθω δόρυ μοι μίτον ἀμφιπλέκειν ἀράχναις,*
*μετὰ δ' ἡσυχίας πολιῷ γήρᾳ συνοικοίην·*
*ἀείδοιμι δὲ στεφάνοις κάρα πολιὸν στεφανώσας*
*Θρηίκιον πέλταν πρὸς Ἀθάνας*
*περικίοσιν ἀγκρεμάσας θαλάμοις*
*δέλτων τ' ἀναπτύσσοιμι γῆρυν*
*ἃν σοφοὶ κλέονται.*

Stob. Flor. 55, 4. vs. 1 affert Plut. vit. Niciae c. 9, re-

spicit Eust. Od. p. 1793, 40. *ἀράχναις*] *ἀράχνᾳ* Stob. vs. 2 *συνοικείην* cod A, fortasse *ξυνοικεῖν* leg. vs. 3 *ᾄδοιμι* Valckenarius.

371

Etym. M. p. 153, 32: *Ἀσιάδος κρούματα, τῆς κιθάρας. οὕτως Ἀριστοφάνης εἶπε παρῳδῶν τὸ ἐξ Ἐρεχθέως Εὐριπίδου.* Aristophanis locus exstat Thesm. 120: *Λατώ τε κρούματά τ' Ἀσιάδος ποδὶ παράρυθμ' εὔρυθμα* (*παρ' εὔρυθμα* Dindorfius) *Φρυγίων δινεύματα Χαρίτων.*

## ΕΥΡΥΣΘΕΥΣ ΣΑΤΥΡΙΚΟΣ

Herculis in hac fabula partes fuisse docet fr. 372; de Lernaea hydra intellegenda videntur fr. 374 et 375.

372

*πέμψεις δ' ἐς Ἅιδου ζῶντα κοὐ τεθνηκότα*
*καί μοι τὸ τέρθρον δῆλον οἷ πορεύομαι.*

Erotian. Gl. Hippocr. p. 126, 14: *τέρθρον γὰρ ἔλεγον οἱ παλαιοὶ τὸ ἔσχατον καὶ ἐπὶ τέλει, ὡς καὶ Εὐριπίδης ἐν Εὐρυσθεῖ ποιεῖ τὸν Ἡρακλέα λέγοντα οὕτως* '*πέμψεις — εἰσπορεύομαι*'. vs. 2 *οἷ πορεύομαι* Erfurdtius, *εἰσπορεύομαι* libri. *οἴμοι· τὸ τέρθρον δῆλον ὡς πορεύομαι* Weilius.

373

*οὐκ ἔστιν, ὦ γεραιέ, μὴ δείσῃς τάδε·*
*τὰ Δαιδάλεια πάντα κινεῖσθαι δοκεῖ*
*βλέπειν τ' ἀγάλμαθ'· ὧδ' ἀνὴρ κεῖνος σοφός.*

Schol. Eur. Hec. 838: *περὶ τῶν Δαιδάλου ἔργων ὅτι ἐκινεῖτο καὶ προΐει φωνὴν αὐτός τε Εὐριπίδης ἐν Εὐρυσθεῖ λέγει* '*οὐκ ἔστιν — σοφός*' *καὶ Κρατῖνος ἐν Θρᾴτταις.* hinc vs. 2 et 3 affert et Platoni comico male tribuit Tzetz. Chil. 1, 518. vs. 2 *δόκει* Valck.

374

*πᾶς δ' ἐξεθέρισεν ὥστε πύρινον στάχυν*
*—ᾔθη κολούων φασγάνου μελανδέτου.*

Pollux 10, 145: ὅτι δὲ καὶ τὴν σπάθην ἐπὶ τοῦ ξίφους εἰρήκασιν, εὕροις ἂν ἐν Εὐριπίδου Εὐρυσθεῖ σατυρικῷ 'πᾶς — μελανδέτου'. vs. 1 πᾶς corruptum videtur, τάς coniecit Weilius; an πάσας δ' ἐθέρισεν?

375

ἢ κύαθον ἢ χαλκήλατον
ἡθμὸν προσίσχων τοῖσδε τοῖς ὑπωπίοις

Pollux 10, 108: σκεῦος δὲ μαγειρικὸν καὶ ἡθμός, Εὐριπίδου ἐν Εὐρυσθεῖ σατυρικῷ εἰπόντος 'ἢ κύαθον — ὑπωπίοις'.

376

πιστὸν μὲν οὖν εἶναι χρὴ τὸν διάκονον
τοιοῦτον εἶναι καὶ στέγειν τὰ δεσποτῶν.

Stob. Flor. 62, 23. vs. 1 εἶναι χρὴ τὸν] εἶναί σε χρὴ temptabam. vs. 2 εἶναι] οἷον Henr. Weilius.

377

οὐκ οἶδ' ὅτῳ χρὴ κανόνι τὰς βροτῶν τύχας
ὀρθῶς ἀθρήσαντ' εἰδέναι τὸ δραστέον.

Stob. Flor. 98, 40.

378

μάτην δὲ θνητοὶ τοὺς νόθους φεύγουσ' ἄρα
παῖδας φυτεύειν· ὃς γὰρ ἂν χρηστὸς φύῃ,
οὐ τοὔνομ' αὐτοῦ τὴν φύσιν διαφθερεῖ.

Stob. Flor. 77, 11. vs. 2 φύῃ Cobetus, φυῇ libri.

379

νῦν δ' ἣν τις οἴκων πλουσίαν ἔχῃ φάτνην,
πρῶτος γέγραπται τῶν τ' ἀρειόνων κρατεῖ·
τὰ δ' ἔργ' ἐλάσσω χρημάτων νομίζομεν.

Stob. Flor. 92, 7. vs. 1 οἴκων — ἔχῃ] οἰκῇ — ἔχων F. G. Schmidtius. vs. 2 τῶν τ' ἀρειόνων κρατεῖ Henr. Weilius (ἀρειόνων iam Erfurdtius), τῶν κακιόνων κράτει libri. huic loco fr. 1035, 4—6 praemitti iubet Th. Gomperzius.

### 380

*σκύφος τε μακρός*

Ath. XI p. 498 D: *Εὐριπίδης δ' ἐν Εὐρυσθεῖ ἀρσενικῶς ἔφη 'σκύφος τε μακρός'.* cf. Eust. Od. p. 1775, 19: *Εὐριπίδης 'σκύφος τε μακρός'. μακρός]* *μικρός* scripserim.

### 381

*Ταρτάρειος*

Stephanus Byz. p. 606, 12: *Τάρταρος — ὁ οἰκήτωρ Ταρτάριος, καὶ διὰ τῆς ΕΙ διφθόγγου παρ' Εὐριπίδῃ ἐν Εὐρυσθεῖ σατυρικῷ.*

## ΘΕΡΙΣΤΑΙ

Argum. Eur. Med., vide p. 83.

## ΘΗΣΕΥΣ

De argumento parum constat. Theseum et Minoem graviter rixantes ostendit fr. 386, *οἱ ταττόμενοι παῖδες εἰς βορὰν τῷ Μινωταύρῳ* memorantur in Schol. Aristoph. (fr. 389), itaque probabiliter huc relata est Minotauri mentio quam habemus fr. 383 et 384. Tzetzes Chil. 11, 555: *εἰς ὃν* (labyrinthum dicit) *ἦν ὁ Μινώταυρος, βοάνθρωπον θηρίον· πολλοὶ δὲ ἐγκλειόμενοι ἐκεῖσε ἀνῃροῦντο ὑπὸ τοῦ Μινωταύρου μέν, ὥσπερ τισὶν ἀρέσκει καὶ Εὐριπίδῃ δὲ αὐτῷ ἐν δράματι Θησεῖ, κατά τινας ἑτέρους δὲ καμπαῖς δυσεξελεύστοις.* scenam in Creta fuisse consentaneum est. aliquot Dictyis versus (fr. 342) huic fabulae tribuit Stobaeus Flor. 5, 21, item Aegei locum (fr. 7) Flor. 9, 8.

### 382

*σχεδὸν παρ' αὐτοῖς κρασπέδοις Εὐρωπίας*

Stephanus Byz. p. 287, 11: *Εὐρώπη — λέγεται καὶ Εὐρώπεια καὶ διὰ τοῦ Ι Εὐρωπία — Εὐριπίδης ἐν Θησεῖ 'σχεδὸν — Εὐρωπίας'.* Aristid. vol. 2 p. 444: *καίτοι κράσπεδον Εὐριπίδου φωνῇ μάλιστ' ἄν τις αὐτὴν* (Alexandriam) *προσείποι.*

383

*σύμμικτον εἶδος κἀποφώλιον τρέφος*

Plut. V. Thesei c. 15: *τοὺς δὲ παῖδας εἰς Κρήτην κομιζομένους ὁ μὲν τραγικώτατος μῦθος ἀποφαίνει τὸν Μινώταυρον ἐν τῷ λαβυρίνθῳ διαφθείρειν ἢ πλανωμένους αὐτοὺς καὶ τυχεῖν ἐξόδου μὴ δυναμένους ἐκεῖ καταθνήσκειν, τὸν δὲ Μινώταυρον, ὥσπερ Εὐριπίδης φησί, 'σύμμικτον — βρέφος' γεγονέναι καὶ 'ταύρου — φύσει'* (fr. 384). Plut. Mor. p. 520 C: *καὶ ζητοῦντες εἴ τι γεγένηται 'σύμμικτον εἶδος κἀποφώλιον τέρας'.*

384

*ταύρου μεμῖχθαι καὶ βροτοῦ διπλῇ φύσει*

Plut. V. Thesei c. 15, vide fr. 383.

385

*ἐγὼ πέφυκα γραμμάτων μὲν οὐκ ἴδρις,*
*μορφὰς δὲ λέξω καὶ σαφῆ τεκμήρια.*
*κύκλος τις ὡς τόρνοισιν ἐκμετρούμενος,*
*οὗτος δ' ἔχει σημεῖον ἐν μέσῳ σαφές·*
*τὸ δεύτερον δὲ πρῶτα μὲν γραμμαὶ δύο,*
*ταύτας διείργει δ' ἐν μέσαις ἄλλη μία·*
*τρίτον δὲ βόστρυχός τις ὣς εἱλιγμένος·*
*τὸ δ' αὖ τέταρτον ἣ μὲν εἰς ὀρθὸν μία,*
*λοξαὶ δ' ἐπ' αὐτῆς τρεῖς κατεστηριγμέναι*
*εἰσίν· τὸ πέμπτον δ' οὐκ ἐν εὐμαρεῖ φράσαι·*
*γραμμαὶ γάρ εἰσιν ἐκ διεστώτων δύο,*
*αὗται δὲ συντρέχουσιν εἰς μίαν βάσιν·*
*τὸ λοίσθιον δὲ τῷ τρίτῳ προσεμφερές.*

Ath. X p. 454 B: *Εὐριπίδης δὲ τὴν ἐν τῷ Θησεῖ τὴν ἐγγράμματον ἔοικε ποιῆσαι ῥῆσιν. βοτὴρ δ' ἐστὶν ἀγράμματος αὐτόθι δηλῶν τοὔνομαι τοῦ Θησέως ἐπιγεγραμμένον οὕτως 'ἐγὼ — προσεμφερές'.* vs. 3 *εὖ μετρούμενος* Meinekius. vs. 6 *δ' ἐν μέσαις*] *διαμέσους* Meinekius. vs. 11 *εἰσι τῶν διεστωσῶν* Herwerdenus.

386

*ὦ βδελυρὲ κἀναίσχυντε καὶ τολμηρὲ σύ*

Ar. Ran. 465: ΑΙΑΚΟΣ. '*ὦ βδελυρὲ — σύ*', *καὶ μιαρὲ καὶ παμμίαρε καὶ μιαρώτατε, ὃς τὸν κύν' ἡμῶν ἐξελάσας τὸν Κέρβερον.* ubi Scholia Ven. vs. 467: *παραπλήσιά ἐστι τούτοις τὰ ἐν τῷ Θησεῖ πεποιημένα παρ' Εὐριπίδῃ· ἐκεῖ γὰρ τοιοῦτος ἦν σπουδάζων καὶ τοιαῦτα λέγει πρὸς τὸν Μίνωα.* versus supra scriptus recurrit Ar. Pac. 182: ΕΡΜΗΣ. *ὦ βδελυρὲ καὶ τολμηρὲ κἀναίσχυντε σὺ [καὶ μιαρὲ καὶ παμμίαρε καὶ μιαρώτατε], πῶς δεῦρ' ἀνῆλθες, ὦ μιαρῶν μιαρώτατε;* cf. Pac. 362: *ὦ μιαρὲ καὶ τολμηρέ, τί ποιεῖν διανοεῖ;* Nub. 1327: *ὦ μιαρὲ καὶ πατραλοῖα καὶ τοιχωρύχε.* Ar. Com. 2 p. 958: *ὦ μιαρὲ καὶ Φρυνῶνδα καὶ πονηρὲ σύ.* Com. anon. 4 p. 657: *ὦ προδότι καὶ παραγωγὲ καὶ μύραινα σύ.*

387

Ar. Ran. 470:

*τοία Στυγός σε μελανοκάρδιος πέτρα*
*'Αχερόντιός τε σκοπελὸς αἱματοσταγὴς*
*φρουροῦσι Κωκυτοῦ τε περίδρομοι κύνες*
*"Εχιδνά θ' ἑκατογκέφαλος, ἣ τὰ σπλάγχνα σου*
*διασπαράξει, πλευμόνων τ' ἀνθάψεται*
*[Ταρτησία μύραινα]· τὼ νεφρὼ δέ σου*
*αὐτοῖσιν ἐντέροισιν ᾑματωμένω*
*διασπάσονται Γοργόνες [Τιθράσιαι].*

In his haud pauca inesse ex Euripidis Theseo petita Scholia indicant. ad vs. 470 codex Θ adscriptum habet *ἐκ Θησέως Εὐριπίδου.* cod. Ven.: *καὶ τὰ μὲν ἑαυτῷ πλάττων λέγει, τὰ δὲ ἐξ Εὐριπίδου.* Schol. vs. 475: *τὸ γὰρ Στυγὸς ἐκπληκτικὸν εἶπε τούτοις. ἔστι δὲ ταῦτα ἐν Θησεῖ πεποιημένα Εὐριπίδῃ· ἐκεῖ γὰρ τοιοῦτός ἐστι σπουδάζων ὁ Εὐριπίδης οἷος ἐνταῦθα παίζων.* ipsa verba Euripidea restituere non licet. pro *Ταρτησία* (vs. 475) fortasse Eur. dixit *Τιταρησία*. *Τιθράσιαι* (vs. 477) substitutum esse pro Euripideo *Λιβυστικαί* coniecit Hermannus.

388

*κάρα τε γάρ σου συγχέω κόμαις ὁμοῦ,*

*ῥανῶ πέδοι δ' ἐγκέφαλον· ὀμμάτων δ' ἄπο*
*αἱμοσταγεῖς πρηστῆρες ῥεύσονται κάτω.*

Schol. Ar. Ran. 473: *Ἔχιδνά θ' ἑκατογκέφαλος*] *ὁ τόπος οὗτος παρὰ τὰ ἐν Θησεῖ Εὐριπίδου 'κάρα — κάτω'.* vs. 3 *ὕσονται* Bentleius, *οἴσονται* Herwerdenus.

389

*τί με δῆτ', ὦ μελέα μᾶτερ, ἔτικτες;*

Ar. Vesp. 312:

ΠΑΙΣ. *τί με δῆτ', ὦ μελέα μῆτερ, ἔτικτες;*
ΧΟΡ. *ἵν' ἐμοὶ πράγματα βόσκειν παρέχῃς.*
*ἀνόνητον ἄρ' ὦ θυλάκιόν σ' εἶχον ἄγαλμα.*

ubi Scholia Ven. vs. 313: *πράγματα βόσκειν*] *ὁ λόγος ἐκ Θησέως Εὐριπίδου. ἐκεῖ γὰρ ταῦτα λέγουσιν οἱ ταττόμενοι παῖδες εἰς βορὰν τῷ Μινωταύρῳ. καὶ τοῦτο* (sc. vs. 314) *παρὰ τὰ ἐκ Θησέως· ἔστι δὲ Ἱππόλυτος ὁ λέγων ταῦτα 'ἀνόνητον — τεκών'* (fr. 390). Aristophanes Euripidea verba pro suo arbitrio mutavit: vitiosum autem *βόσκειν*, quod e *πόσθων* ortum suspicor.

390

*ἀνόνητον ἄγαλμ', ὦ πάτερ, οἴκοισι τεκών*

Schol. Ar. Vesp. 313, vide fr. 389.

391

*καίτοι φθόνου μὲν μῦθον ἄξιον φράσω*

Schol. Eur. Hec. 288: *τὸν φθόνον νῦν ἐπὶ τοῦ μώμου τίθησιν, ὡς ἐν Θησεῖ 'καίτοι — φράσω'.*

392

*ἐγὼ δὲ τοῦτο παρὰ σοφοῦ τινος μαθὼν*
*εἰς φροντίδας νοῦν συμφοράς τ' ἐβαλλόμην,*
*φυγάς τ' ἐμαυτῷ προστιθεὶς πάτρας ἐμῆς*
*θανάτους τ' ἀώρους καὶ κακῶν ἄλλας ὁδούς,*
*ἵν' εἴ τι πάσχοιμ' ὧν ἐδόξαζον φρενί,*
*μή μοι νεῶρες προσπεσὸν μᾶλλον δάκοι.*

Plut. Mor. p. 112 D: καλῶς γὰρ ὁ παρὰ τῷ Εὐριπίδῃ Θησεὺς παρεσκευάσθαι φαίνεται πρὸς τὰ τοιαῦτα· ἐκεῖνος γάρ φησιν ‘ἐγὼ δὲ — δάκῃ’. Galenus vol. 5 p. 418 (vol. 1 p. 283 ed. Basil., vol. 5 p. 151 Chart.): τοῦτο λαβὼν Εὐριπίδης τὸ νόημα τὸν Θησέα πεποίηκε λέγοντα ‘ἐγὼ δὲ — δάκοι’. Cic. Tusc. 3, 14, 29: *itaque apud Euripidem a Theseo dicta laudantur* —

*nam qui haec audita a docto meminissem viro,*
*futuras mecum commentabar miserias,*
*aut mortem acerbam aut exili maestam fugam*
*aut semper aliquam molem meditabar mali,*
*ut si qua invecta diritas casu foret,*
*ne me imparatum cura laceraret repens.*

cf. ib. 3, 24, 58: *atque hoc idem — Theseus ‘futuras mecum commentabar miserias’*. Terent. Phorm. 241—245: *quam ob rem omnis, quom secundae res sunt maxume, tum maxume Meditari secum oportet quo pacto advorsam aerumnam ferant. Pericla, damna peregre rediens semper secum cogitet Aut fili peccatum aut uxoris mortem aut morbum filiae, Communia esse haec, ne quid horum umquam accidat animo novom.* vs. 1 τοῦτο om. Galenus. vs. 5 φρενί] ποτε Gal. vs. 6 μᾶλλον] ψυχὴν Gal.

## 393

ἀνὴρ γὰρ ὅστις χρημάτων μὲν ἐνδεής,
δρᾶσαι δὲ χειρὶ δυνατός, οὐκ ἀνέξεται,
τὰ τῶν δ' ἐχόντων χρήμαθ' ἁρπάζειν φιλεῖ.

Stob. Flor. 45, 1: Εὐριπίδου Θησεῖ (sic Vind., Θησεῖ Αἰγεῖ A). ‘ἀνὴρ — φιλεῖ’.

## 394

συμπολίτης

Pollux 3, 51: συμπολίτης οὐ δόκιμον, εἰ καὶ Εὐριπίδης αὐτῷ κέχρηται ἐν Ἡρακλείδαις τε καὶ Θησεῖ.

## ΘΥΕΣΤΗΣ

Hanc fabulam respicere videtur Ar. Ach. 433: ὦ παῖ, δὸς αὐτῷ Τηλέφου ῥακώματα· κεῖται δ' ἄνωθεν τῶν Θυεστείων ῥακῶν, μεταξὺ τῶν Ἰνοῦς. ubi Schol.: ἤτοι τὰ τῶν Κρησσῶν ἢ αὐτοῦ τοῦ Θυέστου. fortasse igitur, quae Valckenarii fuit suspicio, Thyestes et Cressae eandem fabulam significant. inter Romanos Thyestem scripserunt cum alii tum Ennius et Varius.

395

*οὐκ ἔστιν οὐδὲν χωρὶς ἀνθρώποις θεῶν·*
*σπουδάζομεν δὲ πόλλ' ὑπ' ἐλπίδων, μάτην*
*πόνους ἔχοντες, οὐδὲν εἰδότες σαφές.*

Orion Flor. 5, 7 p. 255, 27: ἐκ τοῦ αὐτοῦ (Θυέστου). 'οὐκ ἔστιν — σαφές. vs. 1 Theophil. ad Autol. 2, 8 p. 72: ὁμοίως καὶ Εὐριπίδης 'οὐκ ἔστιν — θεοῦ'. vs. 2 et 3 affert Theoph. ad Autol. 2, 8 p. 74: ὅθεν Εὐριπίδης ὁμολογεῖ λέγων 'σπουδάζομεν — εἰδότες', καὶ μὴ θέλοντες ὁμολογοῦσι τὸ ἀληθὲς μὴ ἐπίστασθαι. vs. 3 σαφές om. Theoph., quod probans Cobetus vs. 2 ὑπ' ἐλπίδων κενῶν suasit.

396

*εἰ δ' ἄτερ πόνων*
*δοκεῖς ἔσεσθαι, μῶρος εἶ, θνητὸς γεγώς.*

Stob. Flor. 98, 21.

397

*γνώμης γὰρ οὐδὲν ἀρετὴ μονουμένη.*

Orion Flor. 7, 4 p. 259, 24 et Flor. Eurip. 19 p. 266, 17.

398

*οὐπώποτ' ἔργου μᾶλλον εἱλόμην λόγους.*

Ioh. Damasc. post Stob. Ecl. p. 697, 22.

399

*πλούτου δ' ἀπορρυέντος ἀσθενεῖς γάμοι·*

τὴν μὲν γὰρ εὐγένειαν αἰνοῦσιν βροτοί,
μᾶλλον δὲ κηδεύουσι τοῖς εὐδαίμοσιν.

Stob. Flor. 92, 3. vs. 2 et 3 affert Aristoteles q. d. περὶ εὐγενείας in Stob. Flor. 86, 25. vs. 3 τοῖς εὐδαίμοσιν] τοῖσι πλουσίοις Stob. Flor. 86, 25. τοῖσιν ὀλβίοις O. Hense.

400

ἀλλ' εἴπερ ἔστιν ἐν βροτοῖς ψευδηγορεῖν
πιθανά, νομίζειν χρή σε καὶ τοὐναντίον,
ἄπιστ' ἀληθῆ πολλὰ συμβαίνειν βροτοῖς.

Aristot. Rhet. 2, 23 p. 1397 a 17 om. p. nom.: 'ἀλλ' — βροτοῖς'. ubi Scholia fol. 43 b 27: Εὐριπίδου ταῦτά φησι πρὸς τὸν Θυέστην, ὅς ταῦτά φησι πρὸς τὸν Ἀτρέα τὸν ἀδελφὸν αὐτοῦ.'

401

θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις.

Orion Flor. 5, 6 p. 255, 25: ἐκ τοῦ Θυέστου. 'θεοῦ — πλέοις'. Euripidis Thyestem dici probabile est; sequitur enim cum lemmate ἐκ τοῦ αὐτοῦ fr. 395. Theophilus ad Autol. 2, 8 p. 72: καὶ Θέστιος 'θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέῃς σῴζῃ'. Plut. Mor. p. 405 B: εἴ γε Πίνδαρος ἦν ὁ ποιήσας 'θεοῦ — πλέοις'. eundem versum afferunt Schol. Ar. Pac. 699 Schol. Eur. Phoen. 395 Schol. Lucian. p. 117 Stob. Ecl. 1, 2, 19 p. 38 Men. mon. 671 Macar. 4, 69. respicit Lucianus Hermot. 28 vol. 1 p. 768: ἐπὶ ῥιπός, ὡς ἡ παροιμία φησί, τὸν Αἰγαῖον ἢ τὸν Ἰόνιον διαπλεῦσαι θέλοντες. denique Ar. Pac. 699: ΤΡΥΓ. ἐκ τοῦ Σοφοκλέους γίγνεται Σιμωνίδης. ΕΡΜ. Σιμωνίδης; πῶς; ΤΡΥΓ. ὅτι γέρων ὢν καὶ σαπρὸς κέρδους ἕκατι κἂν ἐπὶ ῥιπὸς πλέοι. quo loco nixi alii Simonidi, alii Sophocli versum vindicandum existimarunt.

## ΙΝΩ

Hyginus fab. 4: *Ino Euripidis. Athamas in Thessalia rex cum Inonem uxorem, ex qua duos filios . . . ., perisse putaret, duxit Nymphae* (*Hypsei* Muncker) *filiam The-*

*mistonem uxorem. ex ea geminos filios procreavit. postea resciit Inonem in Parnaso esse, quae (quam* Muncker) *bacchationis caussa eo pervenisse. misit qui eam adducerent. quam adductam celavit. resciit Themisto eam inventam esse, sed quae esset nesciebat. coepit velle filios eius necare. rei consciam, quam captivam esse credebat, ipsam Inonem sumpsit et ei dixit ut filios suos candidis vestimentis operiret, Inonis filios nigris. Ino suos candidis, Themistonis pullis opposuit (operuit* Tollius). *tunc Themisto decepta suos filios occidit. id ubi resciit, ipsa se necavit. Athamas autem in venatione per insaniam Learchum maiorem filium suum interfecit, Ino autem cum minore filio Melicerte in mare se deiecit et dea est facta.* Euripideam tragoediam spectat Ar. Ach. 435 (cf. p. 103). item Vesp. 1413: *γυναικὶ — θαψίνῃ Ἰνοῖ κρεμαμένῃ πρὸς ποδῶν Εὐριπίδου.* ubi Schol.: *εἰσήγαγε δὲ Εὐριπίδης τὴν Ἰνὼ ὠχρὰν ὑπὸ τῆς κακοπαθείας.*

## 402

*εὕδουσα δ' Ἰνοῦς συμφορὰ πολὺν χρόνον*
*νῦν ὄμμ' ἐγείρει*

Schol. Pind. Isthm. 4, 39: *ἀλλ' ἀνεγειρομένα χρῶτα λάμπει] τῷ αὐτῷ τρόπῳ καὶ Εὐριπίδης κέχρηται 'ἰδοῦσ' — ἐγείρει'.* vs. 1 *ἰδοῦσ' ἀδινοῦς συμφορὰν* libri, *εὕδουσα δ' Ἰνοῦς συμφορὰ* Musgravius. fortasse praestat *εὕδουσα δεινὴ συμφορὰ* scribi duce Plut. Anton. c. 36: *εὕδουσα δ' ἡ δεινὴ συμφορὰ χρόνον πολύν, ὁ Κλεοπάτρας ἔρως, δοκῶν κατευνάσθαι καὶ κατακεκηλῆσθαι τοῖς βελτίοσι λογισμοῖς, αὖθις ἀνέλαμπε καὶ ἀνεθάρρει.* quae si vera est coniectura, ad incertarum fabularum reliquias locus erit ablegandus.

## 403

*φίλαι γυναῖκες πῶς ἂν ἐξ ἀρχῆς δόμους*
*Ἀθάμαντος οἰκήσαιμι τῶν πεπραγμένων*
*δράσασα μηδέν;*

Plut. Mor. p. 556 A: *ὥσπερ τῆς Ἰνοῦς ἐν τοῖς θεάτροις*

λεγούσης ἀκούομεν, ἐφ' οἷς ἔδρασε μεταμελομένης, 'φίλαι — μηδέν'. Euripidi locum vindicavit Valckenarius.

404

ὦ θνητὰ πράγματ', ὦ γυναικεῖαι φρένες·
ὅσον νόσημα τὴν Κύπριν κεκτήμεθα.

Stob. Flor. 73, 25: τοῦ αὐτοῦ (praecedit fr. 405). 'ὦ θνητὰ — κεκτήμεθα'.

405

φεῦ,
ὅσῳ τὸ θῆλυ δυστυχέστερον γένος
πέφυκεν ἀνδρῶν· ἔν τε τοῖσι γὰρ καλοῖς
πολλῷ λέλειπται κἀπὶ τοῖς αἰσχροῖς πλέον.

Stob. Flor. 73, 24: Εὐριπίδου Ἰνοῦς (Οἰνεῖ Arsenius p. 710, 21). 'φεῦ — πλέον'.

406

νόμοι γυναικῶν οὐ καλῶς κεῖνται πέρι.
χρῆν γὰρ τὸν εὐτυχοῦνθ' ὅπως πλείστας ἔχειν
γυναῖκας, εἴπερ τροφὴ δόμοις παρῆν·
ὡς τὴν κακὴν μὲν ἐξέβαλλε δωμάτων,
τὴν δ' οὖσαν ἐσθλὴν ἡδέως ἐσῴζετο.
νῦν δ' εἰς μίαν βλέπουσι, κίνδυνον μέγαν
ῥίπτοντες· οὐ γὰρ τῶν τρόπων πειρώμενοι
νύμφας ἐς οἴκους ἑρματίζονται βροτοί.

Stob. Flor. 68, 12. vs. 3 εἴπερ ἐν δόμοις τροφὴ Pflugkius, an εἴπερ δώμασιν τροφὴ leg.?

407

τίς ἆρα μήτηρ ἢ πατὴρ κακὸν μέγα
βροτοῖς ἔφυσε τὸν δυσώνυμον φθόνον;
ποῦ καί ποτ' οἰκεῖ σώματος λαχὼν μέρος;
ἐν χερσὶν ἢ σπλάγχνοισιν ἢ παρ' ὄμματα

*ἔσθ' ἡμῖν; ὡς ἦν μόχθος ἰατροῖς μέγας*
*τομαῖς ἀφαιρεῖν ἢ ποτοῖσι φαρμάκοις*
*πασῶν μεγίστην τῶν ἐν ἀνθρώποις νόσων.*

Stob. Flor. 38, 8. vs. 2 respicit Aelianus N. A. 3, 17. vs. 3 *ποῦ καί*] *τί δή* Valck. vs. 4 sq. *παρ' ὄμματα; οὐκ ἔστιν· ὡς ἦν* Meinekius. vs. 7 cf. Eur. Med. 471.

408

*τό τ' εὐγενὲς*
*πολλὴν δίδωσιν ἐλπίδ' ὡς ἄρξουσι γῆς.*

Stob. Flor. 88, 9: *τοῦ αὐτοῦ Ἰνοῖ* (sic A Vind., *Οἰνεῖ* M). '*τό — γῆς*'.

409

*τὴν εὐγένειαν, κἂν ἄμορφος ᾖ γάμος,*
*τιμῶσι πολλοὶ πρὸς τέκνων χάριν λαβεῖν,*
*τό τ' ἀξίωμα μᾶλλον ἢ τὰ χρήματα.*

Stob. Flor. 88, 10: *ἐν τῷ αὐτῷ* (praecedit fr. 408). '*τὴν — χρήματα*'. vs. 1 *γυνή* scripserim. vs. 2 corruptus.

410

*μὴ σκυθρωπὸς ἴσθ' ἄγαν*
*πρὸς τοὺς κακῶς πράσσοντας, ἄνθρωπος γεγώς.*

Stob. Flor. 112, 3.

411

*ἀμουσία τοι μηδ' ἐπ' οἰκτροῖσιν δάκρυ*
*στάζειν· κακὸν δέ, χρημάτων ὄντων ἅλις,*
*φειδοῖ πονηρᾷ μηδέν' εὖ ποιεῖν βροτῶν.*

Stob. Flor. 16, 5: *Εὐριπίδου Ἰνοῖ.* '*ἀμουσία — βροτῶν*'. ibid. 113, 3: *Εὐριπίδου Ἰνοῖ* (sic A, *οἰνεῖ* M). '*ἀμουσία — στάζειν*' (vs. 1 sq.).

412

*ἐν ἐλπίσιν χρὴ τοὺς σοφοὺς ἔχειν βίον.*

Stob. Flor. 110, 3.

413

μήτ' εὐτυχοῦσα πᾶσαν ἡνίαν χάλα
κακῶς τε πράσσουσ' ἐλπίδος κεδνῆς ἔχου.

Stob. Flor. 110, 5.

414

τοιάνδε χρὴ γυναικὶ πρόσπολον ἐᾶν,
ἥτις τὸ μὲν δίκαιον οὐ σιγήσεται,
τὰ δ' αἰσχρὰ μισεῖ καὶ κατ' ὀφθαλμοὺς ἔχει.

Stob. Flor. 85, 2. vs. 1 ἐᾶν] περᾶν Valck., νέμειν Dobraeus. vs. 2 σιγῇ στέγει F. G. Schmidtius. vs. 3 ψέγει idem.

415

ἴστω δὲ μηδεὶς ταῦθ' ἃ σιγᾶσθαι χρεών·
μικροῦ γὰρ ἐκ λαμπτῆρος Ἰδαῖον λέπας
πρήσειεν ἄν τις, καὶ πρὸς ἄνδρ' εἰπὼν ἕνα
πύθοιντ' ἂν ἀστοὶ πάντες ἃ κρύπτειν χρεών.

Stob. Flor. 41, 1. vs. 2—4 habet Plut. Mor. p. 507 B, vs. 2 sq. μικροῦ — ἄν τις Schol. Pind. Pyth. 3, 66. vs. 3 καὶ πρὸς ἄνδρ' εἰπὼν ἕνα Plut., κἂν πρὸς ἕνα εἴποις ποτέ Stob., χἂν πρὸς ἄνδρ' εἴπῃς ἕνα Herwerdenus. vs. 4 οὓς κρύπτειν Dobraeus, ἃ στέγειν Enger. Herwerdeno verba ἃ κρύπτειν χρεών, quae Plutarchus omittit, spuria videntur.

416

ἐμοὶ γὰρ εἴη πτωχός, εἰ δὲ βούλεται,
πτωχοῦ κακίων, ὅστις ὢν εὔνους ἐμοὶ
φόβον παρελθὼν τἀπὸ καρδίας ἐρεῖ.

Stob. Flor. 13, 7 et Plut. Mor. p. 63 A. vs. 1 γὰρ εἴη Plut., γένοιτο Stob.

417

ἐπίσταμαι δὲ πάνθ' ὅσ' εὐγενῆ χρεών,
σιγᾶν θ' ὅπου χρὴ καὶ λέγειν ἵν' ἀσφαλές,
ὁρᾶν θ' ἃ δεῖ με κοὐχ ὁρᾶν ἃ μὴ χρεών,

γαστρὸς κρατεῖν δέ· καὶ γὰρ ἐν κακοῖσιν ὢν
ἐλευθέροισιν ἐμπεπαίδευμαι τρόποις.

Stob. Flor. 89, 9: *Εὐριπίδου Ἰνοῖ* (sic A Vind., *οἰνεῖ* M). '*ἐπίσταμαι — τρόποις*'. Orion Flor. 1, 5 p. 249, 16: *ἐκ τῆς Ἰνοῦς*. '*ἐπίσταμαι — ἃ μὴ πρέπει*' (vs. 1—3). vs. 2 Plut. Mor. p. 506 C: *ἡ δ' Εὐριπίδειος Ἰνὼ παρρησίαν ἄγουσα περὶ αὑτῆς εἰδέναι φησὶ* '*σιγᾶν — ἀσφαλές*'. Gellius N. A. 13, 19, 4: *id quoque animadvertimus aput Aeschylum ἐν τῷ πυρφόρῳ Προμηθεῖ et aput Euripidem in tragoedia quae inscripta est Ἰνώ eundem esse versum absquae paucis syllabis. Aeschylus sic* '*σιγῶν θ' ὅπου δεῖ καὶ λέγων τὰ καίρια*', *Euripides ita* '*σιγᾶν — ἀσφαλές*'. eundem versum habent Plut. Mor. p. 606 A et anon. Rhet. vol. 3 p. 643, 29. respicit Iulianus p. 328 D. cf. Anth. Pal. 14, 10. *χρὴ*] *δεῖ* Plut. Gell. Anth. Pal. vs. 3 *χρεών* Stob., *πρέπει* Or., *με δεῖ* coniecit Lud. a Sybel.

418

φειδώμεθ' ἀνδρῶν εὐγενῶν, φειδώμεθα,
κακοὺς δ' ἀποπτύωμεν, ὥσπερ ἄξιον.

Stob. Flor. 86, 8. vs. 2 *ἀπολλύωμεν* malim.

419

ἄνασσα, πολλοῖς ἔστιν ἀνθρώπων κακά,
τοῖς δ' ἄρτι λήγει, τοῖς δὲ κίνδυνος μολεῖν.
κύκλος γὰρ αὐτὸς καρπίμοις τε γῆς φυτοῖς
θνητῶν τε γενεᾷ· τοῖς μὲν αὔξεται βίος,
τῶν δὲ φθίνει τε καὶ θερίζεται πάλιν.

Stob. Flor. 105, 19: *Εὐριπίδου Ἰνοῖ* (sic A Vind., *οἰνεῖ* M). '*ἄνασσα — πάλιν*'. vs. 2 *τοῖσδ' ἄρτι* malim. vs. 3—5 attulit Plut. Mor. p. 104 B. vs. 3 *κύκλος γὰρ αὐτὸς* Plut., *κύκλῳ γὰρ ἕρπει* (quae verba sunt Eur. fr. 22, 3) Stob. vs. 4 *τοῖς* Plut., *τῶν* Stob. vs. 5 *καὶ θ.* Stob., *κἀνθερίζεται* Plut.

420

πολλοί γε θνητῶν τῷ θράσει τὰς συμφορὰς

ζητοῦσ' ἀμαυροῦν κἀποκρύπτεσθαι κακά.

Stob. Flor. 4, 9.

421

κέκτησο δ' ὀρθῶς· ἂν δ' ἔχῃς ἄνευ ψόγου,
κἂν σμικρὰ σῷζου, τοὔνδικον σέβουσ' ἀεί,
μὴ δ' ὡς κακὸς ναύκληρος εὖ πράξας ποτὲ
ζητῶν τὰ πλείον' εἶτα πάντ' ἀπώλεσεν.

Stob. Flor. 94, 6. vs. 1 et 2 extant ibid. 9, 5. vs. 1 ἂν δ' ἔχῃς Dindorfius, ἂν ἔχῃς vel ἀνέχῃς libri. vs. 2 τῇ δίκῃ ξυνοῦσ' ἀεί Flor. 9, τοὔνεχ' ὃν σέβειν πρέπει Flor. 94, τοὔνδικον σέβουσ' ἀεί scripsi.

422

γίγνωσκε τἀνθρώπεια μηδ' ὑπερμέτρως
ἄλγει· κακοῖς γὰρ οὐ σὺ πρόσκεισαι μόνη.

Stob. Flor. 124, 7.

423

βίᾳ νυν ἕλκετ' ὦ κακοὶ τιμὰς βροτοί,
καὶ κτᾶσθε πλοῦτον πάντοθεν θηρώμενοι,
σύμμικτα μὴ δίκαια καὶ δίκαι' ὁμοῦ·
ἔπειτ' ἀμᾶσθε τῶνδε δύστηνον θέρος.

Stob. Flor. 10, 23 et 93, 4. vs. 1 καὶ νῦν ἐφέλκετ' Flor. 93. vs. 4 τῶνδε] τοῦδε vel τόνδε Flor. 10 libri.

424

ὁρᾷς τυράννους διὰ μακρῶν ηὐξημένους,
ὡς μικρὰ τὰ σφάλλοντα, καὶ μί' ἡμέρα
τὰ μὲν καθεῖλεν ὑψόθεν, τὰ δ' ἦρ' ἄνω.
ὑπόπτερος δ' ὁ πλοῦτος· οἷς γὰρ ἦν ποτε,
ἐξ ἐλπίδων πίπτοντας ὑπτίους ὁρῶ.

Stob. Flor. 105, 1. cf. Philostr. V. Apoll. 7, 4 p. 131,
[illegible] ὑποκριτοῦ παρελθόντος ἐς τὴν Ἔφεσον
[illegible] ματι καὶ ἀκροωμένου τοῦ τῆς Ἀσίας ἄρ-

χοντος — ὁ μὲν ὑποκριτὴς ἐπέραινεν ἤδη τὰ ἰαμβεῖα ἐν οἷς ὁ Εὐριπίδης διὰ μακρῶν αὐξηθέντας τοὺς τυράννους ἁλίσκεσθαι φησὶν ὑπὸ μικρῶν, ἀναπηδήσας δὲ ὁ Ἀπολλώνιος 'ἀλλ' ὁ δειλὸς' ἔφη 'οὗτος οὔτε Εὐριπίδου ξυνίησιν οὔτε ἐμοῦ'. vs. 2 et 3 habet Plut. Mor. p. 104 A. verba μί' ἡμέρα — ἦρ' ἄνω (vs. 2 et 3) respicit Philo Iud. vol. 1 p. 644 (cf. Ioh. Lydus de mens. 4, 7 p. 55, 18) et vol. 2 p. 85. vs. 2 ὡς μικρὰ Stob., μικρότατα Plut. vs. 3 τὰ μὲν Plut., τὸν μὲν ceteri.

425

κοίλοις ἐν ἄντροις ἄλυχνος, ὥστε θήρ, μόνος

Pollux 7, 178 de v. λύχνος et derivatis: Εὐριπίδης δ' ἐν Ἰνοῖ 'κοίλοις — μόνος'.

426

πολλοὶ παρῆσαν, ἀλλ' ἄπιστα Θεσσαλῶν

Schol. Ar. Plut. 521 (cf. Suid. v. ἀνδραποδίζω): διαβάλλονται δὲ οἱ Θετταλοὶ ὡς ἀνδραποδισταὶ καὶ αἰσχροκερδεῖς καὶ ἄπιστοι. καὶ Εὐριπίδης ἐν Ἰνοῖ 'πολλοὶ παρῆσαν, ἀλλ' ἄπιστοι Θετταλοί'. Schol. Eur. Phoen. 1408: λοιδορεῖ δὲ τοὺς Θεσσαλοὺς ὁ Εὐριπίδης 'πολλοὶ γάρ εἰσιν, ἀλλ' ἄπιστα Θεσσαλοῖς'. Θεσσαλῶν Hemsterhusius. ἐν Οἰνεῖ pro ἐν Ἰνοῖ scribendum esse coniecit Hartungius.

427

. . δ' ἄρα

Hesych.: δ' ἄρα· ὡς δή. Εὐριπίδης Ἰνοῖ. mira annotatio, quam sanam esse non crediderim.

## ΙΞΙΩΝ

De mytho cf. Schol. Apoll. Rhod. 3, 62 Schol. Il. A 268 al. Plutarchus Mor. p. 19 E: ὥσπερ ὁ Εὐριπίδης εἰπεῖν λέγεται πρὸς τοὺς τὸν Ἰξίονα λοιδοροῦντας ὡς ἀσεβῆ καὶ μιαρόν, 'οὐ μέντοι πρότερον αὐτὸν ἐκ τῆς σκηνῆς ἐξήγαγον ἢ τῷ τροχῷ προσηλῶσαι'. hinc et ingenium Ixionis et fabulae exitum cognoscimus. obiter huius tragoediae meminit

Suidas v. *Δημήτριος*, quo auctore Demetrii Adramytteni cognomen ex Euripidea hac fabula nonnulli derivandum putarunt: *Δημήτριος ὁ ἐπίκλην Ἰξίων, γραμματικὸς Ἀδραμυττηνός — ἐπεκλήθη δὲ τοῦτο — ὅτι ἀπεσύλησεν Εὐριπίδειον φιλότιμον τὸ δρᾶμα ἔχων τὸν Ἰξίονα.* quae refert Diog. L. 9, 55: *φησὶ δὲ Φιλόχορος πλέοντος αὐτοῦ* (Protagoram dicit) *ἐς Σικελίαν τὴν ναῦν καταποντισθῆναι, καὶ τοῦτο αἰνίττεσθαι Εὐριπίδην ἐν Ἰξίονι*, nihil nos morabuntur, cf. Clintoni Fast. Hell. vol. 2 p. 365.

## 428

*Φλεγύαντος υἱέ, δέσποτ' Ἰξίων . .*

Schol. Apoll. Rhod. 3, 62: *Φλεγύου δὲ υἱὸς Ἰξίων, ὡς καὶ Εὐριπίδης ʽΦλεγύαντος — Ἰξίων'.* Choerob. in Theodos. p. 119, 26 (Anecd. Bekk. p. 1185): *σημειοῦται δὲ ὁ τεχνικὸς τινὰ περιττοσυλλάβως κλιθέντα — Ἀφίας Ἀφίαντος παρ' Εὐφορίωνι, Φλεγύας Φλεγύαντος παρ' Εὐριπίδῃ.*

## 429

*ὅστις γὰρ ἀστῶν πλέον ἔχειν πέφυκ' ἀνήρ,*
*οὐδὲν φρονεῖ δίκαιον οὐδὲ βούλεται*
*φίλοις τ' ἄμικτός ἐστι καὶ πάσῃ πόλει.*

Stob. Flor. 10, 7. vs. 1 et 3 habet Stob. Flor. 22, 2. vs. 3 cf. Theodorus Metoch. p. 558.

## 430ª

*τά τοι μέγιστα πάντ' ἀπείργασται βροτοῖς*
*τόλμ' ὥστε νικᾶν· οὔτε γὰρ τυραννίδες*
*χωρὶς πόνου γένοιντ' ἂν οὔτ' οἶκος μέγας.*

Stob. Flor. 51, 11.

## 430ᵇ

Schol. Eur. Or. 73: *οἱ δὲ τοῖς ἐναγέσι προσφθεγγόμενοι αὐτοὶ δοκοῦσι μιαίνεσθαι, ὡς καὶ ἐν Ἡρακλεῖ καὶ Ἰξίονι δέδεικται.*

## ΙΠΠΟΛΥΤΟΣ

Argumentum fabulae idem fuit quod Hippolyti superstitis, tractandi ratio aliquantum diversa. Vita Eurip. in Westermanni *Βιογρ.* p. 137, 89: *λέγουσι δ' αὐτὸν γήμαντα τὴν Μνησιλόχου θυγατέρα Χοιρίνην καὶ νοήσαντα τὴν ἀκολασίαν αὐτῆς γράψαι δρᾶμα τὸν πρότερον Ἱππόλυτον, ἐν ᾧ τὴν ἀναισχυντίαν θριαμβεύει τῶν γυναικῶν**). Argum. Eur. Hipp.: *ἔστι δὲ οὗτος Ἱππόλυτος δεύτερος ὁ καὶ στεφανίας προσαγορευόμενος. ἐμφαίνεται δὲ ὕστερον γεγραμμένος· τὸ γὰρ ἀπρεπὲς καὶ κατηγορίας ἄξιον ἐν τούτῳ διώρθωται τῷ δράματι.* Schol. Theocr. 2, 10: *ταῖς ἔρωτι κατεχομέναις τὴν σελήνην μετακαλεῖσθαι σύνηθες, ὡς καὶ Εὐριπίδης ποιεῖ Φαίδραν πράττουσαν ἐν τῷ καλυπτομένῳ Ἱππολύτῳ.* Plut. Mor. p. 28 A: *καὶ ὁ σύσκηνος αὐτοῦ* (Sophoclis) *πάλιν ὁρᾷς ὅτι τήν τε Φαίδραν καὶ προσεγκαλοῦσαν τῷ Θησεῖ πεποίηκεν ὡς διὰ τὰς ἐκείνου παρανομίας ἐρασθεῖσαν τοῦ Ἱππολύτου.* titulum *Ἱππόλυτος καλυπτόμενος* praebent Pollux 9, 50 et Schol. Theocr. 2, 10.

### 431

*οἱ γὰρ Κύπριν φεύγοντες ἀνθρώπων ἄγαν*
*νοσοῦσ' ὁμοίως τοῖς ἄγαν θηρωμένοις.*

Stob. Flor. 63, 3 et Plut. Mor. p. 778 B. vs. 2 *τοῖς διώκουσιν ἄγαν* Stob.

### 432

*ἀντὶ πυρὸς γὰρ ἄλλο πῦρ*
*μεῖζον ἐβλάστομεν γυναῖ-*
*κες πολὺ δυσμαχώτερον.*

Stob. Flor. 73, 23 et Clemens Alex. Strom. VI p. 742. respicit Nicetas Eugen. 2, 347 sq.

### 433

*ἔχω δὲ τόλμης καὶ θράσους διδάσκαλον*

---

*) Hinc Ar. Ran. 1043 Aeschylum haec dicentem facit: *ἀλλ' οὐ μὰ Δί' οὐ Φαίδρας ἐποίουν πόρνας.*

*ἐν τοῖς ἀμηχάνοισιν εὐπορώτατον,*
*Ἔρωτα, πάντων δυσμαχώτατον θεόν.*

Stob. Flor. 63, 23.

434

*Ἔρως γὰρ ἄνδρας οὐ μόνους ἐπέρχεται*
*οὐδ' αὖ γυναῖκας, ἀλλὰ καὶ θεῶν ἄνω*
*ψυχὰς χαράσσει κἀπὶ πόντον ἔρχεται·*
*καὶ τόνδ' ἀπείργειν οὐδ' ὁ παγκρατὴς σθένει*
*Ζεύς, ἀλλ' ὑπείκει καὶ θέλων ἐγκλίνεται.*

Stob. Flor. 63, 25: *Σοφοκλέους Φαίδρᾳ* (sic A, *τοῦ αὐτοῦ Φαίδρᾳ* Vind., Euripidi tribuit Voss.). '*ἔρως γὰρ — ἐγκλίνεται*'. vs. 1—3 affert et Euripidi tribuit Clemens Alex. Strom. VI p. 745: *Ἀνακρέοντος γὰρ ποιήσαντος* '*Ἔρωτα γὰρ τὸν ἁβρὸν μέλπομαι —*' *Εὐριπίδης γράφει* '*Ἔρως — ἔρχεται*'. vs. 3 *ταράσσει* Clemens.

435

*αὐτός τι νῦν δρῶν εἶτα δαίμονας κάλει·*
*τῷ γὰρ πονοῦντι καὶ θεὸς ξυλλαμβάνει.*

Schol. BL Il. *Δ*, 249: *συνεισφέρειν τὸν οἰκεῖον πόνον κελεύει — ὥς φησι καὶ ὁ τραγικὸς ἔνθεν λαβὼν* '*αὐτός — συλλαμβάνει*'. vs. 1 habet Suidas v. *αὐτός τι*. *δαίμονας* Schol. Il., *τοὺς θεοὺς* Suid. vs. 2 cum lemmate *Εὐριπίδου Ἱππολύτου* affert Stobaeus Flor. 29, 34. contra Clemens Alex. Strom. VI p. 741: *Εὐριπίδου μὲν ἐν Τημένῳ* '*τῷ γὰρ — συλλαμβάνει*'. eundem versum om. fab. nom. Euripidi tribuunt Anecd. Oxon. vol. 4 p. 255, 11 et Theodoretus vol. 4 p. 716, sine poetae et fab. nom. habet Clemens Alex. Strom. V p. 654. cf. Zenob. 5, 93. Euripides imitatus videtur Aeschyli Pers. 742: *ἀλλ' ὅταν σπεύδῃ τις αὐτός, χὠ θεὸς ξυνάπτεται*, Euripidem Menander Com. 4 p. 249: *γινώσκων ὅτι τόλμῃ δικαίᾳ καὶ θεὸς συλλαμβάνει.*

436

*ἔγωγε φημὶ καὶ νόμον γε μὴ σέβειν*

*ἐν τοῖσι δεινοῖς τῶν ἀναγκαίων πλέον.*

Stob. Flor. 12, 10. vs. 1 *μὴ σθένειν* Th. Gomperzius.

437

*οὐ γὰρ κατ' εὐσέβειαν αἱ θνητῶν τύχαι,*
*τολμήμασιν δὲ καὶ χερῶν ὑπερβολαῖς*
*ἁλίσκεταί τε πάντα καὶ θηρεύεται.*

Stob. Flor. 51, 10.

438

*τί δ', ἢν λυθεὶς με διαβάλῃς, παθεῖν σε δεῖ;*

Erotianus Gloss. Hippocr. p. 62, 12: *διεβλήθησαν· παρελογίσθησαν, ὡς καὶ Εὐριπίδης ἐν Ἱππολύτῳ φησὶν 'τί — δεῖ'. λυθῇς*] *λυθεὶς* Stephanus, *ψύθη* Conington.

439

*ὦ πότνι' αἰδώς, εἴθε τοῖς πᾶσιν βροτοῖς*
*συνοῦσα τἀναίσχυντον ἐξῄρου φρενῶν.*

Stob. Flor. 31, 3. vs. 1 verba *ὦ πότνι' αἰδώς* recurrunt Iphig. A. 821.

440

*ὁρῶ δὲ τοῖς πολλοῖσιν ἀνθρώποις ἐγὼ*
*τίκτουσαν ὕβριν τὴν πάροιθ' εὐπραξίαν.*

Stob. Flor. 105, 43.

441

*ὕβριν τε τίκτει πλοῦτος, οὐ φειδὼ βίου.*

Stob. Flor. 93, 3. *οὐ* scripsi, *ἢ* libri.

442

*φεῦ φεῦ, τὸ μὴ τὰ πράγματ' ἀνθρώποις ἔχειν*
*φωνήν, ἵν' ἦσαν μηδὲν οἱ δεινοὶ λέγειν.*
*νῦν δ' εὐτρόχοισι στόμασι τἀληθέστατα*
*κλέπτουσιν, ὥστε μὴ δοκεῖν ἃ χρὴ δοκεῖν.*

Stob. Flor. 82, 1. vs. 1 et 2 habet Plut. Mor. p. 802 A. vs. 3 et 4 Clemens Alex. Strom. I p. 340. vs. 2 ὧσι et λόγοι Stob. vs. 3 εὐτρόχροισι στόμασι Porsonus, εὐρόοισι στόμασι Clem., εὐρύθμοις πιστώμασι Stob.

443

Θησεῦ, παραινῶ σοι τὸ λῷστον, εἰ φρονεῖς,
γυναικὶ πείθου μηδὲ τἀληθῆ κλύων.

Stob. Flor. 73, 55.

444

χρόνος διέρπων πάντ' ἀληθεύειν φιλεῖ.

Stob. Ecl. 1, 8, 25 p. 234.

445

. . πρὸς ἵππων εὐθὺς ὁρμήσας στάσιν

Pollux 9, 50: στάσις ἵππων, ὡς Εὐριπίδης ἐν Ἱππολύτῳ καλυπτομένῳ 'πρὸς — στάσιν'.

446

ὦ λαμπρὸς αἰθὴρ ἡμέρας θ' ἁγνὸν φάος,
ὡς ἡδὺ λεύσσειν τοῖς τε πράσσουσιν καλῶς
καὶ τοῖσι δυστυχοῦσιν, ὧν πέφυκ' ἐγώ.

Stob. Flor. 119, 8.

447

ὦ δαῖμον, ὡς οὐκ ἔστ' ἀποστροφὴ βροτοῖς
τῶν ἐμφύτων τε καὶ θεηλάτων κακῶν.

Stob. Flor. 98, 44: 'ὦ δαῖμον — κακῶν'. de lemmate haec annotat Gaisf.: 'Euripidi tribuere videtur Tr., Brunckius Sophocli e cod. Vindob.; ex A nihil enotavi'. postea docuit ἱππολ lemma extare in codice Vindob. Ἱπποθόωντος coniecit Meinekius.

448

. . ὐ γὰρ ὀρθῶς ταῦτα κρίνουσιν θεοί.

Iustinus M. de monarchia c. 5: ὁ αὐτὸς (Εὐρ.) καὶ ἐν Ἱππολύτῳ ‘ἀλλ' — θεοί’.

449

ὦ μάκαρ, οἵας ἔλαχες τιμάς,
Ἱππόλυθ' ἥρως, διὰ σωφροσύνην·
οὔποτε θνητοῖς
ἀρετῆς ἄλλη δύναμις μείζων·
ἦλθε γὰρ ἢ πρόσθ' ἢ μετόπισθεν
τῆς εὐσεβίας χάρις ἐσθλή.

Stob. Flor. 5, 16.

450

δίοπος

Erotian. Gloss. Hippocr. p. 61, 14: διόπῳ· τῷ τῆς νηὸς ἐπιμελητῇ, παρὰ τὸ διέπειν. Ἀττικὴ δὲ ἡ λέξις κειμένη — παρὰ Αἰσχύλῳ ἐν Σισύφῳ καὶ Εὐριπίδῃ ἐν Ἱππολύτῳ.

## ΚΑΔΜΟΣ

Fabulae notitiam uni debemus Probo; sed veri simile est, quod Valckenarius coniecit, huc referendum esse fr. 922, ac fortasse eodem spectat Horatius Epist. 2, 3, 187: *multaque tolles ex oculis — ne pueros coram populo Medea trucidet, aut humana palam coquat exta nefarius Atreus, aut in avem Procne vertatur, Cadmus in anguem.*

451

οὐρανὸς ὑπὲρ ἡμᾶς καινῶς φοτῶν ἕδος δαιμόνιον
τόδ' ἐν μέσῳ τοῦ οὐρανοῦ τε καὶ χθονός,
οἱ μὲν ὀνομάζουσι χάος

Probus in Verg. Ecl. 6, 31 p. 11, 25: *accipere debemus aera, quem Euripides in Cadmo* χάος *appellavit sic* ‘οὐρανὸς — χάος’. Graeca verba nituntur editionis principis fide admodum lubrica. Valckenarius haec lusit: οὐρανός θ' ἡμᾶς ὕπερ· καὶ γῆ βροτῶν κοινόν τε δαιμόνων θ' ἕδος· τὸ δ'

413

*μήτ' εὐτυχοῦσα πᾶσαν ἡνίαν χάλα*
*κακῶς τε πράσσουσ' ἐλπίδος κεδνῆς ἔχου.*

Stob. Flor. 110, 5.

414

*τοιάνδε χρὴ γυναικὶ πρόσπολον ἐᾶν,*
*ἥτις τὸ μὲν δίκαιον οὐ σιγήσεται,*
*τὰ δ' αἰσχρὰ μισεῖ καὶ κατ' ὀφθαλμοὺς ἔχει.*

Stob. Flor. 85, 2. vs. 1 *ἐᾶν*] *περᾶν* Valck., *νέμειν* Dobraeus. vs. 2 *σιγῇ στέγει* F. G. Schmidtius. vs. 3 *ψέγει* idem.

415

*ἴστω δὲ μηδεὶς ταῦθ' ἃ σιγᾶσθαι χρεών·*
*μικροῦ γὰρ ἐκ λαμπτῆρος Ἰδαῖον λέπας*
*πρήσειεν ἄν τις, καὶ πρὸς ἄνδρ' εἰπὼν ἕνα*
*πύθοιντ' ἂν ἀστοὶ πάντες ἃ κρύπτειν χρεών.*

Stob. Flor. 41, 1. vs. 2—4 habet Plut. Mor. p. 507 B, vs. 2 sq. *μικροῦ — ἄν τις* Schol. Pind. Pyth. 3, 66. vs. 3 *καὶ πρὸς ἄνδρ' εἰπὼν ἕνα* Plut., *κἂν πρὸς ἕνα εἴποις ποτέ* Stob., *χἂν πρὸς ἄνδρ' εἴπῃς ἕνα* Herwerdenus. vs. 4 *οὓς κρύπτειν* Dobraeus, *ἃ στέγειν* Enger. Herwerdeno verba *ἃ κρύπτειν χρεών*, quae Plutarchus omittit, spuria videntur.

416

*ἐμοὶ γὰρ εἴη πτωχός, εἰ δὲ βούλεται,*
*πτωχοῦ κακίων, ὅστις ὢν εὔνους ἐμοὶ*
*φόβον παρελθὼν τἀπὸ καρδίας ἐρεῖ.*

Stob. Flor. 13, 7 et Plut. Mor. p. 63 A. vs. 1 *γὰρ εἴη* Plut., *γένοιτο* Stob.

417

*ἐπίσταμαι δὲ πάνθ' ὅσ' εὐγενῆ χρεών,*
*σιγᾶν θ' ὅπου χρὴ καὶ λέγειν ἵν' ἀσφαλές,*
*ὁρᾶν θ' ἃ δεῖ με κοὐχ ὁρᾶν ἃ μὴ χρεών,*

*γαστρὸς κρατεῖν δέ· καὶ γὰρ ἐν κακοῖσιν ὢν*
*ἐλευθέροισιν ἐμπεπαίδευμαι τρόποις.*

Stob. Flor. 89, 9: *Εὐριπίδου Ἰνοῖ* (sic A Vind., *οἰνεῖ* M). '*ἐπίσταμαι — τρόποις*'. Orion Flor. 1, 5 p. 249, 16: *ἐκ τῆς Ἰνοῦς.* '*ἐπίσταμαι — ἃ μὴ πρέπει*' (vs. 1—3). vs. 2 Plut. Mor. p. 506 C: *ἡ δ' Εὐριπίδειος Ἰνὼ παρρησίαν ἄγουσα περὶ αὑτῆς εἰδέναι φησὶ* '*σιγᾶν — ἀσφαλές*'. Gellius N. A. 13, 19, 4: *id quoque animadvertimus aput Aeschylum ἐν τῷ πυρφόρῳ Προμηθεῖ et aput Euripidem in tragoedia quae inscripta est Ἰνὼ eundem esse versum absquae paucis syllabis. Aeschylus sic* '*σιγῶν θ' ὅπου δεῖ καὶ λέγων τὰ καίρια*', *Euripides ita* '*σιγᾶν — ἀσφαλές*'. eundem versum habent Plut. Mor. p. 606 A et anon. Rhet. vol. 3 p. 643, 29. respicit Iulianus p. 328 D. cf. Anth. Pal. 14, 10. *χρὴ*] *δεῖ* Plut. Gell. Anth. Pal. vs. 3 *χρεὼν* Stob., *πρέπει* Or., *με δεῖ* coniecit Lud. a Sybel.

418

*φειδώμεθ' ἀνδρῶν εὐγενῶν, φειδώμεθα,*
*κακοὺς δ' ἀποπτύωμεν, ὥσπερ ἄξιον.*

Stob. Flor. 86, 8. vs. 2 *ἀπολλύωμεν* malim.

419

*ἄνασσα, πολλοῖς ἔστιν ἀνθρώπων κακά,*
*τοῖς δ' ἄρτι λήγει, τοῖς δὲ κίνδυνος μολεῖν.*
*κύκλος γὰρ αὐτὸς καρπίμοις τε γῆς φυτοῖς*
*θνητῶν τε γενεᾷ· τοῖς μὲν αὔξεται βίος,*
*τῶν δὲ φθίνει τε καὶ θερίζεται πάλιν.*

Stob. Flor. 105, 19: *Εὐριπίδου Ἰνοῖ* (sic A Vind., *οἰνεῖ* M). '*ἄνασσα — πάλιν*'. vs. 2 *τοῖσδ' ἄρτι* malim. vs. 3—5 attulit Plut. Mor. p. 104 B. vs. 3 *κύκλος γὰρ αὐτὸς* Plut., *κύκλῳ γὰρ ἕρπει* (quae verba sunt Eur. fr. 22, 3) Stob. vs. 4 *τοῖς* Plut., *τῶν* Stob. vs. 5 *καὶ θ.* Stob., *κἀνθερίζεται* Plut.

420

*πολλοί γε θνητῶν τῷ θράσει τὰς συμφορὰς*

*ζητοῦσ' ἀμαυροῦν κἀποκρύπτεσθαι κακά.*

Stob. Flor. 4, 9.

421

*κέκτησο δ' ὀρθῶς· ἂν δ' ἔχῃς ἄνευ ψόγου,*
*κἂν σμικρὰ σῴζου, τοὔνδικον σέβουσ' ἀεί,*
*μὴ δ' ὡς κακὸς ναύκληρος εὖ πράξας ποτὲ*
*ζητῶν τὰ πλείον' εἶτα πάντ' ἀπώλεσεν.*

Stob. Flor. 94, 6. vs. 1 et 2 extant ibid. 9, 5. vs. 1 *ἂν δ' ἔχῃς* Dindorfius, *ἂν ἔχῃς* vel *ἀνέχῃς* libri. vs. 2 *τῇ δίκῃ ξυνοῦσ' ἀεί* Flor. 9, *τοὔνεχ' ὃν σέβειν πρέπει* Flor. 94, *τοὔνδικον σέβουσ' ἀεί* scripsi.

422

*γίγνωσκε τἀνθρώπεια μηδ' ὑπερμέτρως*
*ἄλγει· κακοῖς γὰρ οὐ σὺ πρόσκεισαι μόνη.*

Stob. Flor. 124, 7.

423

*βίᾳ νυν ἕλκετ' ὦ κακοὶ τιμὰς βροτοί,*
*καὶ κτᾶσθε πλοῦτον πάντοθεν θηρώμενοι,*
*σύμμικτα μὴ δίκαια καὶ δίκαι' ὁμοῦ·*
*ἔπειτ' ἀμᾶσθε τῶνδε δύστηνον θέρος.*

Stob. Flor. 10, 23 et 93, 4. vs. 1 *καὶ νῦν ἐφέλκετ'* Flor. 93. vs. 4 *τῶνδε*] *τοῦδε* vel *τόνδε* Flor. 10 libri.

424

*ὁρᾷς τυράννους διὰ μακρῶν ηὐξημένους,*
*ὡς μικρὰ τὰ σφάλλοντα, καὶ μί' ἡμέρα*
*τὰ μὲν καθεῖλεν ὑψόθεν, τὰ δ' ἦρ' ἄνω.*
*ὑπόπτερος δ' ὁ πλοῦτος· οἷς γὰρ ἦν ποτε,*
*ἐξ ἐλπίδων πίπτοντας ὑπτίους ὁρῶ.*

Stob. Flor. 105, 1. cf. Philostr. V. Apoll. 7, 4 p. 131, 31: *τραγῳδίας δὲ ὑποκριτοῦ παρελθόντος ἐς τὴν Ἔφεσον ἐπὶ τῇ Ἰνοῖ τῷ δράματι καὶ ἀκροωμένου τοῦ τῆς Ἀσίας ἄρ-*

χοντος — ὁ μὲν ὑποκριτὴς ἐπέραινεν ἤδη τὰ ἰαμβεῖα ἐν οἷς ὁ Εὐριπίδης διὰ μακρῶν αὐξηθέντας τοὺς τυράννους ἁλίσκεσθαι φησὶν ὑπὸ μικρῶν, ἀναπηδήσας δὲ ὁ Ἀπολλώνιος ‘ἀλλ’ ὁ δειλὸς’ ἔφη ‘οὔτος οὔτε Εὐριπίδου ξυνίησιν οὔτε ἐμοῦ’. vs. 2 et 3 habet Plut. Mor. p. 104 A. verba μί’ ἡμέρα — ἦρ’ ἄνω (vs. 2 et 3) respicit Philo Iud. vol. 1 p. 644 (cf. Ioh. Lydus de mens. 4, 7 p. 55, 18) et vol. 2 p. 85. vs. 2 ὡς μικρὰ Stob., μικρότατα Plut. vs. 3 τὰ μὲν Plut., τὸν μὲν ceteri.

425

κοίλοις ἐν ἄντροις ἄλυχνος, ὥστε θήρ, μόνος

Pollux 7, 178 de v. λύχνος et derivatis: Εὐριπίδης δ’ ἐν Ἰνοῖ ‘κοίλοις — μόνος’.

426

πολλοὶ παρῆσαν, ἀλλ’ ἄπιστα Θεσσαλῶν

Schol. Ar. Plut. 521 (cf. Suid. v. ἀνδραποδίζω): διαβάλλονται δὲ οἱ Θετταλοὶ ὡς ἀνδραποδισταὶ καὶ αἰσχροκερδεῖς καὶ ἄπιστοι. καὶ Εὐριπίδης ἐν Ἰνοῖ ‘πολλοὶ παρῆσαν, ἀλλ’ ἄπιστοι Θετταλοί’. Schol. Eur. Phoen. 1408: λοιδορεῖ δὲ τοὺς Θεσσαλοὺς ὁ Εὐριπίδης ‘πολλοὶ γάρ εἰσιν, ἀλλ’ ἄπιστα Θεσσαλοῖς’. Θεσσαλῶν Hemsterhusius. ἐν Οἰνεῖ pro ἐν Ἰνοῖ scribendum esse coniecit Hartungius.

427

. . δ’ ἄρα

Hesych.: δ’ ἄρα· ὡς δή. Εὐριπίδης Ἰνοῖ. mira annotatio, quam sanam esse non crediderim.

## ΙΞΙΩΝ

De mytho cf. Schol. Apoll. Rhod. 3, 62 Schol. Il. A 268 al. Plutarchus Mor. p. 19 E: ὥσπερ ὁ Εὐριπίδης εἰπεῖν λέγεται πρὸς τοὺς τὸν Ἰξίονα λοιδοροῦντας ὡς ἀσεβῆ καὶ μιαρόν, ‘οὐ μέντοι πρότερον αὐτὸν ἐκ τῆς σκηνῆς ἐξήγαγον ἢ τῷ τροχῷ προσηλῶσαι’. hinc et ingenium Ixionis et fabulae exitum cognoscimus. obiter huius tragoediae meminit

Suidas v. *Δημήτριος*, quo auctore Demetrii Adramytteni cognomen ex Euripidea hac fabula nonnulli derivandum putarunt: *Δημήτριος ὁ ἐπίκλην Ἰξίων, γραμματικὸς Ἀδραμυττηνός — ἐπεκλήθη δὲ τοῦτο — ὅτι ἀπεσύλησεν Εὐριπίδειον φιλότιμον τὸ δρᾶμα ἔχων τὸν Ἰξίονα.* quae refert Diog. L. 9, 55: *φησὶ δὲ Φιλόχορος πλέοντος αὐτοῦ* (Protagoram dicit) *ἐς Σικελίαν τὴν ναῦν καταποντισθῆναι, καὶ τοῦτο αἰνίττεσθαι Εὐριπίδην ἐν Ἰξίονι*, nihil nos morabuntur, cf. Clintoni Fast. Hell. vol. 2 p. 365.

### 428

*Φλεγύαντος υἱέ, δέσποτ' Ἰξίων . .*

Schol. Apoll. Rhod. 3, 62: *Φλεγύου δὲ υἱὸς Ἰξίων, ὡς καὶ Εὐριπίδης 'Φλεγύαντος — Ἰξίων'.* Choerob. in Theodos. p. 119, 26 (Anecd. Bekk. p. 1185): *σημειοῦται δὲ ὁ τεχνικὸς τινὰ περιττοσυλλάβως κλιθέντα — Ἀφίας Ἀφίαντος παρ' Εὐφορίωνι, Φλεγύας Φλεγύαντος παρ' Εὐριπίδῃ.*

### 429

*ὅστις γὰρ ἀστῶν πλέον ἔχειν πέφυκ' ἀνήρ,*
*οὐδὲν φρονεῖ δίκαιον οὐδὲ βούλεται*
*φίλοις τ' ἄμικτός ἐστι καὶ πάσῃ πόλει.*

Stob. Flor. 10, 7. vs. 1 et 3 habet Stob. Flor. 22, 2. vs. 3 cf. Theodorus Metoch. p. 558.

### 430ª

*τά τοι μέγιστα πάντ' ἀπείργασται βροτοῖς*
*τόλμ' ὥστε νικᾶν· οὔτε γὰρ τυραννίδες*
*χωρὶς πόνου γένοιντ' ἂν οὔτ' οἶκος μέγας.*

Stob. Flor. 51, 11.

### 430ᵇ

Schol. Eur. Or. 73: *οἱ δὲ τοῖς ἐναγέσι προσφθεγγόμενοι αὐτοὶ δοκοῦσι μιαίνεσθαι, ὡς καὶ ἐν Ἡρακλεῖ καὶ Ἰξίονι δέδεικται.*

## ΙΠΠΟΛΥΤΟΣ

Argumentum fabulae idem fuit quod Hippolyti superstitis, tractandi ratio aliquantum diversa. Vita Eurip. in Westermanni *Βιογρ.* p. 137, 89: *λέγουσι δ' αὐτὸν γήμαντα τὴν Μνησιλόχου θυγατέρα Χοιρίνην καὶ νοήσαντα τὴν ἀκολασίαν αὐτῆς γράψαι δρᾶμα τὸν πρότερον Ἱππόλυτον, ἐν ᾧ τὴν ἀναισχυντίαν θριαμβεύει τῶν γυναικῶν**). Argum. Eur. Hipp.: *ἔστι δὲ οὗτος Ἱππόλυτος δεύτερος ὁ καὶ στεφανίας προσαγορευόμενος. ἐμφαίνεται δὲ ὕστερον γεγραμμένος· τὸ γὰρ ἀπρεπὲς καὶ κατηγορίας ἄξιον ἐν τούτῳ διώρθωται τῷ δράματι.* Schol. Theocr. 2, 10: *ταῖς ἔρωτι κατεχομέναις τὴν σελήνην μετακαλεῖσθαι σύνηθες, ὡς καὶ Εὐριπίδης ποιεῖ Φαίδραν πράττουσαν ἐν τῷ καλυπτομένῳ Ἱππολύτῳ.* Plut. Mor. p. 28 A: *καὶ ὁ σύσκηνος αὐτοῦ* (Sophoclis) *πάλιν ὁρᾷς ὅτι τήν τε Φαίδραν καὶ προσεγκαλοῦσαν τῷ Θησεῖ πεποίηκεν ὡς διὰ τὰς ἐκείνου παρανομίας ἐρασθεῖσαν τοῦ Ἱππολύτου.* titulum *Ἱππόλυτος καλυπτόμενος* praebent Pollux 9, 50 et Schol. Theocr. 2, 10.

### 431

*οἱ γὰρ Κύπριν φεύγοντες ἀνθρώπων ἄγαν*
*νοσοῦσ' ὁμοίως τοῖς ἄγαν θηρωμένοις.*

Stob. Flor. 63, 3 et Plut. Mor. p. 778 B. vs. 2 *τοῖς διώκουσιν ἄγαν* Stob.

### 432

*ἀντὶ πυρὸς γὰρ ἄλλο πῦρ*
*μεῖζον ἐβλάστομεν γυναῖ-*
*κες πολὺ δυσμαχώτερον.*

Stob. Flor. 73, 23 et Clemens Alex. Strom. VI p. 742. respicit Nicetas Eugen. 2, 347 sq.

### 433

*ἔχω δὲ τόλμης καὶ θράσους διδάσκαλον*

*) Hinc Ar. Ran. 1043 Aeschylum haec dicentem facit: *ἀλλ' οὐ μὰ Δί' οὐ Φαίδρας ἐποίουν πόρνας.*

ἐν τοῖς ἀμηχάνοισιν εὐπορώτατον,
Ἔρωτα, πάντων δυσμαχώτατον θεόν.

Stob. Flor. 63, 23.

434

Ἔρως γὰρ ἄνδρας οὐ μόνους ἐπέρχεται
οὐδ' αὖ γυναῖκας, ἀλλὰ καὶ θεῶν ἄνω
ψυχὰς χαράσσει κἀπὶ πόντον ἔρχεται·
καὶ τόνδ' ἀπείργειν οὐδ' ὁ παγκρατὴς σθένει
Ζεύς, ἀλλ' ὑπείκει καὶ θέλων ἐγκλίνεται.

Stob. Flor. 63, 25: Σοφοκλέους Φαίδρᾳ (sic A, τοῦ αὐτοῦ Φαίδρᾳ Vind., Euripidi tribuit Voss.). ‘ἔρως γὰρ — ἐγκλίνεται’. vs. 1—3 affert et Euripidi tribuit Clemens Alex. Strom. VI p. 745: Ἀνακρέοντος γὰρ ποιήσαντος ‘Ἔρωτα γὰρ τὸν ἁβρὸν μέλπομαι —’ Εὐριπίδης γράφει ‘Ἔρως — ἔρχεται’. vs. 3 ταράσσει Clemens.

435

αὐτός τι νῦν δρῶν εἶτα δαίμονας κάλει·
τῷ γὰρ πονοῦντι καὶ θεὸς ξυλλαμβάνει.

Schol. BL Il. Δ, 249: συνεισφέρειν τὸν οἰκεῖον πόνον κελεύει — ὡς φησὶ καὶ ὁ τραγικὸς ἔνθεν λαβὼν ‘αὐτός — συλλαμβάνει’. vs. 1 habet Suidas v. αὐτός τι. δαίμονας Schol. Il., τοὺς θεοὺς Suid. vs. 2 cum lemmate Εὐριπίδου Ἱππολύτου affert Stobaeus Flor. 29, 34. contra Clemens Alex. Strom. VI p. 741: Εὐριπίδου μὲν ἐν Τημένῳ ‘τῷ γὰρ — συλλαμβάνει’. eundem versum om. fab. nom. Euripidi tribuunt Anecd. Oxon. vol. 4 p. 255, 11 et Theodoretus vol. 4 p. 716, sine poetae et fab. nom. habet Clemens Alex. Strom. V p. 654. cf. Zenob. 5, 93. Euripides imitatus videtur Aeschyli Pers. 742: ἀλλ' ὅταν σπεύδῃ τις αὐτός, χὠ θεὸς ξυνάπτεται, Euripidem Menander Com. 4 p. 249: γινώσκων ὅτι τόλμῃ δικαίᾳ καὶ θεὸς συλλαμβάνει.

436

ἔγωγε φημὶ καὶ νόμον γε μὴ σέβειν

ἐν τοῖσι δεινοῖς τῶν ἀναγκαίων πλέον.

Stob. Flor. 12, 10. vs. 1 μὴ σθένειν Th. Gomperzius.

437

οὐ γὰρ κατ' εὐσέβειαν αἱ θνητῶν τύχαι,
τολμήμασιν δὲ καὶ χερῶν ὑπερβολαῖς
ἁλίσκεταί τε πάντα καὶ θηρεύεται.

Stob. Flor. 51, 10.

438

τί δ', ἢν λυθεὶς με διαβάλῃς, παθεῖν σε δεῖ;

Erotianus Gloss. Hippocr. p. 62, 12: διεβλήθησαν· παρελογίσθησαν, ὡς καὶ Εὐριπίδης ἐν Ἱππολύτῳ φησίν 'τί — δεῖ'. λυθῇς] λυθεὶς Stephanus, ψύθῃ Conington.

439

ὦ πότνι' αἰδώς, εἴθε τοῖς πᾶσιν βροτοῖς
συνοῦσα τἀναίσχυντον ἐξῄρου φρενῶν.

Stob. Flor. 31, 3. vs. 1 verba ὦ πότνι' αἰδώς recurrunt Iphig. A. 821.

440

ὁρῶ δὲ τοῖς πολλοῖσιν ἀνθρώποις ἐγὼ
τίκτουσαν ὕβριν τὴν πάροιθ' εὐπραξίαν.

Stob. Flor. 105, 43.

441

ὕβριν τε τίκτει πλοῦτος, οὐ φειδὼ βίου.

Stob. Flor. 93, 3. οὐ scripsi, ἢ libri.

442

φεῦ φεῦ, τὸ μὴ τὰ πράγματ' ἀνθρώποις ἔχειν
φωνήν, ἵν' ἦσαν μηδὲν οἱ δεινοὶ λέγειν.
νῦν δ' εὐτρόχοισι στόμασι τἀληθέστατα
κλέπτουσιν, ὥστε μὴ δοκεῖν ἃ χρὴ δοκεῖν.

Stob. Flor. 82, 1. vs. 1 et 2 habet Plut. Mor. p. 802 A. vs. 3 et 4 Clemens Alex. Strom. I p. 340. vs. 2 ὧσι et λόγοι Stob. vs. 3 εὐτρόχροισι στόμασι Porsonus, εὐρόοισι στόμασι Clem., εὐρύθμοις πιστώμασι Stob.

443

*Θησεῦ, παραινῶ σοι τὸ λῷστον, εἰ φρονεῖς,*
*γυναικὶ πείθου μηδὲ τἀληθῆ κλύων.*

Stob. Flor. 73, 55.

444

*χρόνος διέρπων πάντ᾽ ἀληθεύειν φιλεῖ.*

Stob. Ecl. 1, 8, 25 p. 234.

445

*. . πρὸς ἵππων εὐθὺς ὁρμήσας στάσιν*

Pollux 9, 50: *στάσις ἵππων, ὡς Εὐριπίδης ἐν Ἱππολύτῳ καλυπτομένῳ* ‘*πρὸς — στάσιν*’.

446

*ὦ λαμπρὸς αἰθὴρ ἡμέρας θ᾽ ἁγνὸν φάος,*
*ὡς ἡδὺ λεύσσειν τοῖς τε πράσσουσιν καλῶς*
*καὶ τοῖσι δυστυχοῦσιν, ὧν πέφυκ᾽ ἐγώ.*

Stob. Flor. 119, 8.

447

*ὦ δαῖμον, ὡς οὐκ ἔστ᾽ ἀποστροφὴ βροτοῖς*
*τῶν ἐμφύτων τε καὶ θεηλάτων κακῶν.*

Stob. Flor. 98, 44: ‘*ὦ δαῖμον — κακῶν*’. de lemmate haec annotat Gaisf.: ‘Euripidi tribuere videtur Tr., Brunckius Sophocli e cod. Vindob.; ex A nihil enotavi’. postea docuit *ἱππο*λ lemma extare in codice Vindob. *Ἱπποθόωντος* coniecit Meinekius.

448

*ἀλλ᾽ οὐ γὰρ ὀρθῶς ταῦτα κρίνουσιν θεοί.*

Iustinus M. de monarchia c. 5: ὁ αὐτὸς (Εὐρ.) καὶ ἐν Ἱππολύτῳ ʻἀλλ' — θεοί'.

449

ὦ μάκαρ, οἵας ἔλαχες τιμάς,
Ἱππόλυθ' ἥρως, διὰ σωφροσύνην·
οὔποτε θνητοῖς
ἀρετῆς ἄλλη δύναμις μείζων·
ἦλθε γὰρ ἢ πρόσθ' ἢ μετόπισθεν
τῆς εὐσεβίας χάρις ἐσθλή.

Stob. Flor. 5, 16.

450

δίοπος

Erotian. Gloss. Hippocr. p. 61, 14: διόπῳ· τῷ τῆς νηὸς ἐπιμελητῇ, παρὰ τὸ διέπειν. Ἀττικὴ δὲ ἡ λέξις κειμένη — παρὰ Αἰσχύλῳ ἐν Σισύφῳ καὶ Εὐριπίδῃ ἐν Ἱππολύτῳ.

## ΚΑΔΜΟΣ

Fabulae notitiam uni debemus Probo; sed veri simile est, quod Valckenarius coniecit, huc referendum esse fr. 922, ac fortasse eodem spectat Horatius Epist. 2, 3, 187: *multaque tolles ex oculis — ne pueros coram populo Medea trucidet, aut humana palam coquat exta nefarius Atreus, aut in avem Procne vertatur, Cadmus in anguem.*

451

οὐρανὸς ὑπὲρ ἡμᾶς καινῶς φοτῶν ἕδος δαιμόνιον
τόδ' ἐν μέσῳ τοῦ οὐρανοῦ τε καὶ χθονός,
οἱ μὲν ὀνομάζουσι χάος

Probus in Verg. Ecl. 6, 31 p. 11, 25: *accipere debemus aera, quem Euripides in Cadmo* χάος *appellavit sic* ʻοὐρανὸς — χάος'. Graeca verba nituntur editionis principis fide admodum lubrica. Valckenarius haec lusit: οὐρανός θ' ἡμᾶς ὕπερ· καὶ γῆ βροτῶν κοινόν τε δαιμόνων θ' ἕδος· τὸ δ'

*ἐν μέσῳ τοῦ τ' οὐρανοῦ τε καὶ χθονὸς χάος μὲν ὀνομάζουσιν.*

## ΚΕΡΚΥΩΝ v. ΑΛΟΠΗ

## ΚΡΕΣΦΟΝΤΗΣ

De argumento fabulae cf. Hyginus fab. 137 et 184. Meropes filium, quem Telephontem appellat Hyginus, Aepytum Apollodorus 2, 8, 5 (cf. Pausan. 4, 3, 8), Euripides Cresphontem dixit, id quod et titulus tragoediae docet et Schol. Aristot. Eth. Nic. fol. 40 b (cf. Anecd. Paris. vol. 1 p. 191, 3), ubi ad Aristotelis verba '*οἰηθείη δ' ἄν τις καὶ τὸν υἱὸν πολέμιον εἶναι ὥσπερ ἡ Μερόπη*' (Eth. Nicom. 3, 2 p. 1111 a 11) haec annotantur: *ἔστι παρ' Εὐριπίδῃ ἐν τῷ Κρεσφόντῃ ἐπιβουλεύουσα Κρεσφόντῃ τῷ υἱῷ δι' ἄγνοιαν.* Epigr. Cyzic. in Anthol. Pal. 3, 5: *Κρεσφόντου γενέτην πέφνες τὸ πάρος, Πολυφόντα, κουριδίης ἀλόχου λέκτρα θέλων μιανεῖν.* probabiliter huc rettulerunt fr. 1068. de Ennii Cresphonte v. Ribbeckii Trag. Lat. p. 25 sq.

### 452

*ἐχρῆν γὰρ ἡμᾶς σύλλογον ποιουμένους*
*τὸν φύντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά,*
*τὸν δ' αὖ θανόντα καὶ πόνων πεπαυμένον*
*χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων.*

Sextus Empir. p. 175, 17: *ὁ γοῦν Εὐριπίδης φησὶν* '*ἐχρῆν — δόμων*'. eosdem versus afferunt Clemens Alex. Strom. III p. 517 (Theodoret. vol. 4 p. 820) Stob. Flor. 120, 22 Schol. Hermog. in Rhet. vol. 7 p. 765. vs. 1 et 2 profert Aristid. vol. 2 p. 264. vs. 2—4 Strabo XI p. 520 Plut. Mor. p. 36 F Menander Rhet. vol. 9 p. 282, vs. 2 et 3 Dio Chrys. 23, 2, vs. 2 Plato Axioch. p. 368 A (Stob. Flor. 98, 75) Procopius Gaz. in Cuiacii Epist. Graec. p. 444, vs. 4 Plut. Mor. p. 615 E et Seneca de morte Claud. 4. eundem vs. 4 respicit Heliod. 7, 11 p. 275. fabulae nomen unus prodidit Cicero Tusc. 1, 48, 115: *qua est sententia in Cresphonte usus Euripides*:

*nam nos decebat coetus celebrantes domum*
*lugere, ubi esset aliquis in lucem editus,*
*humanae vitae varia reputantes mala;*
*at qui labores morte finisset graves,*
*hunc omni amicos laude et laetitia exsequi.*

vs. 1 *ἐχρῆν*] *ἔδει* Aristid. Clem. Schol. Hermog. *γάρ*] *μὲν* Stob. *σύλλογον*] *συλλόγους* vel *συλλογισμοὺς* v. l. in Schol. Hermog., *συλλόγους* ut videtur Cicero. vs. 2 *τὸν ζῶντα* Stob. vs. 3 *καὶ κακῶν* Sextus.

## 453

*καὶ δὶς ἑπτ' αὐτῆς τέκνα*
*Νιόβης θανόντα Λοξίου τοξεύμασιν*

Schol. Eur. Phoen. 159: *περὶ δὲ τοῦ πλήθους τῶν Νιοβιδῶν αὐτός φησιν Εὐριπίδης ἐν Κρεσφόντῃ* '*καὶ δὶς — τοξεύμασιν*'. Gellius N. A. 20, 7, 2: *Homerus pueros puellasque eius* (Niobes) *bis senos dicit fuisse, Euripides bis septenos.*

## 454

*εἰ μὲν γὰρ οἰκεῖ νερτέρας ὑπὸ χθονὸς*
*ἐν τοῖσιν οὐκέτ' οὖσιν, οὐδὲν ἂν σθένοι.*

Plut. Mor. p. 110 B: *ὁ Κρεσφόντης δέ που ὁ παρὰ τῷ Εὐριπίδῃ περὶ τοῦ Ἡρακλέους λέγων* '*εἰ μὲν γὰρ οἰκεῖ*' *φησί* '*νερτέρας — σθένοι*'.

## 455

*αἱ τύχαι δέ με*
*μισθὸν λαβοῦσαι τῶν ἐμῶν τὰ φίλτατα*
*σοφὴν ἔθηκαν.*

Plut. Mor. p. 90 A: *ἕτεροι πράγμασιν ἀβουλήτοις περιπεσόντες διδάσκονται τὸ χρήσιμον, ὥσπερ ἡ Μερόπη φησὶν* '*αἱ τύχαι — ἔθηκαν*'. Euripidi fr. hoc et 456 tribuit Barnesius.

## 456

*τεθνᾶσι παῖδες οὐκ ἐμοὶ μόνῃ βροτῶν*

supra p. 103). Aristophanis locum Ran. 849: ὦ *Κρητικὰς μὲν συλλέγων μονῳδίας, γάμους δ' ἀνοσίους εἰσφέρων*, ut Scholia tradunt, alii aliter interpretati sunt, *Ἀπολλώνιος δὲ ὅτι δύναται καὶ εἰς τὴν Ἀερόπην τὴν ἐν ταῖς Κρήσσαις εἰρῆσθαι, ἣν εἰσήγαγε* (Euripides) *πορνεύουσαν*. Sophocles Ai. 1297 Teucrum haec facit Menelao maledicentem: *αὐτὸς δὲ μητρὸς ἐξέφυς Κρήσσης* (Aeropen dicit), *ἐφ' ᾗ λαβὼν ἐπακτὸν ἄνδρ' ὁ φιτύσας πατὴρ ἐφῆκεν* (Aeropen) *ἐλλοῖς ἰχθύσιν διαφθοράν*. ubi Schol.: *ἡ ἱστορία ἐν ταῖς Κρήσσαις Εὐριπίδου, ὅτι διαφθαρεῖσαν αὐτὴν λάθρα ὑπὸ θεράποντος ὁ πατὴρ* (Catreus) *Ναυπλίῳ παρέδωκεν ἐντειλάμενος καταποντῶσαι· ὃ δὲ οὐκ ἐποίησεν, ἀλλ' ἐνεγγύησε Πλεισθένει*. Apollod. 3, 2, 2: *Ἀερόπην δὲ καὶ Κλυμένην Κατρεὺς Ναυπλίῳ δίδωσιν εἰς ἀλλοδαπὰς ἠπείρους ἀπεμπολῆσαι· τούτων Ἀερόπην μὲν ἔγημε Πλεισθένης καὶ παῖδας Ἀγαμέμνονα καὶ Μενέλαον ἔτεκε, Κλυμένην δὲ γαμεῖ Ναύπλιος*. Apollod. 2, 1, 5: (Nauplius) *ἔγημεν, ὡς — οἱ τραγικοὶ λέγουσι, Κλυμένην τὴν Κατρέως*. fortasse huc referendum fr. 848.

463

*λύπη μὲν ἄτῃ περιπεσεῖν αἰσχρᾷ τινι·*
*εἰ δ' οὖν γένοιτο, χρὴ περιστεῖλαι καλῶς*
*κρύπτοντα καὶ μὴ πᾶσι κηρύσσειν τάδε·*
*γέλως γὰρ ἐχθροῖς γίγνεται τὰ τοιάδε.*

Stob. Flor. 109, 7.

464

*οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν,*
*αἰσχρόν τε μοχθεῖν μὴ θέλειν νεανίαν.*

Stob. Flor. 29, 23.

465

*ἐπίσταμαι δὲ καὶ πεπείραμαι λίαν,*
*ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι.*

Stob. Flor. 91, 7. vs. 2 recurrit Stob. Flor. 92, 5 et Men. mon. 558.

466

*οὐ γάρ ποτ' ἄνδρα τὸν σοφὸν γυναικὶ χρὴ*
*δοῦναι χαλινοὺς οὐδ' ἀφέντ' ἐᾶν κρατεῖν·*
*πιστὸν γὰρ οὐδέν ἐστιν· εἰ δέ τις κυρεῖ*
*γυναικὸς ἐσθλῆς, εὐτυχεῖ κακὸν λαβών.*

Stob. Flor. 74, 2.

467

*γαμεῖτε νῦν, γαμεῖτε, κᾆτα θνήσκετε*
*ἢ φαρμάκοισιν ἐκ γυναικὸς ἢ δόλοις.*

Stob. Flor. 72, 4.

468

*Ἅιδης κρινεῖ ταῦτ'* . . . . . . .

Aristoph. Vesp. 763: *τοῦτο δὲ Ἅιδης διακρινεῖ πρότερον ἢ ἐγὼ πείσομαι.* ubi Schol.: *ἐν Κρήσσαις Εὐριπίδου ὁ Ἀτρεὺς πρὸς τὴν Ἀερόπην* '*κρινεῖ ταῦτα*'. *Ἅιδης* addendum esse liquet.

469

*ἐγὼ χάριν σὴν παῖδά σου κατακτενῶ;*

Apollon. de coni. p. 514, 9 de v. *χάριν*: *φησὶν ὁ Τρύφων ὡς παρὰ Εὐριπίδῃ καὶ ἔτι ἄλλοις ποιηταῖς ὀνοματικῆς συντάξεως ἔτυχεν· ἐν μὲν γὰρ Κρήσσαις* '*ἐγὼ — κατακτενῶ*' *καὶ ἐν Αὔγῃ—. παῖδας οὐ* edidit Bekker, *παῖδά σου* Bastius in Greg. Cor. p. 32.

470

*τί γὰρ ποθεῖ τράπεζα; τῷ δ' οὐ βρίθεται;*
*πλήρης μὲν ὄψων ποντίων, πάρεισι δὲ*
*μόσχων τέρειναι σάρκες ἀρνεία τε δαὶς*
*καὶ πεπτὰ καὶ κροτητὰ τῆς ξουθοπτέρου*
*πελάνῳ μελίσσης ἀφθόνως δεδευμένα.*

Ath. XIV p. 640 B: *ἔφη τις τῶν παρόντων· αἱ δεύτεραί πως φροντίδες σοφώτεραι* (Eur. Hipp. 436). '*τί γὰρ — δεδευμένα*', *φησὶν ὁ Εὐριπίδης ἐν Κρήσσαις.* vs. 2 sq. cf.

Eust. Od. p. 1532, 16. vs. 4 et 5 habet Plut. Mor. p. 1097 D. vs. 4 *πεπτά*] cf. Schol. Ar. Eq. 1181 et Suid. v. *ἐλατήρ*.

## 471

*τὰ δ' ἄλλα χαῖρε κύλικος ἑρπούσης κύκλῳ.*

Ath. XI p. 504 B, ubi *τὸ κύκλῳ πίνειν* illustratur: *καὶ Εὐριπίδης δ' ἐν Κρήσσαις 'τὰ δ' — κύκλῳ'.* Naber Proleg. in Phot. p. 52 huc refert fr. 1113.

## 472

*. . νόμος δὲ λείψαν' ἐκβάλλειν κυσίν.*

Ath. III p. 97 A: *τὰ ὀστᾶ, ὧν οὐδεὶς φθόνος αὐτοῖς* (cynicis) *ἀπολαύειν ὡς κυσί· τοῦτο γὰρ εἰσὶ καὶ εὔχονται καλεῖσθαι· 'νόμος — κυσίν' ἐν Κρήσσαις ὁ Εὐριπίδης ἔφη.*

## 473

*πρὶν ἂν . . ἐκφλῆναί με καὶ μαθεῖν λόγον*

Etym. M. p. 796, 12: *φλήναφος — παρὰ τὸ φλέω —. Εὐριπίδης παράγωγον ῥῆμα ἀπὸ τούτου ποιήσας φησὶν ἐν Κρήσσαις 'πρὶν ἂν ἐκφλῆναί — λόγον'.*

## ΚΡΗΤΕΣ

Ar. Ran. 849: *ὦ Κρητικὰς μὲν συλλέγων μονῳδίας γάμους τ' ἀνοσίους εἰσφέρων.* ubi Schol.: *οἳ μὲν εἰς τὴν τοῦ Ἰκάρου μονῳδίαν ἐν τοῖς Κρησί — Τιμαχίδας δὲ διὰ τὴν ἐν τοῖς Κρησὶ* (verba *ἐν τοῖς Κρ.* om. R.) *μῖξιν Πασιφάης πρὸς τὸν ταῦρον.* Ioh. Malalas p. 86, 10: *περὶ δὲ τῆς Πασιφάης ἐξέθετο δρᾶμα Εὐριπίδης ὁ ποιητής.* idem p. 31, 6: *ἐξ ἧς* (int. Europam) *ἔσχεν υἱὸν τὸν Μίνω, καθὼς καὶ Εὐριπίδης ὁ σοφώτατος ποιητικῶς συνεγράψατο, ὅς φησι Ζεὺς μεταβληθεὶς εἰς ταῦρον Εὐρώπην ἥρπασεν.* Libanius Decl. vol. 3 p. 375: *ἵνα μὴ τραγῳδὸς εἰσελθὼν Πασιφάην μιμήσηται τὴν ἐξοκείλασαν εἰς ἀλλόκοτον ἔρωτα.* ibid. p. 64: *οὐχ ὁρᾶτε τὸν Μίνω δεινὰ πάσχοντα ἐπὶ τῆς σκηνῆς καὶ τὴν οἰκίαν αὐτοῦ διὰ τοῦ τῆς Πασιφάης ἔρωτος ἐν αἰσχύ-*

*νῃ γεγενημένην;* chori partes Curetes agunt, *Διὸς Ἰδαίου μύσται.* Valck. huc refert fr. 904.

474

*ἀλλ' ὦ Κρῆτες Ἴδης τέκνα*

Ar. Ran. 1356: *ἀλλ' ὦ Κρῆτες, Ἴδης τέκνα.* ubi Schol.: *τοὺς Κρῆτας λέγει. ἔστι δὲ ἐκ Κρητῶν Εὐριπίδου.* quae subicit Aristophanes, *τὰ τόξα λαβόντες ἐπαμύνατε,* Euripidea esse non credo.

475

*Φοινικογενοῦς [παῖ τῆς Τυρίας] τέκνον Εὐρώπης*
*καὶ τοῦ μεγάλου Ζηνός, ἀνάσσων*
*Κρήτης ἑκατομπτολιέθρου·*
*ἥκω ζαθέους ναοὺς προλιπών,*
*οὓς αὐθιγενὴς τμηθεῖσα δοκὸς*
*στεγανοὺς παρέχει Χαλύβῳ πελέκει*
*καὶ ταυροδέτῳ κόλλῃ κραθεῖσ'*
*ἀτρεκεῖς ἁρμοὺς κυπαρίσσου.*
*ἁγνὸν δὲ βίον τείνομεν ἐξ οὗ*
*Διὸς Ἰδαίου μύστης γενόμην,*
*καὶ νυκτιπόλου Ζαγρέως βροντὰς*
*τάς τ' ὠμοφάγους δαῖτας τελέσας*
*μητρί τ' ὀρείῳ δᾷδας ἀνασχὼν*
*καὶ Κουρήτων*
*βάκχος ἐκλήθην ὁσιωθείς.*
*πάλλευκα δ' ἔχων εἵματα φεύγω*
*γένεσίν τε βροτῶν καὶ νεκροθήκης*
*οὐ χριμπτόμενος τήν τ' ἐμψύχων*
*βρῶσιν ἐδεστῶν πεφύλαγμαι.*

Porphyrius de abst. 4, 19: *μικροῦ με παρῆλθε καὶ τὸ Εὐριπίδειον παραθέσθαι, ὃς τοὺς ἐν Κρήτῃ τοῦ Διὸς προφήτας ἀπέχεσθαι φησὶ διὰ τούτων· λέγουσι δ' οἱ κατὰ τὸν*

χορὸν πρὸς τὸν Μίνωα 'Φοινικογενοῦς — πεφύλαγμαι'. vs. 1 verba παῖ τῆς Τυρίας delet Bothius. Εὐρώπης Dindorfius, Εὐρώπας libri. vs. 2 Ζηνὸς Dindorfius, Ζανὸς libri. vs. 3 respicit Ioh. Malalas p. 359, 17: ἡ Κρήτη νῆσος ἥτις εἶχεν ἐν μέσῳ θαλάσσης ὑπαρχούσας πόλεις ἑκατόν, καθὼς περὶ τῆς αὐτῆς νήσου ἐξέθετο ὁ σοφώτατος Εὐριπίδης. vs. 4—8 affert Erotianus Gloss. Hippocr. v. ἀτρεκέως p. 39, 1: καὶ Εὐριπίδης ἐν Κρησὶ φησίν 'ἥκω — ἁρμούς'. vs. 7 ταυροδέτῳ Porph., ταυρολέτῳ Erot., στερροδέτῳ Herwerdenus. vs. 9 τείνων malim. vs. 11 σπονδὰς Lobeckius. vs. 12 δαίτας Porphyrii libri. respicit Hesychius: ὠμοφάγους δαίτας· τοὺς τὰ ὠμὰ κρέα μερίζοντας καὶ ἐσθίοντας. idem: δαίτας· μεριστάς. e Porphyrio hausit Hieronymus tom. 3 fol. 36 A ed. Basil.: *Euripides in Creta Iovis prophetas non solum carnibus sed et coctis cibis abstinuisse refert.*

## ΛΑΜΙΑ

De fide tituli haud iniuria dubitarunt Elmsleius in Eur. Med. p. 71 et alii. Photius Amphiloch. 150 p. 237 sive Anonym. praef. ad Orac. Sibyll. p. 6 ed. Alex. sive Schol. Plat. p. 963 b 1: Σίβυλλαι μὲν γεγόνασι δέκα, ὧν πρώτῃ ὄνομα Σαμβήθη — δευτέρα δὲ Λίβυσσα, ἧς μνήμην ἐποιήσατο ἐν τῷ τῆς Λαμίας προλόγῳ Εὐριπίδης· ὄνομα δὲ αὐτῆς οὐ πάνυ σαφηνίζουσι. Lactantius Instit. 1, 6, 8: *Sibyllas decem numero fuisse — secundam Libycam, cuius meminit Euripides in Lamiae prologo.* sunt qui huc referant fr. 914. cf. C. Alexandre in Orac. Sibyll. II, 2 p. 75 sqq.

## ΛΙΚΥΜΝΙΟΣ

Respicit hanc fabulam Ar. Av. 1242: λιγνὺς δὲ σῶμα καὶ δόμων περιπτυχὰς καταιθαλώσῃ σου Λικυμνίαις βολαῖς, ubi Λικυμνίαις de suo Aristophanes addidit, cetera fortasse Euripidis sunt verba e Licymnio petita. non sufficiunt quae in Scholiis leguntur: ὁ μὲν Καλλίμαχος γράφων οὕτως 'Λικυμνίαις βολαῖς' φησὶ 'ταύτης τῆς διδασκαλίας οὐ μέμνηται'. ἐν δὲ ἐνίοις τῶν σχολικῶν ὑπομνήμασι ταυτὶ γέγραπται, 'ἴσως ὁ Λικύμνιος ἐνεπύρισε τινῶν οἰκίας'. ἐν δὲ τοῖς ἐπιγεγραμμένοις Ἀπολλωνίου ταῦτα γέγραπται ὅτι

ἡμίφλεκτόν τινα εἰσάγει εἰς τοιοῦτό τι κεκεραυνωμένον ἀπὸ τῆς περιστάσεως ἐκείνης. εἴη δ' ἂν τοῦ Εὐριπίδου μεμνημένος ἀγγέλου τοῦ ἐν τῷ Λικυμνίῳ. λέγει γὰρ ἐπὶ τελευτῆς ἐκεῖνος. ἐν Λικυμνίῳ δράματι Εὐριπίδου εἰσήχθη τις κεραυνοβολούμενος. quae partim corrupta sunt, partim ab interpretibus scripta qui de Licymnio Euripidis nihil scirent. Hesychius: Λικυμνίοις βολαῖς· τῶν ἐν τῷ Εὐριπίδου Λικυμνίῳ μνημονεύοι ἂν ἴσως. κεραυνοῦται γὰρ ἡ ναῦς κατὰ τὸν ἐκεῖ λόγον, οὐχ ὡς αὐτοῦ τοῦ Λικυμνίου κατεσκημμένου.

476

*φαῦλον ἄκομψον, τὰ μέγιστ' ἀγαθόν,*
*πᾶσαν ἐν ἔργῳ περιτεμνόμενον*
*σοφίαν, λέσχης ἀτρίβωνα*

Diog. L. 3, 63: ὁ γοῦν φαῦλος λέγεται παρ' αὐτῷ (int. Platonem) καὶ ἐπὶ τοῦ ἁπλοῦ, ὡς καὶ παρ' Εὐριπίδῃ ἐν Λικυμνίῳ φέρεται ἐπὶ τοῦ Ἡρακλέους οὑτωσί 'φαῦλον — ἀτρίβωνα'. vs. 1 afferunt Didymus qui dicitur in Milleri libro *Mélanges de litt. Gr.* p. 402 Phot. Lex. p. 642, 20 Etym. M. p. 789, 34 Suidas v. εἰδέα et φαῦλον Schol. Plat. p. 920 a 36 Eust. Il. p. 1356, 62, denique partim Lex. Vindob. p. 187, 6. cf. Plutarchus V. Marcelli c. 21: τὸν δῆμον — ῥᾳθυμίας ἄπειρον καὶ κατὰ τὸν Εὐριπίδειον Ἡρακλέα 'φαῦλον — ἀγαθόν'. similiter idem V. Cimon. c. 4. Anecd. Bachm. vol. 1 p. 412, 7: φαῦλον — ἐπὶ δὲ ἀγαθοῦ Εὐριπίδης ἐν Ἡρακλεῖ 'φαῦλον — ἀγαθόν'. respicit Phryn. Bekk. p. 6, 19 et p. 368, 31: ἄκομψον καὶ φαῦλον· οἷον κομψείας καὶ πανουργίας ἀπηλλαγμένον. item fortasse Iulianus p. 54 A: φαύλῳ καὶ ἀκόμψῳ θεατῇ.

477

*πόνος γάρ, ὡς λέγουσιν, εὐκλείας πατήρ.*

Stob. Flor. 29, 7. Sophocli hunc versum tribuit Maximus Planudes Rhet. vol. 5 p. 441.

478

*τὸ τῆς ἀνάγκης οὐ λέγειν ὅσον ζυγόν.*

Stob. Ecl. 1, 4, 6 p. 156: *Εὐριπίδης Λικυμνίῳ* (*διδύμῳ* libri). '*τὸ τῆς — ζυγόν*'. fortasse hunc versum spectat Doxopater Rhet. vol. 2 p. 291: *μέλλει· τὸ θεῖον δ' ἐστὶ τοιοῦτον φύσει* (Eur. Or. 420). '*τὸ τῆς ἀνάγκης ἰσχυρὸν ζυγόν*'. Euripidem scripsisse *τὸ τῆς ἀνάγκης δυσπαραίτητον* (vel *οὐ παραιτητὸν*) *ζυγόν* suspicor, cf. Iulian. Orat. VIII p. 246 B: *ἀπαραίτητον γάρ ἐστι τὸ λεγόμενον ζυγὸν τῆς ἀνάγκης*.

479

*Τευθράντιον δὲ σχῆμα Μυσίας χθονός*

Stephanus Byz. p. 618, 15: *Τευθρανία, Μυσίας πόλις — τὸ ἐθνικὸν Τευθράνιος — καὶ Τευθράντιος. Εὐριπίδης Λικυμνίῳ* '*Τευθράντιον — χθονός*'.

480

*δέσποτα φιλόδαφνε Βάκχε, Παιὰν Ἄπολλον εὔλυρε*

Macrob. Sat. 1, 18, 6: *Euripides in Licymnio Apollinem Liberumque unum eundemque deum esse significans scribit* '*δέσποτα — εὔλυρε*'. fortasse *δέσποτα* | *φιλόδαφνε Παιὰν Βάκχ' Ἄπολλον εὔλυρε* leg.

481

*θριάζειν*

Hesych.: *θριάζειν· φυλλολογεῖν, ἐνθουσιᾶν, ἐνθουσιάζειν. Εὐριπίδης Λικυμνίῳ καὶ Σοφοκλῆς Ὀδυσσεῖ μαινομένῳ*.

482

Demetrius *π. ποιημάτων* in Volum. Hercul. ed. Oxon. 1 p. 115 (cf. Hercul. vol. coll. alt. V p. 4): . . . . *ιν κ* . . . . *παρ' Εὐρειπίδῃ ἐν Νυσανίῳ φειμ* . . . . . . . . . *τοῦ καὶ πόλεις α* . . . . . Legendum esse *παρ' Εὐριπίδῃ ἐν Λικυμνίῳ* vidit Dobraeus.

## ΜΕΛΑΝΙΠΠΗ

*Μελάνιππος* vitiose scribitur in marmore Albano (Corp. Inscr. 6047) et in libris plerisque Eusebii Pr. E. p. 466 D.

duae fuerunt huius tituli fabulae, quarum altera ἡ σοφή, altera ἡ δεσμῶτις appellatur; plerique tamen testes simpliciter *Μελανίππην* laudant, neque ausim decernere singuli loci utrius sint dramatis.

## ΜΕΛΑΝΙΠΠΗ Η ΣΟΦΗ

Gregorius Cor. Rhet. vol. 7 p. 1313: *ἡ δὲ τῆς σοφῆς Μελανίππης αὕτη ἱστορία. Ἕλληνος τοῦ Διὸς Αἴολος τεκνωθεὶς ἐκ μὲν τῆς Εὐρυδίκης ἐγέννησε Κρηθέα καὶ Σαλμωνέα καὶ Σίσυφον**), *ἐκ δὲ τῆς Χείρωνος θυγατρὸς Ἵππης κάλλει διαφέρουσαν Μελανίππην. αὐτὸς μὲν οὖν φόνον ποιήσας ἐπ' ἐνιαυτὸν ἀπῆλθε φυγάς, τὴν δὲ Μελανίππην Ποσειδῶν διδύμων παίδων ἔγκυον ἐποίησεν· ἡ δὲ διὰ τὴν τοῦ πατρὸς προσδοκίαν τοὺς γεννηθέντας εἰς τὴν βούστασιν ἔδωκε τῇ τροφῷ θεῖναι κατὰ τὴν ἐντολὴν τοῦ κατασπείραντος. ὑπὸ δὲ τὴν κάθοδον τοῦ δυνάστου τὰ βρέφη τινὲς τῶν βουκόλων φυλαττόμενα μὲν ὑπὸ τοῦ ταύρου, θηλαζόμενα δὲ ὑπὸ μιᾶς τῶν βοῶν ἰδόντες, ὡς βουγενῆ τέρατα τῷ βασιλεῖ προσήνεγκαν· ὁ δὲ τῇ τοῦ πατρὸς Ἕλληνος γνώμῃ πεισθεὶς ὁλοκαυτοῦν τὰ βρέφη κρίνας Μελανίππῃ τῇ θυγατρὶ προσέταξεν ἐνταφίοις αὐτὰ κοσμῆσαι· ἡ δὲ καὶ τὸν κόσμον αὐτοῖς ἐπέθηκε καὶ τὸν λόγον εἰς παραίτησιν ἐξέθηκε φιλότιμον.* Dionysius Hal. Rhet. 9, 11 vol. 5 p. 355: *ἡ Μελανίππη σοφή, τὸ δρᾶμα Εὐριπίδου, ἐπιγέγραπται μὲν σοφή, ὅτι φιλοσοφεῖ καὶ διὰ τοῦτο τοιαύτης μητρός ἐστιν, ἵνα μὴ ἀπίθανος ᾖ ἡ φιλοσοφία· ἔχει δὲ διπλοῦν σχῆμα, τὸ μὲν τοῦ ποιητοῦ, τὸ δὲ τοῦ προσώπου τοῦ ἐν τῷ δράματι, τῆς Μελανίππης.* et mox p. 356: *ἡ δὲ Μελανίππη ἐπαιδεύθη* (*ἐπλήσθη* Valck.) *μὲν ὑπὸ τοῦ Ποσειδῶνος, γέγονε δὲ ταύτῃ παιδία, ἐξέθηκε δ' αὐτὰ εἰς τὰ τοῦ πατρὸς βουφόρβια· ὁ δὲ πατὴρ ἡγεῖται ἐκ βοὸς εἶναι καὶ ὡς τέρας βούλεται κατακαῦσαι· βοηθοῦσα αὕτη* (*αὐτὴ* Welck.) *ἡ Μελανίππη ἀποφαίνεσθαι πειρᾶται ὅτι τέρας οὐδέν ἐστιν. οὕτω τὸ δρᾶμα ὅλον ἐσχημάτισται. καὶ ἅμα διδάσκει ἡμᾶς Εὐριπίδης ὅτι τὸν σχηματίζοντα ἐγγυτάτω δεῖ εἶναι τοῦ λῦσαι τὸ σχῆμα μετὰ τῆς ἀσφαλείας τοῦ σχή-*

---

*) Ex his verbis conicere possis huius fabulae esse fr. 14.

*ματος. περιερχομένη γὰρ πάσας αἰτίας τοῦ σῶσαι τὰ παιδία λέγει ʽεἰ δὲ παρθένος φθαρεῖσα ἐξέθηκε τὰ παιδία καὶ φοβουμένη τὸν πατέρα, σὺ φόνον δράσεις;ʼ* similiter idem Rhet. 8, 10 vol. 5 p. 300 sq.: *Εὐριπίδης ὁ ποιητὴς ἐν ὅλῳ δράματι λόγον ἐσχηματισμένον περαίνει, ἐν τῇ Μελανίππῃ τῇ σοφῇ. κἀκεῖ δὲ τὸ σχῆμα διπλοῦν, τὸ μὲν αὐτοῦ τοῦ ποιητοῦ, τὸ δὲ τοῦ ὑποκειμένου προσώπου, τῆς Μελανίππης κτέ.* exitus fabulae continetur iis quae tradit Hyginus fab. 186: *Menalippen excaecavit* (pater) *et in munimento conclusit.* hanc fabulam respicit Tatianus Or. ad Gr. c. 33 p. 132: *Μελανίππη τις ἦν σοφή· διὰ τοῦτο ταύτην ὁ Λυσίστρατος ἐδημιούργησεν.* item ut videtur Ar. Thesm. 547: *ἐπίτηδες εὑρίσκων λόγους, ὅπου γυνὴ πονηρὰ ἐγένετο, Μελανίππας ποιῶν Φαίδρας τε.* Nonnus Dionys. 8, 236: *καὶ σὲ σοφῆς προβέβουλεν ἀειδομένης Μελανίππης.*

483

*Ζεὺς ὅστις ὁ Ζεύς, οὐ γὰρ οἶδα πλὴν λόγῳ*

Lucian. Iov. trag. 41 vol. 2 p. 689: *ἐπεὶ καθʼ ἑαυτὸν ὁπόταν ὁ Εὐριπίδης μηδὲν ἐπειγούσης τῆς χρείας τῶν δραμάτων τὰ δοκοῦντά οἱ λέγῃ, ἄκουσον αὐτοῦ τότε παρρησιαζομένου ʽὁρᾷς τὸν ὑψοῦ — θεόνʼ* (fr. 935) *καὶ πάλιν ʽΖεὺς ὅστις — λόγῳʼ καὶ τὰ τοιαῦτα.* Iustinus M. de monarchia c. 5: *ἐν Φρίξῳ ὁ τραγικός — ἐν Φιλοκτήτῃ — ἐν Ἑκάβῃ ʽΖεὺς ὅστις — λόγῳʼ.* Plut. Mor. p. 756 C: *ἀκούεις δὲ δήπου τὸν Εὐριπίδην ὡς ἐθορυβήθη ποιησάμενος ἀρχὴν τῆς Μελανίππης ʽΖεὺς γὰρ οἶδα πλὴν λόγῳʼ. μεταλαβὼν δὲ χορὸν ἄλλον — ἤλλαξε τὸν στίχον ὡς νῦν γέγραπται ʽΖεὺς ὡς — ὕποʼ* (fr. 484). respicit Athenagoras Legat. pro Christ. c. 5 p. 24 *Ζῆνα γὰρ ὅστις ἐστὶ Ζεύς, οὐκ οἶδα πλὴν λόγῳ.* cf. Eur. Herc. F. 1263: *Ζεὺς δʼ ὅστις ὁ Ζεὺς πολέμιόν μʼ ἐγείνατο.*

484

*Ζεύς, ὡς λέλεκται τῆς ἀληθείας ὕπο,*
*Ἕλληνʼ ἔτικτεν*

Greg. Cor. Rhet. vol. 7 p. 1312: *καὶ Εὐριπίδης ʽΖεὺς—*

ὕπο' (vs. 1). οὗτος ὁ στίχος ἐν δυσὶν εὕρηται δράμασιν Εὐριπίδου, ἔν τε τῷ λεγομένῳ Πειρίθῳ (fr. 594, 4) καὶ ἐν τῇ σοφῇ Μελανίππῃ. — ἐν δὲ τῇ Μελανίππῃ παρεισάγει ταύτην προοιμιαζομένην 'Ζεὺς — ἔτικτεν'. vs. 1 habet Ar. Ran. 1244, ubi Schol.: Μελανίππης τῆς σοφῆς ἡ ἀρχή. item Plut. Mor. p. 756 C (vide fr. 483) et Hermogenes Rhet. vol. 3 p. 434.

485

*ἣ πρῶτα μὲν τὰ θεῖα προυμαντεύσατο*
*χρησμοῖσι σαφέσιν ἀστέρων ἐπ' ἀντολαῖς*

Clemens Alex. Strom. I p. 361: μαρτυρεῖ καὶ Εὐριπίδης περὶ τῆς Ἱππους ὧδέ πως 'ἣ πρῶτα — ἀντολαῖς'. similiter Cyrillus c. Iulian. IV p. 134 B. locum huc rettulit Valck. in Eur. Phoen. 506.

486

*τὸν δ' ἀμφὶ βοῦς ῥιφέντα Βοιωτὸν καλεῖν*

Stephanus Byz. v. Βοιωτία p. 173, 17 de Boeoto: καὶ Εὐριπίδης 'τὸν — καλεῖν'. Eust. in Dionys. P. 426 p. 178, 13: ἐξ οὗ καὶ τὸ ὄνομα ἔσχεν ὡς ῥιφεὶς ἀμφὶ τοὺς βόας. ῥιφθέντα Valck.

487

Aristophanes Lysistr. 1124:

*ἐγὼ γυνὴ μέν εἰμι, νοῦς δ' ἔνεστί μοι·*
*αὐτὴ δ' ἐμαυτῆς οὐ κακῶς γνώμης ἔχω·*
*τοὺς δ' ἐκ πατρός τε καὶ γεραιτέρων λόγους*
*πολλοὺς ἀκούσασ' οὐ μεμούσωμαι κακῶς.*

Schol. de vs. 1125 annotant: ὁ στίχος (οἱ στίχοι Put.) ἐκ σοφῆς Μελανίππης Εὐριπίδου. videntur quattuor versus allati aut desumpti esse ex Euripide aut ad exemplum huius poetae compositi. vs. 1 μοῦσα δ' ἔστι μοι Suidas v. μουσωθῆναι.

488

*κοὐκ ἐμὸς ὁ μῦθος, ἀλλ' ἐμῆς μητρὸς πάρα,*
*ὡς οὐρανός τε γαῖά τ' ἦν μορφὴ μία·*

*ἐπεὶ δ' ἐχωρίσθησαν ἀλλήλων δίχα,*
*τίκτουσι πάντα κἀνέδωκαν εἰς φάος,*
*δένδρη, πετεινά, θῆρας οὕς θ' ἅλμη τρέφει*
*γένος τε θνητῶν.*

Dionys. Hal. Rhet. 9, 11 vol. 5 p. 356: *ὁμολογεῖ οὖν* (Eur.) *τὴν διδασκαλίαν τὴν ἀρχαίαν διὰ τῆς Μελανίππης 'καὶ οὐκ ἐμὸς — μία'* (vs. 1 et 2). vs. 2—6 habet Diod. Sic. 1, 7 (quem locum repetit Eusebius Praep. Euang. p. 20 D). vs. 1 affert Dionys. Hal. Rhet. 8, 10 vol. 5 p. 301. respicit Plato Sympos. p. 177 A. item Callim. Lav. Pall. 56: *μῦθος δ' οὐκ ἐμός, ἀλλ' ἑτέρων.* Aristid. vol. 2 p. 41: *καὶ μὴν οὐκ ἐμὸς ὁ μῦθος, ἔφη ὁ Πλάτων τὸ τοῦ Εὐριπίδου προσπαίζων* (quibus verbis Eurip. Hipp. 352 respici falso statuit Schol. p. 398). Plut. Mor. p. 661 A: *οὐκ ἐμός, εἶπεν, ὁ μῦθος, ἀλλ' οὑτοσὶ Φίλων κτέ.* Iulianus p. 299 C: *οὐκ ἐμὸς ὁ λόγος οὗτός ἐστιν, ἀλλὰ τοῦ θεοῦ.* Aristid. vol. 1 p. 116 sq.: *καίτοι τοῦτό γε οὐκ ἐμὸς ὁ λόγος, ἀλλ' ἡ πόλις αὐτὴ συνομολογεῖ.* Hor. Sat. 2, 2, 2: *nec meus hic sermo est, sed quae praecepit Ofellus rusticus abnormis sapiens crassaque Minerva.* cf. Eur. Hel. 513: *λόγος γάρ ἐστιν οὐκ ἐμός, σοφῶν δ' ἔπος.* vs. 2—4 apponit Tzetzes Exeg. Il. p. 41, 18. hunc locum spectare videtur Aristot. Poet. c. 15 p. 1454 a 31: *παράδειγμα — τοῦ ἀπρεποῦς καὶ μὴ ἁρμόττοντος — ἡ τῆς Μελανίππης ῥῆσις.*

489

Dionys. Hal. Rhet. 8, 10 vol. 5 p. 301: *ὁ μὲν Εὐριπίδου σχηματισμὸς οὗτος· ὁ δὲ τῆς Μελανίππης 'τίς τὰ παιδία ἐξέθηκεν εἰς τὰ τοῦ πατρὸς βουφόρβια'.* ibid. 9, 11 vol. 5 p. 355 sq.: *περιερχομένη γὰρ πάσας αἰτίας τοῦ σῶσαι τὰ παιδία λέγει* (Melanippe) *'εἰ δὲ παρθένος φθαρεῖσα ἐξέθηκε τὰ παιδία καὶ φοβουμένη τὸν πατέρα, σὺ φόνον δράσεις;'* poetae verba a Dionysio parum accurate reddita vix licet restituere, cf. Valck. Diatr. p. 183.

490

*δικαιοσύνας τὸ χρύσεον πρόσωποι*

Aristot. Eth. Nicom. 5, 2 p. 1129 b 28: *κρατίστη τῶν ἀρετῶν εἶναι δοκεῖ ἡ δικαιοσύνη καὶ οὔθ' ἕσπερος οὔθ' ἑῷος οὕτω θαυμαστός.* ubi Scholion codicis Paris. 1854 ab Osanno in Wolfii Anal. vol. 2 p. 538 editum: *τοῦτο ἐκ τῆς Εὐριπίδου σοφῆς Μελανίππης· λέγει γὰρ ἐν αὐτῇ 'δικαιοσύνης τὸ χρύσεον πρόσωπον'.* pro *τὸ χρύσεον* alter codex Parisinus 2023 *τηλαυγὲς χρυσοῦν* praebet, ubi *τηλαυγὲς* e Pindari Ol. 6, 4 immixtum esse suspicatus est Meinekius Exerc. philol. in Ath. II p. 25. idem Aristotelis ope Euripideum locum sic iussit restitui:

*δικαιοσύνας τὸ χρύσεον πρόσωπον·*
*οὔθ' ἕσπερος οὔθ' ἑῷος οὕτω*
*θαυμαστός.*

Aristotelis vestigia legit Plotinus vol. 1 p. 5: *καλὸν τὸ τῆς δικαιοσύνης καὶ σωφροσύνης πρόσωπον καὶ οὔτε ἕσπερος οὔτε ἑῷος οὕτω καλά.* extremis verbis utitur auctor Timarionis dialogi in *Notices et Extraits* vol. IX, 2 p. 179: *καὶ οὔθ' ἕσπερος οὔθ' ἑῷος οὕτω θαυμαστὸς ὡς ἡμῖν ἐκεῖνος τῷ τότε παρανατέταλκε.* forma *δικαιοσύνας* debetur Athenaeo XII p. 546 B: *καί πού τις καὶ ποιητὴς ἐφθέγξατο 'δικαιοσύνας τὸ χρύσεον πρόσωπον' καὶ πάλιν* (Soph. fr. 11) *'τὸ χρύσεον ὄμμα τὸ τᾶς Δίκας'.*

## 491

*ὄμνυμι δ' ἱερὸν αἰθέρ', οἴκησιν Διός*

Ar. Ran. 100 et 311, quos locos attulimus fr. 43. Schol. Ar. Ran. 100: *αἰθέρα Διός]* *Εὐριπίδου ἐκ Μελανίππης 'ὄμνυμι δ' — Διός'.* ubi *ἐκ Μελανίππης Σοφοκλέους* (omisso *Εὐριπίδου*) ed. Ald., *εἰς τὴν Μελανίππην Σοφοκλῆς* codex Mediol., *ἐκ Μελανίππης σοφῆς* Bergler. Suidas v. *παρακεκινδυνευμένον*: *Εὐριπίδης 'ὄμνυμι δ' — Διός'.* utitur hoc versu leviter mutato Ar. Thesm. 272: *ὄμνυμι τοίνυν αἰθέρ' οἴκησιν Διός.* ubi Scholia: *ἐκ τῆς Μελανίππης Εὐριπίδου.*

## 492

Hyginus Poet. Astr. 2, 18 p. 463: *Euripides autem in Menalippa Hippen Chironis Centauri filiam Thetin antea*

*appellatam dicit, quae cum aleretur in monte Pelio et studium in venando maximum haberet, quodam tempore ab Aeolo Hellenis filio Iovis nepote persuasam concepisse, cumque iam partus appropinquaret, profugisse in silvam. — itaque cum parens eam persequeretur, dicitur illa petisse a deorum potestate ne pariens a parente conspiceretur. quae deorum voluntate postquam peperit, in equam conversa inter astra est constituta.* cf. Eratosth. Catast. c. 18 et Schol. Germ. Caes. Arat. p. 79, 3 et 141, 6. huc spectat Pollux 4, 141: *τὰ δὲ ἔκσκευα πρόσωπα — Ἵππη ἡ Χείρωνος ὑπαλλαττομένη εἰς ἵππον παρ' Εὐριπίδῃ.*

## ΜΕΛΑΝΙΠΠΗ Η ΔΕΣΜΩΤΙΣ

Argumentum tragoediae tradit Hyginus fab. 186. Epigr. Cyzic. Anthol. Pal. 3, 16: *Αἴολε καὶ Βοιωτέ, σοφὸν φιλομήτορα μόχθον πρήξατε, μητέρ' ἐὴν ῥυόμενοι θανάτου· τοὔνεκα γὰρ καὶ πεφήνατε ἄλκιμοι ἄνδρες, ὃς μὲν ἀπ' Αἰολίης, ὃς δ' ἀπὸ Βοιοτίης.* quo epigrammate celebrantur *Αἴολος καὶ Βοιωτὸς Ποσειδῶνος παῖδες ῥυόμενοι ἐκ δεσμῶν τὴν μητέρα Μελανίππην.* Strabo VI p. 265 de Metapontio disserens: *ἐνταῦθα δὲ καὶ τὸν Μετάποντον μυθεύουσι καὶ τὴν Μελανίππην τὴν δεσμῶτιν καὶ τὸν ἐξ αὐτῆς Βοιωτόν.*

### 493

*σὺν τῷ θεῷ χρὴ τοὺς σοφοὺς ἀναστρέφειν*
*βουλεύματ' ἀεὶ πρὸς τὸ χρησιμώτερον.*

Orion Flor. 5, 3 p. 255, 16: *ἐκ Μελανίππης δεσμώτιδος Εὐριπίδου.* '*σὺν — χρησιμώτερον*'.

### 494

*ἴστω δ' ἄφρων ὢν ὅστις ἄτεκνος ὢν τὸ πρὶν*
*παῖδας θυραίους εἰς δόμους ἐκτήσατο,*
*τὴν μοῖραν εἰς τὸ μὴ χρεὼν παραστρέφων·*
*ᾧ γὰρ θεοὶ διδῶσι μὴ φῦναι τέκνα,*
*οὐ χρὴ μάχεσθαι πρὸς τὸ θεῖον, ἀλλ' ἐᾶν.*

Stob. Flor. 76, 10: *Εὐριπίδου Μελανίππῃ.* '*ἴστω δ'*

— ἐᾶν'. vs. 4 φῦσαι Matthiae. vs. 5 μάχεσθαι Conington, γλεῖσθαι vel τλεῖσθαι libri.

495

*ἀνδρῶν δὲ πολλοὶ τοῦ γέλωτος εἵνεκα*
*ἀσκοῦσι χάριτας κερτόμους· ἐγὼ δέ πως*
*μισῶ γελοίους, οἵτινες τήτει σοφῶν*
*ἀχάλιν' ἔχουσι στόματα, κεἰς ἀνδρῶν μὲν οὐ*
*τελοῦσιν ἀριθμόν, ἐν γέλωτι δ' εὐπρεπεῖς*
*οἰκοῦσιν οἴκους καὶ τὰ ναυστολούμενα*
*ἔσω δόμων σῴζουσι*

Ath. XIV p. 613 D: *καὶ Εὐριπίδης δ' ἐν τῇ δεσμώτιδι Μελανίππῃ ἔφη* '*ἀνδρῶν — σῴζουσι*'. cf. Eust. Od. p. 1837, 1: *ὁ καλὸς Εὐριπίδης ἐν τῷ* '*οἳ γέλωτος εἵνεκα ἀσκοῦσι χάριτας κερτόμους εὐπρεπεῖς ὄντες ἐν γέλωτι*'. vs. 1 *εἵνεκα* Eust., *οὕνεκα* Ath. vs. 3 *τήτει* L. Dindorfius, *τί εἴ τι* AB. vs. 4 *ἀστῶν* Meinekius. vs. 5 *εὐτρεπεῖς* malit Meinekius.

496

*ἄλγιστόν ἐστι θῆλυ μισηθὲν γένος·*
*αἳ γὰρ σφαλεῖσαι ταῖσιν οὐκ ἐσφαλμέναις*
*αἶσχος γυναιξὶ καὶ κεκοίνωνται ψόγον*
*ταῖς οὐ κακαῖσιν αἱ κακαί· τὰ δ' εἰς γάμους*
*οὐδὲν δοκοῦσιν ὑγιὲς ἀνδράσιν φρονεῖν.*

Stob. Flor. 69, 19: *Εὐριπίδου Μελανίππῃ.* '*ἄλγιστόν — φρονεῖν*'. locum huc referendum esse docet fr. 497.

497

*τῆς μὲν κακῆς κάκιον οὐδὲν γίγνεται*
*γυναικός, ἐσθλῆς δ' οὐδὲν εἰς ὑπερβολὴν*
*πέφυκ' ἄμεινον· διαφέρουσι δ' αἱ φύσεις.*

Stob. Flor. 69, 11: *Εὐριπίδου Μελανίππῃ.* '*τῆς μὲν — φύσεις*'. Porphyrius in Euseb. Pr. E. p. 466 D: *Εὐριπίδης δὲ ἐν Μελανίππῃ τῇ δεσμώτιδι* '*τῆς μὲν — φύσεις*'. vs. 1 *οὐδὲν ἔστ' ἰδεῖν* scripserim.

## 498

Ath. XII p. 523 D: ὠνομάσθη δ' ἡ Σῖρις, ὡς μὲν Τίμαιος φησὶ καὶ Εὐριπίδης ἐν δεσμώτιδι Μελανίππῃ, ἀπὸ γυναικός τινος Σίριδος.

---

## 499

τίσασθε τήνδε· καὶ γὰρ ἐντεῦθεν νοσεῖ
τὰ τῶν γυναικῶν· οἳ μὲν ἢ παίδων πέρι
ἢ συγγενείας εἵνεκ' οὐκ ἀπώλεσαν
κακὴν λαβόντες· εἶτα τοῦτο τἄδικον
πολλαῖς ὑπερρύηκε καὶ χωρεῖ πρόσω,
ὥστ' ἐξίτηλος ἀρετὴ καθίσταται.

Stob. Flor. 74, 6: Εὐριπίδου Μελανίππῃ. 'τίσασθε — καθίσταται'.

## 500

πλὴν τῆς τεκούσης θῆλυ πᾶν μισῶ γένος.

Stob. Flor. 73, 10: Εὐριπίδου Μελανίππης. 'πλὴν — γένος'.

## 501

μάτην ἄρ' εἰς γυναῖκας ἐξ ἀνδρῶν ψόγος
ψάλλει κενὸν τόξευμα καὶ κακῶς λέγει·
αἳ δ' εἴσ' ἀμείνους ἀρσένων, ἐγὼ λέγω.

Vita Eur. in Westerm. Βιογρ. p. 136, 73: ἐν γοῦν τῇ Μελανίππῃ περὶ αὐτῶν τάδε φησί 'μάτην — λέγω' καὶ τὰ ἑξῆς. vs. 2 verba καὶ κακῶς λέγει interpolatori tribuit Herwerdenus. vs. 3 ἐμῷ λόγῳ Fritzschius, malim ᾗ ἐγὼ λέγω.

## 502

ὅστις δ' ἄμικτον πατέρ' ἔχει νεανίας
στυγνόν τ' ἐν οἴκοις, μεγάλα κέκτηται κακά.

Stob. Flor. 83, 3: Εὐριπίδου Μελανίππῃ. 'ὅστις — κακά'.

503

*γάμους δ' ὅσοι σπεύδουσι μὴ πεπρωμένους,*
*μάτην πονοῦσιν· ἡ δὲ τῷ χρεὼν πόσει*
*μένουσα κἀσπούδαστος ἦλθεν εἰς δόμους.*

Stob. Flor. 70, 1: *Εὐριπίδου Μελανίππης.* '*γάμους — δόμους*'. vs. 1 *ὅσαι* Bergkius.

504

*ὅσοι γαμοῦσι δ' ἢ γένει κρείσσους γάμους*
*ἢ πολλὰ χρήματ', οὐκ ἐπίστανται γαμεῖν·*
*τὰ τῆς γυναικὸς γὰρ κρατοῦντ' ἐν δώμασι*
*δουλοῖ τὸν ἄνδρα, κοὐκέτ' ἔστ' ἐλεύθερος.*
*πλοῦτος δ' ἐπακτὸς ἐκ γυναικείων γάμων*
*ἀνόνητος· αἱ γὰρ διαλύσεις οὐ ῥᾴδιαι.*

Stob. Flor. 70, 4: *τοῦ αὐτοῦ Μελανίππῃ.* '*ὅσοι — ῥᾴδιαι*'.

505

*μετρίων λέκτρων, μετρίων δὲ γάμων*
*μετὰ σωφροσύνης*
*κῦρσαι θνητοῖσιν ἄριστον.*

Stob. Flor. 72, 13: *τοῦ αὐτοῦ Μελανίππης.* '*μετρίων — ἄριστον*'. vs. 1 *δὲ*] *γε* M, *τε* scripserim.

506

*ὦ τέκνον, ἀνθρώποισιν ἔστιν οἷς βίος*
*ὁ μικρὸς εὔκρας ἐγένεθ', οἷς δ' ὄγκος κακόν.*

Stob. Flor. 94, 1: *Εὐριπίδου Μελανίππῃ.* '*ὦ — κακόν*'.

507

*τὰ τυγχάνοντα δ' ὅστις εὖ φέρει βροτῶν,*
*σοφὸν νομίζω σωφρονεῖν τ' ἐμοὶ δοκεῖ.*

Stob. Flor. 108, 24: *Εὐριπίδου Μελανίππης.* '*τὰ — δοκεῖ*'. eosdem versus affert Plut. Mor. p. 116 F. vs. 1

τυγχάνοντα] προσπεσόντα Plut. vs. 2 σοφὸν νομίζω] ἄριστος εἶναι Plut.

508

*δοκεῖτε πηδᾶν τἀδικήματ' εἰς θεοὺς*
*πτεροῖσι, κἄπειτ' ἐν Διὸς δέλτου πτυχαῖς*
*γράφειν τιν' αὐτά, Ζῆνα δ' εἰσορῶντά νιν*
*θνητοῖς δικάζειν; οὐδ' ὁ πᾶς ἂν οὐρανὸς*
*Διὸς γράφοντος τὰς βροτῶν ἁμαρτίας*
*ἐξαρκέσειεν οὐδ' ἐκεῖνος ἂν σκοπῶν*
*πέμπειν ἑκάστῳ ζημίαν· ἀλλ' ἡ Δίκη*
*ἐνταῦθά ποὖστιν ἐγγύς, εἰ βούλεσθ' ὁρᾶν.*

Stob. Ecl. 1, 3, 14 p. 108: *Εὐριπίδης Μελανίππῃ.* ‘*δοκεῖτε — ὁρᾶν*’. vs. 5 spurium iudicat Herwerdenus. vs. 7 *πέμπων θ'* Herwerdenus. quae subicit Stobaeus, *λύπας μὲν ἀνθρώποισιν κτέ.*, cum h. l. non cohaerere vidit Grotius.

509

*οὐκ ἔστι πράσσοντάς τι μοχθηρὸν λαθεῖν·*
*ὀξὺ βλέπει γὰρ ὁ χρόνος, ὃς τὰ πάνθ' ὁρᾷ.*

Stob. Ecl. 1, 8, 19 p. 232: *Εὐριπίδου Μελανίππῃ* (*πηνελόπ* ante Musgr., *Ἀλόπῃ* coniecit Conington). ‘*οὐκ — ὁρᾷ*’.

510

*τί τοὺς θανόντας οὐκ ἐᾷς τεθνηκέναι*
*καὶ τἀκχυθέντα συλλέγεις ἀλγήματα;*

Stob. Flor. 124, 16: *Εὐριπίδου Μελανίππης.* ‘*τί — ἀλγήματα*’.

511

*παλαιὸς αἶνος· ἔργα μὲν νεωτέρων,*
*βουλαὶ δ' ἔχουσι τῶν γεραιτέρων κράτος.*

Stob. Flor. 115, 5: *Εὐριπίδου Μελανίππης.* ‘*παλαιὸς — κράτος*’.

512

*τί δ' ἄλλο; φωνὴ καὶ σκιὰ γέρων ἀνήρ.*

Stob. Flor. 116, 7: *Εὐριπίδου Μελανίππης.* '*τί — ἀνήρ*'.

513

*παπαῖ, νέος καὶ σκαιὸς οἷός ἐστ' ἀνήρ.*

Stob. Flor. 52, 3: *Εὐριπίδου Μελανίππη.* '*παπαί, νέος — ἀνήρ*'.

514

*ἐγὼ μὲν οὖν οὐκ οἶδ' ὅπως σκοπεῖν χρεὼν*
*τὴν εὐγένειαν· τοὺς γὰρ ἀνδρείους φύσιν*
*καὶ τοὺς δικαίους τῶν κενῶν δοξασμάτων,*
*κἂν ὦσι δούλων, εὐγενεστέρους λέγω.*

Stob. Flor. 86, 9: *Εὐριπίδου Μελανίππης.* '*ἐγὼ μὲν — λέγω*'. vs. 1 *οὖν οὐκ οἶδ' ὅπως* Matth., *οὐκ οἶδ' ὅπως δὴ* libri. vs. 2 sq. *τὰς γὰρ ἀνδρείας φύσεις καὶ τὰς δικαίας καὶ κενὰς* Heimsoethius. vs. 4 *εὐγενεστέρας* Heimsoethius.

515

*δοῦλον γὰρ ἐσθλὸν τοὔνομ' οὐ διαφθερεῖ,*
*πολλοὶ δ' ἀμείνους εἰσὶ τῶν ἐλευθέρων.*

Stob. Flor. 62, 38: *Εὐριπίδου Μελανίππης.* '*δοῦλον — ἐλευθέρων*'. vs. 1 legitur in Flor. Monac. 130 p. 277, 4.

516

*ἀργὸς πολίτης κεῖνος, ὡς κακός γ' ἀνήρ.*

Stob. Flor. 30, 11: *Εὐριπίδου Μελανίππη.* '*ἀργὸς — ἀνήρ*'.

517

*ἴσως ἀλάστορ' οὐκ ἐτόλμησε κτανεῖν.*

Erotianus Gloss. Hippocr. p. 46, 5: *ἀλάστορες· Βακχεῖος μὲν ἐν πρώτῳ φονεῖς φησίν, ἐκ τῆς Εὐριπίδου Μελανίππης λέγοντος* '*ἴσως — κτανεῖν*'. *ἴσως* suspectum, *δείσας* coniecit Pflugkius. *ἔσωσ' ἀλάστορ' οὐδ'* Conington.

τυγχάνοντα] προσπεσόντα Plut. vs. 2 σοφὸν νομίζω] ἄριστος εἶναι Plut.

## 508

δοκεῖτε πηδᾶν τἀδικήματ' εἰς θεοὺς
πτεροῖσι, κἄπειτ' ἐν Διὸς δέλτου πτυχαῖς
γράφειν τιν' αὐτά, Ζῆνα δ' εἰσορῶντά νιν
θνητοῖς δικάζειν; οὐδ' ὁ πᾶς ἂν οὐρανὸς
Διὸς γράφοντος τὰς βροτῶν ἁμαρτίας
ἐξαρκέσειεν οὐδ' ἐκεῖνος ἂν σκοπῶν
πέμπειν ἑκάστῳ ζημίαν· ἀλλ' ἡ Δίκη
ἐνταῦθά ποὔστιν ἐγγύς, εἰ βούλεσθ' ὁρᾶν.

Stob. Ecl. 1, 3, 14 p. 108: *Εὐριπίδης Μελανίππῃ.* 'δοκεῖτε — ὁρᾶν'. vs. 5 spurium iudicat Herwerdenus. vs. 7 *πέμπων θ'* Herwerdenus. quae subicit Stobaeus, *λύπας μὲν ἀνθρώποισιν κτέ.*, cum h. l. non cohaerere vidit Grotius.

## 509

οὐκ ἔστι πράσσοντάς τι μοχθηρὸν λαθεῖν·
ὀξὺ βλέπει γὰρ ὁ χρόνος, ὃς τὰ πάνθ' ὁρᾷ.

Stob. Ecl. 1, 8, 19 p. 232: *Εὐριπίδου Μελανίππῃ* (*πηνελόπ* ante Musgr., *'Αλόπῃ* coniecit Conington). 'οὐκ — ὁρᾷ'.

## 510

τί τοὺς θανόντας οὐκ ἐᾷς τεθνηκέναι
καὶ τἀκχυθέντα συλλέγεις ἀλγήματα;

Stob. Flor. 124, 16: *Εὐριπίδου Μελανίππης.* 'τί — ἀλγήματα'.

## 511

παλαιὸς αἶνος· ἔργα μὲν νεωτέρων,
βουλαὶ δ' ἔχουσι τῶν γεραιτέρων κράτος.

Stob. Flor. 115, 5: *Εὐριπίδου Μελανίππης.* 'παλαιὸς — κράτος'.

θύων ἀπαρχάς

Ar. Ran. 1238: ΕΥΡ. — Οἰνεύς ποτ' ἐκ γῆς ΑΙΣΧ. ληκύθιον ἀπώλεσεν. ΕΥΡ. ἔασον εἰπεῖν πρῶθ' ὅλον με τὸν στίχον. ʻ Οἰνεύς — ἀπαρχάς' ΑΙΣΧ. ληκύθιον ἀπώλεσεν. Scholia v. 1238: Οἰνεύς ποτ' ἐκ γῆς. ἔστι μὲν ἐκ Μελεάγρου μετὰ ἱκανὰ τῆς ἀρχῆς. ἡ δὲ ἀρχὴ τοῦ δράματος ʻ Καλυδὼν — χθονός' (fr. 519). vs. 2 cf. Schol. Il. *I*, 535 in Anecd. Paris. vol. 3 p. 240, 12 (Eust. Il. p. 770, 21): Οἰνεὺς ἀπαρχὰς θύων κατὰ Εὐριπίδην. Apollod. 1, 8, 2: τὰς ἀπαρχὰς Οἰνεὺς θεοῖς πᾶσι θύων.

521

Μελέαγρε, μελέαν γάρ ποτ' ἀγρεύεις ἄγραν

Etym. M. p. 576, 30: Μελέαγρος· ἐτυμολογεῖ Εὐριπίδης ʻ Μελέαγρε — ἄγραν'. cf. Proculus in Plat. Cratyl. c. 83 p. 43 (Anecd. Bekk. p. 1163): ἵνα μὴ τὸν Μελέαγρον ὥσπερ Εὐριπίδης κακῶς ἐτυμολογήσῃ διὰ τὴν μελέαν ἄγραν. ἀγρεύσεις Valckenarius.

522

καὶ κτῆμα δ', ὦ τεκοῦσα, κάλλιστον τόδε,
πλούτου δὲ κρεῖσσον· τοῦ μὲν ὠκεῖα πτέρυξ,
παῖδες δὲ χρηστοί, κἂν θάνωσι, δώμασι
καλόν τι θησαύρισμα τοῖς τεκοῦσί τε
ἀνάθημα βιότου κοὔποτ' ἐκλείπει δόμους.

Stob. Flor. 75, 2. Meleagri sunt verba sicut fr. 523 et 524.

523

δειλοὶ γὰρ ἄνδρες οὐκ ἔχουσιν ἐν μάχῃ
ἀριθμόν, ἀλλ' ἄπεισι κἂν παρῶσ' ὅμως.

Stob. Flor. 8, 3.

524

ἡγησάμην οὖν, εἰ παραζεύξειέ τις
χρηστῷ πονηρὸν λέκτρον, οὐκ ἂν εὐτεκνεῖν,

*ἐσθλοῖν δ' ἀπ' ἀμφοῖν ἐσθλὸν ἂν φῦναι γόνον.*

Stob. Flor. 72, 12.

525

*ἔνδον μένουσαν τὴν γυναῖκ' εἶναι χρεὼν*
*ἐσθλήν, θύρασι δ' ἀξίαν τοῦ μηδενός.*

Stob. Flor. 74, 12. vs. 1 *εἶναι δόκει* Herwerdenus, *εἰπεῖν χρεὼν* Heimsoethius.

526

*εἰ κερκίδων μὲν ἀνδράσιν μέλοι πόνος,*
*γυναιξὶ δ' ὅπλων ἐμπέσοιεν ἡδοναί·*
*ἐκ τῆς ἐπιστήμης γὰρ ἐκπεπτωκότες*
*κεῖνοί τ' ἂν οὐδὲν εἶεν οὐδ' ἡμεῖς ἔτι.*

Stob. Flor. 73, 29. Welcker ante vs. 1 haec verba collocat *πῶς οὖν ἔτ' ἂν γένοιτ' ἂν εὔτακτος πόλις* desumpta ex Ar. Av. 829: similis sententia praecessisse videtur, sed Aristophanem suspicor Sophoclis fr. 618, 1 aut Eur. Suppl. 447 expressisse.

527

*κερκίδος ἀοιδοῦ μελέτας*

Ar. Ran. 1316: *ἱστότονα πηνίσματα, κερκίδος ἀοιδοῦ μελέτας.* ubi Schol. v. 1315: *τὸ δὲ κερκίδος ἐκ Μελεάγρου Εὐριπίδου.* Schol. cod. Ven. v. 1316: *καὶ ταῦτα Εὐριπίδου.* Fritzschius haec Euripidi tribuit: *αἵ θ' ὑπωρόφιοι κατ' οἴ-|κους εἱλίσσετε δακτύλοις | ἱστότονα πηνίσματα, | κερκίδος ἀοιδοῦ μελέτας.*

528

*ἡ γὰρ Κύπρις πέφυκε τῷ σκότῳ φίλη,*
*τὸ φῶς δ' ἀνάγκην προστίθησι σωφρονεῖν.*

Stob. Flor. 64, 10.

529

*εἰ δ' εἰς γάμους ἔλθοιμ', ὃ μὴ τύχοι, ποτέ,*
*ἐν δόμοισιν ἡμερευουσῶν ἀεὶ*

*βελτίον' ἂν τέκοιμι δώμασιν τέκνα·*
*ἐκ γὰρ πατρὸς καὶ μητρὸς ὅστις ἐκπονεῖ*
*σκληρὰς διαίτας οἱ γόνοι βελτίονες.*

Stob. Flor. 70, 6. vs. 4 et 5 habent Ioh. Damasc. post Stob. Ecl. Gaisf. p. 727, 22 et Clemens Alex. Strom. VI p. 741. vs. 4 *ὅστις ἐκπονεῖ*] *ἐκπονουμένων* Clemens. Atalantae haec verba videntur sicut fr. 530 et 531.

530

*τό τοι κράτιστον, κἂν γονῇ κακός τις ᾖ,*
*τοῦτ' ἔστιν ἀρετή· τὸ δ' ὄνομ' οὐ διαφέρει.*

Orion Flor. 7, 1 p. 259, 15. vs. 1 *γονῇ* Conington, *γυνὴ* cod. *κακός τις ᾖ* Th. Gomperzius, *κράτι . . ἡ* cod. vs. 2 *οὐ διαφθερεῖ* Conington.

531

*μόνον δ' ἂν ἀντὶ χρημάτων οὐκ ἂν λάβοις*
*γενναιότητα κἀρετήν· καλὸς δέ τις*
*κἂν ἐκ πενήτων σωμάτων γένοιτο παῖς.*

Stob. Flor. 87, 5. vs. 3 *πενήτων* F. G. Schmidtius, *πονηρῶν* libri.

532

*μισῶ γυναῖκα πᾶσαν, ἐκ πασῶν δὲ σέ,*
*ἥτις πονηρὰ τἄργ' ἔχουσ' εἶτ' εὖ λέγεις.*

Stob. Flor. 73, 31.

533

*ὡς ἡδὺ δούλοις δεσπότας χρηστοὺς λαβεῖν*
*καὶ δεσπόταισι δοῦλον εὐμενῆ δόμοις.*

Stob. Flor. 62, 3. vs. 1 in Men. mon. 556 sic scribitur: *ὡς ἡδὺ δούλῳ δεσπότου χρηστοῦ τυχεῖν.*

534

*Τελαμὼν δὲ χρυσοῦν αἰετὸν πέλτης ἔπι*
*πρόβλημα θηρός, βότρυσι δ' ἔστεψεν κάρα,*

*Σαλαμῖνα κοσμῶν πατρίδα τὴν εὐάμπελον.*
*Κύπριδος δὲ μῖσημ᾽, Ἀρκὰς Ἀταλάντη, κύνας*
*καὶ τόξ᾽ ἔχουσα, πελέκεως δὲ δίστομον*
*γένυν ἔπαλλ᾽ Ἀγκαῖος· οἱ δὲ Θεστίου*
*παῖδες τὸ λαιὸν ἴχνος ἀνάρβυλοι ποδός,*
*τὸ δ᾽ ἐν πεδίλοις, ὡς ἐλαφρίζον γόνυ*
*ἔχοιεν, ὃς δὴ πᾶσιν Αἰτωλοῖς νόμος.*

Macrobius Sat. 5, 18, 17: *morem vero Aetolis fuisse uno tantummodo pede calceato in bellum ire ostendit clarissimus scriptor Euripides tragicus, in cuius tragoedia quae Meleager inscribitur, nuntius inducitur describens quo quisque habitu fuerit ex ducibus qui ad aprum capiendum convenerant. in eo hi versus sunt:* 'Τελαμὼν — νόμος'. §18: *animadvertitis diligentissime verba Euripidis a Marone servata; ait enim ille* 'τὸ λαιὸν — ποδός' (vs. 7). mox § 20: *ipsa Aristotelis verba ponam ex libro quem de poetis secundum scripsit, in quo de Euripide loquens sic ait:* τοὺς δὲ Θεστίου κόρους τὸν μὲν ἀριστερὸν πόδα φησὶν Εὐριπίδης ἐλθεῖν ἔχοντας ἀνυπόδετον· λέγει γοῦν ὅτι τὸ λαιὸν ἴχνος ἦσαν ἀνάρβυλοι ποδός, τὸ δ᾽ ἐν πεδίλοις, ὡς ἐλαφρίζον γόνυ ἔχοιεν. vs. 7 παῖδες] κόροι in Aristotelis loco. vs. 9 πᾶσιν] τοῖσιν scribendum suspicor.

535

*σιδηροβριθές τ᾽ ἔλαβε δεξιᾷ ξύλον*

Ar. Ran. 1402: ΕΥΡ. 'σιδηροβριθές — ξύλον'. ubi Schol. cod. Rav.: ἐκ Μελεάγρου Εὐριπίδου.

536

*τοὺς ζῶντας εὖ δρᾶν· κατθανὼν δὲ πᾶς ἀνὴρ*
*γῆ καὶ σκιά· τὸ μηδὲν εἰς οὐδὲν ῥέπει.*

Stob. Flor. 98, 4 et 121, 25. vs. 2 ῥέπει] βλέπει Flor. 98.

537

*τερπνὸν τὸ φῶς τόδ᾽· ὁ δ᾽ ὑπὸ γῆν Ἅιδου σκότος*
*οὐδ᾽ εἰς ὄνειρον ἡδὺς ἀνθρώποις μολεῖν.*

ἐγὼ μὲν οὖν γεγῶσα τηλικήδ' ὅμως
ἀπέπτυσ' αὐτὸ κοὔποτ' εὔχομαι θανεῖν.

Stob. Flor. 119, 9. vs. 1 ὑπὸ γῆς Osannus. vs. 4 αὐτὸν expectes.

538

τὸ μὲν γὰρ ἐν φῶ, τὸ δὲ κατὰ σκότος κακόν.

Etym. M. p. 803, 45: φῶ· ἀντὶ τοῦ φωτί, σὺν τῷ Ι Εὐριπίδης ἐν Μελεάγρῳ 'τὸ μὲν — κακόν'. verba τὸ δὲ — κακόν nondum sunt emendata.

539

ὁρᾷς σὺ νῦν δή μ' ὡς ἐπράυνας, τύχη;

Phot. Lex. v. νῦν δή p. 305, 15 et Suid. v. νῦν δή: καὶ Εὐριπίδης — ἐν Μελεάγρῳ 'ὁρᾷς — τύχη'.

540

φεῦ, τὰ τῶν εὐδαιμονούντων ὡς ταχὺ στρέφει θεός.

Stob. Flor. 105, 46. ταχὺ Meinekius, τάχιστα libri.

541

εἰς ἀνδροβρῶτας ἡδονὰς ἀφίξεται
κάρηνα πυρσαῖς γέννσι Μελανίππου σπάσας.

Schol. Pind. Nem. 10, 12: (Tydeus) ἀπεγεύσατο τῶν Μελανιππείων κρεῶν, ὡς καὶ Εὐριπίδης ἐν τῷ Μελεάγρῳ φησὶν 'εἰς — σπάσας'.

542

ἀντήλιοι θεοί

Hesych.: ἀντήλιοι θεοί· οἱ πρὸ τῶν πυλῶν ἱδρυμένοι. Εὐριπίδης Μελεάγρῳ.

543

καθωσίωσε

Hesych.: καθωσίωσε· κατέθυσεν. Εὐριπίδης Μελεάγρῳ.

ΜΥΣΟΙ (?)

Philodemus de piet. p. 22 ed. Gomp.: [*Εὐριπί*]*δης δ' ἐν Μυ*[*σοῖς καὶ*] *τὸν Δία καὶ* [*οὐρανὸ*]*ν ἡλιωπόν* (*λέγει*). ita lacunosum locum restitui voluit Th. Gomperzius. Philodemum in nomine fabulae errasse Diudorfius suspicatur.

ΟΙΔΙΠΟΥΣ

Iohannes Mal. p. 53, 12: *ὁ γὰρ σοφώτατος Εὐριπίδης ποιητικῶς ἐξέθετο δρᾶμα περὶ τοῦ Οἰδίποδος καὶ τῆς Ἰοκάστης καὶ τῆς Σφιγγός.* summam argumenti omnes norunt, quid novarit Euripides et quam dispositionem instituerit parum constat. Vnger huic fabulae vindicandum suspicatur Soph. fr. 663, Meinekius adesp. fr. 107 et 309, alii adesp. fr. 6.

544

*οὐρὰν ὑπίλασ' ὑπὸ λεοντόπουν βάσιν*
*καθέζετο*

Aelianus N. A. 12, 7: *τοῦτό τοι καὶ Εὐριπίδης ὑπαινίττεται λέγων 'οὐρὰν — καθέζετο'.* Erotianus Gloss. Hippocr. p. 130, 7: *ὑπείλλει· ὑποστρέφει, ὡς καὶ Εὐριπίδης ἐν Οἰδίποδι φησίν 'οὐρὰν — βάσιν'.* Ath. XV p. 701 B: *καὶ ταῦτ' εἰπὼν 'οὐρὰν — ὑπὸ βάσιν' ὑπεξῆλθε τοῦ συμποσίου.* vs. 1 *οὐρὰν δ'* Ael.

545

*ἡμεῖς δὲ Πολύβου παῖδ' ἐρείσαντες πέδῳ*
*ἐξομματοῦμεν καὶ διόλλυμεν κόρας.*

Schol. Eur. Phoen. 61: *ἐν δὲ τῷ Οἰδίποδι οἱ Λαΐου θεράποντες ἐτύφλωσαν αὐτόν* (Oedipum)· *'ἡμεῖς — κόρας'.*

546

*οὔτοι νόμισμα λευκὸς ἄργυρος μόνον*
*καὶ χρυσός ἐστιν, ἀλλὰ χᾀρετὴ βροτοῖς*
*νόμισμα κεῖται πᾶσιν, ᾗ χρῆσθαι χρεών.*

Stob. Flor. 1, 3: *Εὐριπίδου Οἰδίποδος. 'οὔτοι — χρεών'.* eosdem versus habet Orion Flor. Eurip. 20 p. 266,

18. vs. 1 et 2 Philodemus de rhetor. p. 237 Gr. (Herc. vol. V, 1 col. 27): ἄξιον Εὐριπίδῃ λέγοντι πιστεύειν 'οὔτοι — μόνον, ἀλλὰ καὶ ἀρετὴ βροτοῖς'. item Clemens Alex. Strom. IV p. 575: οὔκουν μόνον τοῦτο νόμισμα λευκὸς ἄργυρος ἢ χρυσός ἐστιν, ἀλλὰ καὶ ἡ ἀρετὴ βροτοῖς, ὥς φησιν ο Σοφοκλῆς. vs. 3 ἣν κτᾶσθαι malim, sed fortasse ipse versus ab Euripide alienus est.

## 547

μεγάλη τυραννὶς ἀνδρὶ τέκνα καὶ γυνή·
ἴσην γὰρ ἀνδρὶ συμφορὰν εἶναι λέγω
τέκνων θ' ἁμαρτεῖν καὶ πάτρας καὶ χρημάτων
ἀλόχου τε κεδνῆς, ὡς μόνον τῶν χρημάτων
ἢ κρεῖσσόν ἐστιν ἀνδρί, σώφρον' ἣν λάβῃ.

Stob. Flor. 67, 1. vs. 1 legitur in Men. mon. 363, ubi τελοῦσα pro τέκνα scriptum est. τυραννίς] τύχη τις Meinekius. vs. 2 ἀνδρὶ] οὐχὶ O. Hense. vs. 4 χρημάτων] κτημάτων G. Hermannus. post versum 4 complura intercidisse coniecit Meinekius. vs. 5 κρεῖσσον τόδ' ἐστὶν (deleto ἢ) Fixius, κράτιστόν ἐστιν Musgravius, γυνή ἐστι κρεῖσσον Dobraeus.

## 548

ἄλλων δὲ πάντων δυσμαχώτατον γυνή.

Stob. Flor. 73, 5. ἄλλως ed., ἄλλων M, κακῶν exspectabam.

## 549

πᾶσα γὰρ δούλη πέφυκεν ἀνδρὸς ἡ σώφρων γυνή·
ἡ δὲ μὴ σώφρων ἀνοίᾳ τὸν ξυνόνθ' ὑπερφρονεῖ.

Stob. Flor. 69, 18: Εὐριπίδου Οἰδίποδι. 'πᾶσα — ὑπερφρονεῖ'. Clemens Alex. Strom. IV p. 592: πῶς οὐ μάτην Εὐριπίδης γράφει; ποτὲ μὲν 'πᾶσα γὰρ ἀνδρὸς — εὐδοκιμοῦσαν' (fr. 550), ποτὲ δὲ 'πᾶσα γαρ δούλη — ὑπερφέρει'. vs. 1 Stob. Flor. 67, 2. vs. 2 ὑπερφέρει Clemens. C. Fr. Hermannus huc refert Eur. fr. 901.

550

*πᾶσα γὰρ ἀνδρὸς κακίων ἄλοχος,*
*κἂν ὁ κάκιστος*
*γήμῃ τὴν εὐδοκιμοῦσαν.*

Clemens Alex. Strom. IV p. 592 (v. fr. 549). Stob. Flor. 73, 28: *Εὐριπίδου Οἰδίπους.* '*κακίων ἄλοχος — εὐδοκιμοῦσαν*'. vs. 1 *κακίων* vitiosum, *χείρων* nescio quis apud Markland. in Eur. Suppl. p. 189 ed. Lips., ego *μείων* malim. vs. 2 *κράτιστος* Clem.

551

*ἑνὸς δ' ἔρωτος ὄντος οὐ μί' ἡδονή·*
*οἱ μὲν κακῶν ἐρῶσιν, οἱ δὲ τῶν καλῶν.*

Stob. Ecl. 1, 9, 2 p. 270. dirimenda sunt ab hoc loco quae accedunt, *ὁ δ' εἰς τὸ σῶφρον κτἑ.* (v. fr. 671).

552

*νοῦν χρὴ θεᾶσθαι, νοῦν· τί τῆς εὐμορφίας*
*ὄφελος, ὅταν τις μὴ φρένας καλὰς ἔχῃ;*

Stob. Flor. 66, 1.

553

*ἀλλ' ἦμαρ ἕν τοι μεταβολὰς πολλὰς ἔχει.*

Stob. Flor. 105, 45: *ἐν τῷ αὐτῷ* (sc. Eur. Oedip.). '*ἀλλ' — ἔχει*'. cf. Chaerem. fr. 20: *τὸ τῆς τύχης τοι μεταβολὰς πολλὰς ἔχει.*

554

*ἐκ τῶν ἀέλπτων ἡ χάρις μείζων βροτοῖς*
*φανεῖσα μᾶλλον ἢ τὸ προσδοκώμενον.*

Stob. Flor. 111, 5. vs. 2 aut spurius aut corruptus.

555

*φθόνος δ' ὁ πολλῶν φρένα διαφθείρων βροτῶν*
*ἀπώλεσ' αὐτὸν κἀμὲ συνδιώλεσεν.*

Stob. Flor. 38, 9.

556

*πότερα γενέσθαι δῆτα χρησιμώτερον*
*συνετὸν ἄτολμον ἢ θρασύν τε κἀμαθῆ;*
*τὸ μὲν γὰρ αὐτῶν σκαιόν, ἀλλ' ἀμύνεται,*
*τὸ δ' ἡσυχαῖον ἀργόν· ἐν δ' ἀμφοῖν νόσος.*

Stob. Flor. 7, 10. vs. 2 *κἀμαθῆ* Grotius, *κἐμμανῆ* libri.

557

*ἐκμαρτυρεῖν γὰρ ἄνδρα τὰς αὑτοῦ τύχας*
*εἰς πάντας ἀμαθές, τὸ δ' ἐπικρύπτεσθαι σοφόν.*

Stob. Flor. 109, 6.

558

*πολλάς γ' ὁ δαίμων τοῦ βίου μεταστάσεις*
*ἔδωκεν ἡμῖν μεταβολάς τε τῆς τύχης.*

Stob. Flor. 105, 44. vs. 1 *καταστάσεις* Lud. a Sybel.

559

*ὁρῶ γὰρ χρόνῳ*
*δίκαν πάντ' ἄγουσαν εἰς φῶς βροτοῖς.*

Stob. Ecl. 1, 3, 3 p. 104. vs. 2 *δίκαν* A, *δίκην* al.

560

*ἀηδόνα*

Hesych.: *ἀηδόνα· γλωσσίδα, μεταφορικῶς. Εὐριπίδης Οἰδίποδι.* cf. fr. 923.

561

*ἄναρθρος*

Hesych.: *ἄναρθρος· ἄτονος, ἀσθενής. Εὐριπίδης Οἰδίποδι.*

## ΟΙΝΕΥΣ

Fabulam ante olymp. 88, 3 actam esse docet Ar. Ach. 418: ΕΥΡ. *τὰ ποῖα τρύχη; μῶν ἐν οἷς Οἰνεὺς ὁδὶ ὁ δύσποτμος γεραιὸς ἠγωνίζετο*; ubi Schol.: *γέγραπται τῷ Εὐριπίδῃ δρᾶμα Οἰνεύς. μετὰ δὲ τὸν θάνατον Τυδέως καὶ ἐπιστρα-*

*τετῶν Διομήδους κατὰ Θηβαίων ἀφῃρέθη τὴν βασιλείαν Οἰνεὺς διὰ τὸ γῆρας ὑπὸ τῶν Ἀγρίου παίδων καὶ περιῄει ταπεινός, ἕως οὗ ἐπανελθὼν ὁ Διομήδης Ἄγριον μὲν ἀνεῖλε, τὴν βασιλείαν δὲ Οἰνεῖ ἀπέδωκε.* cf. Hyginus fab. 175 et Apollodorus 1. 8. 6. libri inter *Οἰνεῖ* et *Ἰνοῖ* passim fluctuant fr. 405 408 411 417 419, cf. fr. 426).

## 562

ΔΙΟΜ. *Ὦ γῆς πατρῴας χαῖρε φίλτατον πέδον*
*Καλυδῶνος, ἔνθεν αἷμα συγγενὲς φυγὼν*
*Τυδεύς, τόκος μὲν Οἰνέως, πατὴρ δ' ἐμός,*
*ᾤκησεν Ἄργος, παῖδα δ' Ἀδράστου λαβὼν*
*συνῆψε γένναν*

Aristot. Rhet. 3, 16 p. 1417 a 15: *ἔτι πεπραγμένα δεῖ λέγειν ὅσα μὴ πραττόμενα ἢ οἶκτον ἢ δείνωσιν φέρει. παράδειγμα δὲ ὁ Ἀλκίνου ἀπόλογος καὶ ὁ ἐν τῷ Οἰνεῖ πρόλογος.* ubi Scholia fol. 77 (vel potius 78) b 19: *ὁ δὲ ἐν τῷ Οἰνεῖ πρόλογος παρὰ τῷ Εὐριπίδῃ ἐστὶ τοιοῦτος 'ὦ γῆς — γένναν'.* verba sunt Diomedis, item fr. 563. cum vs. 2 cf. Eur. Suppl. 148. vs. 5 *συνῆψε κῆδος* Valck.

## 563

*ἐγὼ δὲ πατρὸς αἷμ' ἐτιμωρησάμην*
*σὺν τοῖς ἐφηβήσασι καὶ τῶν ὀλωλότων*

Erotianus Gloss. Hippocr. p. 125, 9: *τιμωρέουσα· βοηθοῦσα, ὡς καὶ Εὐριπίδης ἐν Οἰνεῖ φησίν 'ἐγὼ δὲ — ὀλωλότων'.* vs. 2 *ἐφηβήσασι*] *ἐφ' ἥβης παισὶ* Madwig. *καὶ* deleri iussit Grotius. *παισὶν* post *ὀλωλότων* lectum fuisse coniecit Hermannus.

## 564

*ἀλλ' ἄλλος ἄλλοις μᾶλλον ἥδεται τρόποις.*

Clemens Alex. Strom. VI p. 739: *Εὐριπίδης ἐν τῷ Οἰνεῖ φησίν 'ἀλλ' — τρόποις'.*

## 565

. . . . . *σὺ δὲ τρέφοντά νιν τρέφεις;*

Philostr. Heroic. p. 285, 12: *νυνὶ δέ μοι ἐκεῖνο εἰπέ· οἰκεῖα γεωργεῖς ταῦτα, ἢ δεσπότης μὲν αὐτῶν ἕτερος, σὺ δὲ τρέφοντα τοῦτον τρέφεις, ὥσπερ τὸν τοῦ Εὐριπίδου Οἰνέα.*

566

*πυκνοῖς δ' ἔβαλλον Βακχίου τοξεύμασι*
*κάρα γέροντος· τὸν βαλόντα δὲ στέφειν*
*ἐγὼ τετάγμην, ἆθλα κοσσάβων διδούς.*

Ath. XV p. 666 C: *κότταβος δ' ἐκαλεῖτο καὶ τὸ τιθέμενον ἆθλον τοῖς νικῶσιν ἐν τῷ πότῳ, ὡς Εὐριπίδης παρίστησιν ἐν Οἰνεῖ λέγων οὕτως 'πυκνοῖς — διδούς'.*

567

*σχολὴ μὲν οὐχί, τῷ δὲ δυστυχοῦντί πως*
*τερπνὸν τὸ λέξαι κἀποκλαύσασθαι πάλιν.*

Stob. Flor. 113, 1. cf. Galenus vol. 5 p. 423 (vol. 1 p. 284 ed. Basil., vol. 5 p. 153 Chart.): *λέγεται δὲ καὶ τοιαῦτα — εἰς τὸ κατὰ τὴν λύπην ἀγωγόν 'τοῖς δὲ δυστυχοῦσί πως τερπνὸν τὸ κλαῦσαι κἀποδύρασθαι τύχας'.* Galenum aberrasse ad Aesch. Prom. 637: *ὡς τἀποκλαῦσαι κἀποδύρασθαι τύχας*, vidit Huschkius. vs. 2 *πάλιν* suspectum.

568

*ὅταν κακοὶ πράξωσιν, ὦ ξένοι, καλῶς,*
*ἄγαν κρατοῦντες κοὐ νομίζοντες δίκην*
*δώσειν ἔδρασαν πάντ' ἐφέντες ἡδονῇ.*

Stob. Flor. 106, 3. verba sunt Oenei.

569

ΔΙΟΜ. *σὺ δ' ὧδ' ἔρημος ξυμμάχων ἀπόλλυσαι;*
ΟΙΝ. *οἳ μὲν γὰρ οὐκέτ' εἰσίν, οἱ δ' ὄντες κακοί.*

Ar. Ran. 72: *δέομαι ποιητοῦ δεξιοῦ· 'οἳ μὲν — κακοί'* (vs. 2). ubi Schol.: *Εὐριπίδου ἐξ Οἰνέως 'σὺ δ' ὧδ' — κακοί'.* Diomedis priorem esse versum, alterum Oenei, vidit Grotius. vs. 2 habet Greg. Cypr. 3, 22 a, imitatus videtur

Rhinthon ap. Cic. ad. Att. 1, 20, 3: *nam ut ait Rhinthon, ut opinor, οἳ μὲν παρ' οὐδέν εἰσι, τοῖς δ' οὐδὲν μέλει.*

570

*ὡς οὐδὲν ἀνδρὶ πιστὸν ἄλλο πλὴν τέκνων·*
*κέρδους δ' ἕκατι καὶ τὸ συγγενὲς νοσεῖ.*

Stob. Flor. 75, 3. priorem versum Diomedi, alterum Oeneo tribuit Herwerdenus.

571

*τὰς βροτῶν*
*γνώμας σκοπῶν ὥστε Μαγνῆτις λίθος*
*τὴν δόξαν ἕλκει καὶ μεθίστησιν πάλιν.*

Phot. Lex. p. 73, 12 et Suid. v. *Ἡρακλείαν λίθον: ἡ δὲ Μαγνῆτις ἀργύρῳ ὁμοία ἐστίν, ὡς Εὐριπίδης Οἰνεῖ* (*ὡς εὕροι νῦν* Phot.) '*τὰς — πάλιν*'. vs. 2 *σκοπῶν*] fort. *δοκεύων* legendum. respicit Plat. Ion. p. 533 D: *ὥσπερ ἐν τῇ λίθῳ, ἣν Εὐριπίδης μὲν Μαγνῆτιν ὠνόμασεν, οἱ δὲ πολλοὶ Ἡρακλείαν.*

572

Ar. Ach. 472: *καὶ γάρ εἰμ' ἄγαν ὀχληρός, οὐ δοκῶν με* (*γε* cod. Rav.) *κοιράνους στυγεῖν.* ubi Schol.: *ὀχληρός, οὐ δοκῶν μὲν κοιράνους] τοῦτο πεπαρῴδηται ἀσήμως ἐξ Οἰνέως Εὐριπίδου. ὁ δὲ Σύμμαχος καὶ ἐκ Τηλέφου φησὶν αὐτό.*

573

*ἀθράνευτον*

Hesych.: *ἀθράνευτον· ἄστρατον. Εὐριπίδης Οἰνεῖ.*

574

*ἀκρίζων*

Hesych.: *ἀκρίζων· ἄκροις ποσὶν ἐπιπορευόμενος. Εὐριπίδης Οἰνεῖ.*

ΟΙΝΟΜΑΟΣ

Argum. Eur. Phoen.: *ἐπὶ Ναυσικράτους ἄρχοντος δεύτερος Εὐριπίδης καθῆκε διδασκαλίαν περὶ τούτου καὶ γὰρ*

*ταῦτα ὁ Οἰνόμαος καὶ Χρύσιππος καὶ σώζεται.* quibus verbis quamvis truncatis hoc certe docemur, Oenomaum una cum Chrysippo et Phoenissis actam esse; Nausicrates archon ignotus. de mytho vide Hygin. fab. 84 Schol. Il. B, 104 al.

575

*ἀμηχανῶ δ' ἔγωγε κοὐκ ἔχω μαθεῖν,*
*εἴτ' οὖν ἄμεινόν ἐστι γίγνεσθαι τέκνα*
*θνητοῖσιν, εἴτ' ἄπαιδα καρποῦσθαι βίον.*
*ὁρῶ γὰρ οἷς μὲν οὐκ ἔφυσαν, ἀθλίους·*
*ὅσοισι δ' εἰσίν, οὐδὲν εὐτυχεστέρους.*
*καὶ γὰρ κακοὶ γεγῶτες ἐχθίστη νόσος,*
*κἂν αὖ γένωνται σώφρονες, κακὸν μέγα,*
*λυποῦσι τὸν φύσαντα μὴ πάθωσί τι.*

Stob. Flor. 76, 2. vs. 6 *ἐσχάτη* malim.

576

*ἓν ἐστι πάντων πρῶτον εἰδέναι τουτί,*
*φέρειν τὰ συμπίπτοντα μὴ παλιγκότως·*
*χοὖτός γ' ἀνὴρ ἄριστος αἵ τε συμφοραὶ*
*ἧσσον δάκνουσιν. ἀλλὰ ταῦτα γὰρ λέγειν*
*ἐπιστάμεσθα, δρᾶν δ' ἀμηχάνως ἔχει.*

Stob. Flor. 99, 8. vs. 1 *τουτί*] *τόδε* B, suspicabar *βροτῷ*.

577

*ἀλλ' ἔστι γὰρ δὴ κἀν κακοῖσιν ἡδονὴ*
*θνητοῖς ὀδυρμοὶ δακρύων τ' ἐπιρροαί·*
*ἀλγηδόνας δὲ ταῦτα κουφίζει φρενῶν*
*καὶ καρδίας ἔλυσε τοὺς ἄγαν πόνους.*

Stob. Flor. 122, 8. cum vs. 1 cf. Men. mon. 182: *ἔστιν τι κἀν κακοῖσιν ἡδονῆς μέρος.* vs. 2 *θρήνων τ' ὀδυρμοὶ* Burges.

578

*τεκμαιρόμεσθα τοῖς παροῦσι τἀφανῆ.*

Clemens Alex. Strom. VI p. 746: *Εὐριπίδου δὲ ἐν μὲν τῷ Οἰνομάῳ γράφοντος 'τεκμαιρόμεσθα — τἀφανῆ', ἐν δὲ τῷ Φοίνικι κτἑ.* repetiit Theodoretus vol. 4 p. 881. Euripidis versum fortasse respicit Nicephorus Chumnus Epist. 84 in Boiss. Anecd. nov. p. 106: *τὰ μέλλοντα τεκμαιρόμεθα τοῖς παροῦσιν.*

579

*ὅστις δὲ θνητῶν βούλεται δυσώνυμον*
*εἰς γῆρας ἐλθεῖν, οὐ λογίζεται καλῶς·*
*μακρὸς γὰρ αἰὼν μυρίους τίκτει πόνους.*

Stob. Flor. 116, 5. cum vs. 3 cf. adesp. fr. 465: *μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει.*

580

*ὁ πλεῖστα πράσσων πλεῖσθ' ἁμαρτάνει βροτῶν.*

Stob. Flor. 58, 5. cf. adesp. fr. 259: *τὸ πολλὰ τολμᾶν πόλλ' ἁμαρτάνειν ποιεῖ.*

581

*ἐγὼ μὲν εὖτ' ἂν τοὺς κακοὺς ὁρῶ βροτῶν*
*πίπτοντας, εἶναί φημι δαιμόνων γένος.*

Orion Flor. 5, 5 p. 255, 22: *ἐκ τοῦ Οἰνομάου. 'ἐγὼ — γένος'.* Euripidi locum tribuit Schneidewinus.

## ΠΑΛΑΜΗΔΗΣ

Fabulam scenae commissam esse olymp. 91, 1 docet Aelianus V. H. 2, 8, quem locum p. 10 attulimus. argumentum tradere videtur Hyginus fab. 105. Polyaen. I prohoem. § 11: *οἷον δὲ κἀκεῖνο στρατήγημα Ὀδυσσέως οἱ τραγῳδοὶ ᾄδουσι. Παλαμήδην ἐνίκησεν Ὀδυσσεὺς ἐν δικαστηρίῳ τῶν Ἀχαιῶν ὑποβαλὼν αὐτοῦ τῇ σκηνῇ βαρβαρικὸν χρυσίον, καὶ ὁ σοφώτατος τῶν Ἑλλήνων ἐκεῖνος ἥλω προδοσίας.* Xenoph. Mem. 4, 2, 33: *τὰ δὲ Παλαμήδους οὐκ ἀκήκοας πάθη; τοῦτον γὰρ δὴ πάντες ὑμνοῦσιν ὡς διὰ σοφίαν φθονηθεὶς ὑπὸ τοῦ Ὀδυσσέως ἀπώλετο.* Euripideam fabulam respicit Aristophanes, qui Mnesilochum haec dicentem

facit Thesm. 770: *τίν' οὖν ἂν ἄγγελον πέμψαιμ' ἐπ' αὐτόν; οἶδ' ἐγὼ καὶ δὴ πόρον ἐκ τοῦ Παλαμήδους· ὡς ἐκεῖνος τὰς πλάτας ῥίψω γράφων.* et mox 778: *ἄγε δὴ πινάκων ξεστῶν δέλτοι, δέξασθε σμίλης ὁλκούς, κήρυκας ἐμῶν μόχθων.* ubi extrema verba fortasse ex ipso Euripide repetita sunt. rem illustrant Scholia vs. 771 (cf. Suid. v. *Παλαμήδης*): *ὁ γὰρ Εὐριπίδης ἐν τῷ Παλαμήδει ἐποίησε τὸν Οἴακα τὸν ἀδελφὸν Παλαμήδους ἐπιγράψαι εἰς τὰς ναῦς τὸν θάνατον αὐτοῦ, ἵνα φερόμεναι αὗται ἔλθωσιν εἰς τὸν Ναύπλιον τὸν πατέρα αὐτοῦ καὶ ἀπαγγείλωσι τὸν θάνατον αὐτοῦ. ὥσπερ Οἴαξ τῷ Ναυπλίῳ γράφει ἐν τῷ Παλαμήδει Εὐριπίδου. ὁ γὰρ Οἴαξ ἐγχαράττει πολλαῖς πλάταις τὰ περὶ τὸν Παλαμήδην καὶ ἀφίησιν εἰς θάλασσαν, ὥστε μιᾷ γέ τινι τὸν Ναύπλιον προσπεσεῖν.* adde iudicium Aristophanis Thesm. 848: (Euripides) *τὸν Παλαμήδην ψυχρὸν ὄντ' αἰσχύνεται.* versus a Stob. Flor. 9, 21 traditos

*τοῦ γὰρ δικαίου κἂν βροτοῖσι καὶ θεοῖς*
*ἀθάνατος ἀεὶ δόξα διατελεῖ μόνου*

ex hac fabula petitos esse coniecit Meinekius. idem de histrione qui Palamedem *λώπει* indutus inscite egerit intellegit gl. Hesychii: *λωπιστὸς ὁ Παλαμήδης· ἐκ τῆς τῶν ἱματίων ἐπιρίψεως.*

582

*τά τῆς γε λήθης φάρμακ' ὀρθώσας μόνος,*
*ἄφωνα καὶ φωνοῦντα συλλαβάς τε θεὶς*
*ἐξεῦρον ἀνθρώποισι γράμματ' εἰδέναι,*
*ὥστ' οὐ παρόντα ποντίας ὑπὲρ πλακὸς*
*τἀκεῖ κατ' οἴκους πάντ' ἐπίστασθαι καλῶς,*
*παισίν τ' ἀποθνήσκοντα χρημάτων μέτρον*
*γράψαντας εἰπεῖν, τὸν λαβόντα δ' εἰδέναι.*
*ἃ δ' εἰς ἔριν πίπτουσιν ἀνθρώποις κακὰ*
*δέλτος διαιρεῖ, κοὐκ ἐᾷ ψευδῆ λέγειν.*

Stob. Flor. 81, 7. vs. 3 respiciunt Schol. Dionys. Thr. p. 786, 12: *Στησίχορος δὲ Παλαμήδην εὑρετὴν αὐτῶν* (sc. *τῶν γραμμάτων*) *ποιεῖται, ᾧ συμφωνεῖ καὶ Εὐριπίδης.* cf.

Anecd. Oxon. vol. 4 p. 318, 20. vs. 6 *ἀποθνήσκοντα* suspectum. vs. 7 *γράψαντα λείπειν* Scaliger, *γράψαντ' ἐνισπεῖν* Th. Gomperzius. vs. 8 *κακὴν* Heathius. cum hoc loco Hermannus coniungit adesp. fr. 393:

*ἔπειτα πάσης Ἑλλάδος καὶ ξυμμάχων*
*βίον διῴκησ' ὄντα πρὶν πεφυρμένον*
*θηρσίν θ' ὅμοιον. πρῶτα μὲν τὸν πάνσοφον*
*ἀριθμὸν εὕρηκ' ἔξοχον σοφισμάτων,*

quos versus tradidit Stobaeus Ecl. 1, 1, 1 p. 4.

583

*. . πάλαι δή σ' ἐξερωτῆσαι θέλων,*
*σχολή μ' ἀπεῖργε*

Schol. BL Il. *B*, 353: *ἀστράπτων*] *ὅτι ἀκαταλλήλως εἴρηται· ἔδει γὰρ ἀστράπτοντα καὶ φαίνοντα. ὡς καὶ Εὐριπίδης ἐν Παλαμήδει ʻΛάιε πάλαι — ἀπεῖργε'.* fab. nom. om. anonymus *περὶ σχημάτων* in Rhet. vol. 8 p. 660 et Eust. Il. p. 236, 29. vs. 1 *Λάιε πάλαι* Schol. Il., *πάλαι* ceteri, *Λάρτιε πάλαι* Bergkius, *πάλαι πάλαι* temptabam, cf. Rhes. 396 Ar. Av. 921 Eur. Med. 1116.

584

*Ἀγάμεμνον, ἀνθρώποισι πᾶσι χρήματα*
*μορφὴν ἔχουσι, συντρέχει δ' εἰς ἓν τόδε·*
*τούτων δὲ πάντες, οἵ τε μουσικῆς φίλοι*
*ὅσοι τε χωρὶς ζῶσι, χρημάτων ὕπερ*
*μοχθοῦσιν, ὃς δ' ἂν πλεῖστ' ἔχῃ σοφώτατος.*

Stob. Flor. 91, 24. vs. 1 *πᾶσι χρήματα* AM, *πᾶσιν αἱ τύχαι* ceteri. vs. 2 *μομφὴν* Grotius. *εἰς ἓν τόδε* AM, *εἰς χρήματα* ceteri. vs. 3 *τούτου* Vind. *οἵ τε*] *οὔτε* AM. codex M repetit hunc locum post Flor. 91, 29 ibique vs. 1 *πᾶσιν αἱ τύχαι*, vs. 2 *εἰς χρήματα*, vs. 3 *τούτου* praebet. Heimsoethius vs. 1—3 hunc in modum refingi iussit: *τὴν ἴσην, Ἀγάμεμνον, ἀνθρώποισι πᾶσιν αἱ τύχαι μορφὴν ἔχουσι, συντρέχει δ' εἰς ἓν τόδε πάντων ἐπιμέλει'· οἵ τε μουσικῆς φίλοι κτἑ.* Vlixis esse verba coniecit Valck.

585

*στρατηλάται τᾶν μυρίοι γενοίμεθα,*
*σοφὸς δ' ἂν εἷς τις ἢ δύ' ἐν μακρῷ χρόνῳ.*

Stob. Flor. 54, 8. vs. 1 *γενοίατο* Meinekius.

586

Aristophanes Ran. 1446—48:

*εἰ τῶν πολιτῶν οἷσι νῦν πιστεύομεν,*
*τούτοις ἀπιστήσαιμεν, οἷς δ' οὐ χρώμεθα,*
*τούτοισι χρησαίμεσθ', ἴσως σωθεῖμεν ἄν.*

ita Euripidem dicentem facit Aristophanes; respondet Dionysus vs. 1451: *εὖ γ', ὦ Παλάμηδες, ὦ σοφωτάτη φύσις.* hinc apparere videtur versus supra scriptos ex Euripidis Palamede esse depromptos*). quae his interposita sunt verba, *εἰ νῦν γε δυστυχοῦμεν ἐν τούτοισι, πῶς τἀναντία πράξαντες οὐ σωζοίμεθ' ἄν;* spuria esse iam alii intellexerunt. Euripidis acumen ridere videtur Ar. Ran. 1443: *ὅταν τὰ νῦν ἄπιστα πίσθ' ἡγώμεθα, τὰ δ' ὄντα πίστ' ἄπιστα.*

587

*ὅστις λέγει μὲν εὖ, τὰ δ' ἔργ' ἐφ' οἷς λέγει*
*αἴσχρ' ἐστὶν αὐτοῦ, τὸ σοφὸν οὐκ αἰνῶ τόδε.*

Orion Flor. 1, 6 p. 249, 20 et Ioh. Dam. post Stob. Ecl. p. 697, 16. vs. 2 *τοῦτον οὐκ αἰνῶ ποτε* Ioh. Dam.

588

*εἷς τοι δίκαιος μυρίων οὐκ ἐνδίκων*
*κρατεῖ τὸ θεῖον τὴν δίκην τε συλλαβών.*

Stob. Flor. 9, 13. vs. 2 *τὸ θεῖον*] *τό θ' ὅσιον* coniecit Meinekius.

589

*Θύσαν Διονύσου*

---

*) Id quod iam veteres coniecerunt interpretes. Schol. Ar. Ran. 1451: *εὖ γ', ὦ Παλάμηδες*] *πρὸς τὸν Εὐριπίδην, ὅτι εἰκὸς ἐκ Παλαμήδους πεπλάσθαι ταῦτα.*

*κόραν, ὃς ἀν' Ἴδαν*
*τέρπεται σὺν ματρὶ φίλᾳ*
*τυμπάνων ἰάκχοις*

Strab. X p. 470: *τὴν κοινωνίαν τῶν περὶ τὸν Διόνυσον ἀποδειχθέντων νομίμων παρὰ τοῖς Ἕλλησι καὶ τῶν παρὰ τοῖς Φρυξὶ περὶ τὴν μητέρα τῶν θεῶν συνοικειῶν ἀλλήλοις. Εὐριπίδης τε ἐν ταῖς Βάκχαις τὰ παραπλήσια ποιεῖ — καὶ ἐν Παλαμήδει φησὶν ὁ χορός 'οὐ — ἰάκχοις'*. vs. 3 *τυμπάνων ἐπ' ἰάκχοις* Did. Volkmannus. *ἰάκχοις* ex *ἰαχαῖς* ortum suspicor.

590

*. . . κώπην χρυσόκολλον*

Pollux 10, 145: *Εὐριπίδης μὲν ἐν Παλαμήδει λέγει κώπην χρυσόκολλον, Μένανδρος δὲ κτέ.*

591

*ἐκάνετ' ἐκάνετε τὰν*
*πάνσοφον, ὦ Δαναοί,*
*τὰν οὐδέν' ἀλγύνουσαν ἀηδόνα Μουσᾶν.*

Philostr. Heroic. p. 313, 13: *ὡς σοφώτερόν τε καὶ ἀνδρειότερον ἑαυτοῦ τὸν Παλαμήδην ὁ Ὀδυσσεὺς ἀπέκτεινεν, ἱκανῶς ἐκ τούτου διδάσκει ὁ Πρωτεσίλεως, ὅθεν καὶ τὸν θρῆνον τὸν παρ' Εὐριπίδῃ ἐπαινεῖ, ὁπότε Εὐριπίδης ἐν Παλαμήδους μέλεσιν 'ἐκάνετε' φησίν 'ἐκάνετε — Μουσᾶν'*. eosdem versus habent Diog. L. 2, 44 Tzetz. Exeg. Il. p. 44, 14 et in Lycophr. 384. respicit auctor argumenti Isocr. Busir., cuius locum attulimus supra p. 81.

592

Harpocr. p. 61, 5: *διεκωδώνισε Δημοσθένης ἐν τῷ περὶ τῆς πρεσβείας* (§ 167) *ἀντὶ τοῦ διεπείρασε καὶ ἐξήτασεν. ἡ δὲ μεταφορὰ ἤτοι ἀπὸ περιπολούντων σὺν κώδωσι τῆς νυκτός, Εὐριπίδης Παλαμήδει, ἢ ἀπὸ τῶν δοκιμαζόντων τοὺς μαχίμους ὄρτυγας τῷ ἤχῳ τοῦ κώδωνος, ὡς Ἀρίσταρχος.* Schol. Ar. Av. 842: *κωδωνοφορῶν] οἱ περίπολοι οἱ τὰς φυ-*

λακὰς περισκοποῦντες ἐρχόμενοι ἐπὶ τοὺς φύλακας κώδωνας εἶχον. — μήποτε δὲ παρακωμῳδεῖ τὸν Εὐριπίδου Παλαμήδην οὐ πρὸ πολλοῦ δεδιδαγμένον.

593

ἔμβολα

Hesych.: ἔμβολα· Εὐριπίδης Παλαμήδει καὶ Σκίρωνι, ἔμβολα· τὸ δὲ πολὺ ἀρρενικῶς λέγουσι τοὺς ἐμβόλους. interpretatio excidit.

## ΠΕΙΡΙΘΟΥΣ

De argumento tragoediae praeter Hygini fab. 79 cf. Schol. Tzetz. Chil. in Anecd. Oxon. vol. 3 p. 359, 22: καὶ ἡ Κόρη, ἣν ὁ Πειρίθοός τε καὶ Θησεὺς ἁρπάζειν μέλλοντες συνεσχέθησαν· καὶ Πειρίθοος μὲν κατεβρώθη, ὁ δὲ Θησεὺς ἐσώθη παρ' Ἡρακλέους· κατ' Εὐριπίδην σῴζονται καὶ οἱ δύο. adde Greg. Cor. in Rhet. vol. 7 p. 1312 sq. minus probabilia videntur quae refert Tzetzes in Ar. Ran. 142 (v. Herwerd. in Soph. Oed. R. edit. mai. p. 214): Θησεὺς καὶ Πειρίθους συνέθεντο ἁρπάσαι τὴν Περσεφόνην, ἔρωτα σχόντος αὐτῆς τοῦ Πειρίθου. κατελθόντες οὖν ἐν τῷ ᾅδῃ κατεσχέθησαν· καὶ ὁ μὲν Πειρίθους ὡς ἅρπαξ τῷ Κερβέρῳ κατάβρωμα γίνεται, Θησεὺς δὲ ὡς συνεργὸς ἀλλ' οὐχ ἅρπαξ κατασχεθεὶς ἐδέθη· ὕστερον δὲ Ἡρακλεῖ κατελθόντι διὰ τὸν Κέρβερον πάντα Θησεὺς τὰ ἐκεῖ ἀκριβέστερον ὑποτίθησιν, ὡς Εὐριπίδης διδάσκει τοῖς δράμασιν αὐτοῦ. dubitatum fuisse utrum Euripidis esset fabula an Critiae docet Athenaeus (fr. 595), cf. Vita Eurip. p. 135, 33: τούτων (Εὐριπίδου δραμάτων) νοθεύεται τρία, Τέννης Ῥαδάμανθυς Πειρίθους. Welcker huc refert fr. 857 et 930.

594

ἐμοὶ πατρὶς μὲν Ἄργος, ὄνομα δ' Ἡρακλῆς,
θεῶν δὲ πάντων πατρὸς ἐξέφυν Διός·
ἐμῇ γὰρ ἦλθε μητρὶ κεδνὸν εἰς λέχος
Ζεύς, ὡς λέλεκται τῆς ἀληθείας ὕπο.
ἥκω δὲ δεῦρο πρὸς βίαν Εὐρυσθέως

Greg. Cor. in Rhet. vol. 7 p. 1312: *καὶ Εὐριπίδης* ‘*Ζεὺς — ὕπο*’ (vs. 4). *οὗτος ὁ στίχος ἐν δυσὶν εὕρηται δράμασιν Εὐριπίδου, ἔν τε τῷ λεγομένῳ Πειρίθῳ καὶ ἐν τῇ σοφῇ Μελανίππῃ. ἐν μὲν γὰρ τῷ Πειρίθῳ παρεισάγεται Ἡρακλῆς ἐν* (*ἐς* malim) *Ἅιδου κατελθὼν κατὰ κέλευσιν Εὐρυσθέως καὶ ὑπὸ τοῦ Αἰακοῦ ἐρωτώμενος ὅστις ἔστι καὶ ἀποκρινόμενος* ‘*ἐμοὶ — Εὐρυσθέως*’. Euripidea verba prologum sapiunt. de vs. 4 cf. fr. 484.

595

*ἵνα πλημοχόας τάσδ’ εἰς χθόνιον*
*χάσμ’ εὐφήμως προχέωμεν*

Ath. XI p. 496 B: *πλημοχόη, σκεῦος κεραμεοῦν βεμβικῶδες — χρῶνται δὲ αὐτῷ ἐν Ἐλευσῖνι τῇ τελευταίᾳ τῶν μυστηρίων ἡμέρᾳ, ἣν καὶ ἀπ’ αὐτοῦ προσαγορεύουσι πλημοχόας· ἐν ᾗ δύο πλημοχόας πληρώσαντες τὴν μὲν πρὸς ἀνατολὰς τὴν δὲ πρὸς δύσιν ἀνιστάμενοι ἀνατρέπουσιν ἐπιλέγοντες ῥῆσιν μυστικήν. μνημονεύει δὲ αὐτῶν καὶ ὁ τὸν Πειρίθοον γράψας, εἴτε Κριτίας ἐστὶν ὁ τύραννος ἢ Εὐριπίδης, λέγων οὕτως* ‘*ἵνα — προχέωμεν*’.

596

*σὲ τὸν αὐτοφυῆ τὸν ἐν αἰθερίῳ*
*ῥύμβῳ πάντων φύσιν ἐμπλέξανθ’,*
*ὃν πέρι μὲν φῶς, περὶ δ’ ὀρφναία*
*νὺξ αἰολόχρως, ἄκριτός τ’ ἄστρων*
*ὄχλος ἐνδελεχῶς ἀμφιχορεύει*

Clemens Alex. Strom. V p. 717 (Eusebius Pr. E. p. 681 B): *ἐν δὲ τῷ Πειρίθῳ δράματι ὁ αὐτὸς* (Eur.) *καὶ τάδε τραγῳδεῖ* ‘*σὲ τὸν — ἀμφιχορεύει*’. vs. 1 et 2 habent Schol. Eur. Or. 981: *ὅμοιον τούτῳ τὸ ἐν Πειρίθῳ* ‘*σὲ τὸν — ἐμπλέξαντα*’. Schol. Ap. Rhod. 4, 143: *καὶ Εὐριπίδης ἐν Πειρίθῳ* ‘*σὲ τὸν — ῥύμβῳ*’. cf. Eust. in Dionys. P. 1134: *τινὲς δὲ ῥύμβον γράφουσι διὰ τοῦ Υ, ὡς Εὐριπίδης ἐν Πειρίθῳ αἰθέριον ῥύμβον φησίν.* Hesych.: *αἰθέρος ῥύμβος· οὐρανός.* vs. 5 spectare videtur Perictione Stobaei Flor. 79,

50: *ἄστρων τὰ οὐρανὸς ἐναψάμενος* (*οὐρανὸν συναψάμενα* coniecit Meinekius) *αμφιχορεύει.*

BIBLIOTHECA BODLEIANA

597

*ἀκάμας τε πέριξ χρόνος ἀενάῳ*
*ῥεύματι πλήρης φοιτᾷ τίκτων*
*αὐτὸς ἑαυτόν, δίδυμοί τ' ἄρκτοι*
*ταῖς ὠκυπλάνοις πτερύγων ῥιπαῖς*
*τὸν Ἀτλάντειον τηροῦσι πόλον*

Clemens Alex. Strom. V p. 667: *περὶ τούτων οἶμαι καὶ ἡ τραγῳδία φυσιολογοῦσά φησιν* '*ἀκάμας — πόλον.* vs. 5 afferunt ex Euripidis Pirithoo Schol. Ar. Av. 179 (Suid. v. *πόλος*). vs. 1 *πέριξ χρόνος* Meinekius, *χρόνος περί γ'* Clem. vs. 5 *τηροῦσι*] *φρουρῶν* Schol. Ar. et Suid.

598

*αἰδοῦς ἀχαλκεύτοισιν ἔζευκται πέδαις*

Plut. Mor. p. 482 A: *οὐ γὰρ ὁ συμπότης οὐδὲ ὁ συνέφηβος οὐδὲ ὁ ξένος* '*αἰδοῦς — πέδαις*', *ἀλλ' ὁ σύναιμος.* ibid. p. 533 A: *εἶτα ὥσπερ ἐνέχυρον προέμενος τὴν ἐπαγγελίαν* '*αἰδοῦς — πέδαις*'. Euripidis esse versum docet Plut. Mor. p. 763 F: *φιλίας καὶ κοινωνίας, οὐχ οἵαν Εὐριπίδης φησὶν ἀχαλκεύτοις ἐζεῦχθαι πέδαις.* ad hanc fabulam relatus est propter Plut. Mor. p. 96 C: *ἔνιοι τῶν φίλων οὐδὲν ἀπολαύσαντες εὐτυχούντων συναπόλλυνται δυστυχοῦσιν, καὶ τοῦτο μάλιστα πάσχουσιν οἱ φιλόσοφοι καὶ χαρίεντες, ὡς Θησεὺς τῷ Πειρίθῳ κολαζομένῳ καὶ δεδεμένῳ* '*πέδαις ἀχαλκεύτοισιν ἔζευκται πόδας*'. *πέδαις δ' ἀχαλκεύτοις* dixit Aesch. Choeph. 493. *σώματα δεσμεύων ἐν ἀχαλκεύτοισι πέδησιν* Orph. hymn. 85, 4.

599

*οὐκ οὖν τὸ μὴ ζῆν κρεῖσσόν ἐστ' ἢ ζῆν κακῶς;*

Stob. Flor. 121, 24: *Εὐριπίδου Πειρίθου.* '*οὐκ — κακῶς;*' cf. Soph. fr. 445: *τὸ μὴ γὰρ εἶναι κρεῖσσον ἢ τὸ ζῆν κακῶς.*

600

*τρόπος δὲ χρηστὸς ἀσφαλέστερος νόμου·*
*τὸν μὲν γὰρ οὐδεὶς ἂν διαστρέψαι ποτὲ*
*λόγοις δύναιτο, τὸν δ' ἄνω τε καὶ κάτω*
*ῥήτωρ ταράσσων πολλάκις λυμαίνεται.*

Stob. Flor. 37, 15: *Πειρίθου. 'τρόπος — λυμαίνεται'.* vs. 3 *λόγοις δύναιτο* scripsi, *ῥήτωρ δύναιτο* libri. vs. 4 *λόγοις ταράσσων* libri, *ῥήτωρ ταράσσων* scripsi, sed pro *ταράσσων* vide an *πανοῦργος* vel *πονηρὸς* restituendum sit. cf. Men. mon. 709 sive Greg. Naz. vol. 2 p. 154 C: *ῥήτωρ πονηρὸς τοὺς νόμους (τοῖς νόμοις* Men. mon.) *λυμαίνεται.* huic fabulae locum vindicavit Valck.

601

*ὁ πρῶτος εἰπὼν οὐκ ἀγυμνάστῳ φρενὶ*
*ἔρριψεν ὅστις τόνδ' ἐκαίνισεν λόγον,*
*ὡς τοῖσιν εὖ φρονοῦσι συμμαχεῖ τύχη.*

Stob. Ecl. 2, 7, 4 p. 336: *Εὐριπίδου Πειρίθῳ. 'ὁ πρῶτος — τύχη'.* vs. 3 *ὡς τοῖσιν*] *πᾶσιν γὰρ* Men. mon. 462.

602

*ἔφεξις*

Hesych.: *ἔφεξις· χάριν, ἕνεκα. ἐποχήν, πρόφασιν. Εὐριπίδης Πειρίθῳ.* Schol. Ar. Vesp. 338: *παρὰ δὲ τοῖς τραγικοῖς ἔφεξις ἡ πρόφασις.*

603

*θρᾶξαι*

Hesych.: *θρᾶξαι· ταράξαι, λυπῆσαι. Εὐριπίδης Πειρίθῳ.*

ΠΕΛΙΑΔΕΣ

Vita Eurip. p. 135, 30: *ἤρξατο δὲ διδάσκειν ἐπὶ Καλλίου ἄρχοντος κατ' ὀλυμπιάδα ὀγδοηκοστὴν πρώτην· πρῶτον δ' ἐδίδαξε τὰς Πελιάδας ἔτει πρώτῳ, ὅτε καὶ τρίτος ἐγένετο.* de argumento pauca tradit Moses Chorenensis in Progymn. libro III (v. Maii Euseb. Chron. p. 43): *Euripides tragicus — in iis quae de Medea refert extremos mentiendi fines attingit. ait enim ipsam societate cum Iasone quodam*

*inita e Scythia in Thessaliam navigavisse atque artes magicas hic professam regem qui terrae imperabat dolosis consiliis perdere decrevisse. idcirco apud eiusdem filias commemoratis diu patris devexa senectute masculaeque prolis defectu — opem suam obtulisse, qua illum — in iuvenilem aetatem denuo restitueret. his dictis pergit porro singillatim narrare qua ratione res patrata fuerit, nempe ut Medea laniatum arietem in lebetem coniecerit ignemque subdiderit, utque fervente cum motibus lebete viventis arietis speciem ostenderit eoque modo illusis filiabus Peliam laniandum curaverit; eratque, inquit, in lebete, et praeterea nihil addit.* meliora praebet Hyginus fab. 24, quorum haec attulisse sufficiat: *inde Peliades, id est Alcestis, Pelopia, Medusa, Pisidice, Hippothoe, Medeae impulsu patrem suum occisum in aeneo coxerunt. cum se deceptas esse viderent, a patria profugerunt.* Elmsleius huc refert fr. 852 a.

604

*Μήδεια πρὸς μὲν δώμασιν τυραννικοῖς*

Schol. Eur. Med. 693, vide fr. 605.

605

*τί χρῆμα δράσας; φράζε μοι σαφέστερον.*

Eur. Med. 693: '*τί χρῆμα — σαφέστερον*'. ubi Schol.: *σεσημείωται ὁ στίχος ὅτι καὶ ἐν Πελιάσιν ἔστιν, ὧν ἀρχή* '*Μήδεια — τυραννικοῖς*' (fr. 604).

606

*αἰνῶ· διδάξαι δ' ὦ τέκνον σε βούλομαι.*
*ὅταν μὲν ἧς παῖς, μὴ πλέον παιδὸς φρονεῖν,*
*ἐν παρθένοις δὲ παρθένου τρόπους ἔχειν,*
*ὅταν δ' ὑπ' ἀνδρὸς χλαῖναν εὐγενοῦς πέσῃς,*
. . . . . . . . . . . . . . . . .
*τὰ δ' ἄλλ' ἀφεῖναι μηχανήματ' ἀνδράσιν.*

Stob. Flor. 74, 26. vs. 2 *πλέον*] *πλέω* AMVind. Voss., fortasse *πέρα* legendum.

607

*πρὸς κέντρα μὴ λάκτιζε τοῖς κρατοῦσί σου.*

Stob. Flor. 3, 22 et Schol. Pind. Pyth. 2, 173.

608

*τὸ δ' ἔσχατον δὴ τοῦτο θαυμαστὸν βροτοῖς*
*τυραννίς, οὐχ εὕροις ἂν ἀθλιώτερον.*
*φίλους τε πορθεῖν καὶ κατακτανεῖν χρεών,*
*πλεῖστος φόβος πρόσεστι μὴ δράσωσί τι.*

Stob. Flor. 49, 7. vs. 1 *ἐσχάτως* scripserim. vs. 3 fort. *πόλεις τε π. καὶ φίλους κτανεῖν?* vs. 4 *πλεῖστος*] *ἐπεὶ* Pflugkius.

609

*οὐκ ἔστι τὰ θεῶν ἄδικ', ἐν ἀνθρώποισι δὲ*
*κακοῖς νοσοῦντα σύγχυσιν πολλὴν ἔχει.*

Stob. Ecl. 2, 7, 2 p. 336 et Orion. Flor. Eur. 5 p. 265, 3. vs. 1 *τὰ τῶν θεῶν* Stob., *τὰκ θεῶν* Meinekius. *ἄδικα, τὰν βροτοῖσι δὲ* scribendum videtur.

610

*ὁρῶσι δ' οἱ διδόντες εἰς τὰ χρήματα.*

Stob. Flor. 92, 4.

611

*ἐν τοῖσι μὲν δεινοῖσιν ὡς φίλοι φίλων·*
*ὅταν δὲ πράξωσ' εὖ, διωθοῦνται χάριν*
*αὐτοὶ δι' αὐτοὺς εὐτυχεῖν ἡγούμενοι.*

Ioh. Dam. post Stob. Ecl. p. 721, 26. vs. 3 *δι' αὐτῶν* malim.

612

*ὁ γὰρ ξυνὼν κακὸς μὲν ἢν τύχῃ γεγώς,*
*τοιούσδε τοὺς ξυνόντας ἐκπαιδεύεται,*
*χρηστοὺς δὲ χρηστός· ἀλλὰ τὰς ὁμιλίας*

*ἐσθλὰς διώκειν, ὦ νέοι, σπουδάζετε.*

Ioh. Dam. post Stob. Ecl. p. 706, 11 et p. 725, 10. vs. 1 *γεγώς*] *γένος* p. 725. vs. 2 *ἐκπορίζεται* p. 706.

613

*φθείρου· τὸ γὰρ δρᾶν οὐκ ἔχων λόγους ἔχεις.*

Ioh. Dam. post Stob. Ecl. p. 697, 28. *ἔχεις*] *λέγεις* nescio quis.

614

*ἀντεμμάσασθαι*

Hesych.: *ἀντεμμάσασθαι· ἀνταποδοῦναι, ἐπιπλῆξαι. Εὐριπίδης Πολιάσιν* (*Πελιάσιν* Meursius). fortasse *ἀντεμμάξασθαι* (vel cum M. Schmidtio *ἀνταμμάξασθαι*) et *Εὔπολις Πόλεσιν* leg.

615

*ἀρταμεῖν*

Hesych.: *ἀρταμεῖν· κατακόπτειν. Εὐριπίδης Πελιάσι.*

616

*εὐστόχως*

Antiatt. p. 95, 23: *εὐστόχως· Εὐριπίδης Πελιάσιν.*

617

*κατηβολή*

Schol. Plat. p. 904 a 22: *κατηβολή, τὸ ἐπιβάλλον. Εὐριπίδης Τημένῳ καὶ Πελιάσι.* eadem Hesychius, ubi *κατηβόλη* codex.

618

*λύσιμον*

Antiatt. p. 106, 27: *λύσιμον· θηλυκῶς λέγει Εὐριπίδης Πελιάσιν.*

619

*ὄβρια*

Aelianus N. A. 7, 47: *τῶν δὲ ὑστρίχων καὶ τῶν τοιούτων τὰ ἔκγονα ὄβρια* (adde *καὶ ὀβρίκαλα*) *καλεῖται· καὶ*

*μέμνηταί γε Εὐριπίδης ἐν Πελιάσι τοῦ ὀνόματος καὶ Αἰσχύλος ἐν Ἀγαμέμνονι καὶ Δικτυουλκοῖς.* Euripides incertum utrum *ὄβρια* an *ὀβρίκαλα* dixerit.

## ΠΗΛΕΥΣ

Fortasse hanc fabulam respiciunt Horatius Epist. 2, 3, 95: *et tragicus plerumque dolet sermone pedestri Telephus et Peleus, cum pauper et exul uterque proicit ampullas et sesquipedalia verba*, et Ar. Nub. 1063: *ὁ γοῦν Πηλεὺς ἔλαβε διὰ τοῦτο* (sc. *διὰ τὸ σωφρονεῖν*) *τὴν μάχαιραν.* proposuerit poeta *Πηλέως συμφοράς, ὥς νιν χθονὸς Ἄκαστος ἐκβέβληκεν ὁ Πελίου γόνος* (Eur. Tro. 1127), qua de re cf. Apollod. 3, 13, 3 et Antoninus Liber. c. 38.

### 620

*οὐκ ἔστιν ἀνθρώποισι τοιοῦτος σκότος,*
*οὐ χῶμα γαίας κληστόν, ἔνθα τὴν φύσιν*
*ὁ δυσγενὴς κρύψας ἂν εἴη σοφός.*

Stob. Flor. 90, 7. vs. 2 *χῶμα* Meinekius, *δῶμα* libri. vs. 3 *κρύψας ἂν εἴη*] *κρύψειεν ἂν κἂν ᾖ* Lewis, *κρύψας ἂν ὀφθείη* Enger, fortasse *κρύψας ἂν ἐκβαίη* praeferendum.

### 621

*τὸν ὄλβον οὐδὲν οὐδαμοῦ κρίνω βροτοῖς,*
*ὃν γ' ἐξαλείφει ῥᾷον ἢ γραφὴν θεός.*

Stob. Flor. 93, 10.

### 622

*τὸ γῆρας, ὦ παῖ, τῶν νεωτέρων φρενῶν*
*σοφώτερον πέφυκε κἀσφαλέστερον·*
*ἐμπειρία γὰρ τῆς ἀπειρίας κρατεῖ.*

Stob. Flor. 115, 6. vs. 3 *ἡμπειρία* Porsonus. *γὰρ* Men. mon. 169, *τε* Stob.

### 623

*κλύετ' ὦ Μοῖραι Διὸς αἵ τε παρὰ*

*θρόνον ἀγχοτάτω θεῶν ἑζόμεναι*

Stob. Ecl. 1, 5, 10 p. 170.

624

*. . τὰ δ᾽ ἔνθεν οὐκέτ᾽ ἂν φράσαι λόγῳ*
*δακρύων δυναίμην χωρίς*

Ioh. Lydus de magistr. 3, 25 p. 217, 22: '*τὰ δ᾽ ἔνθεν — χωρίς*' *κατὰ τὸν Εὐριπίδου Πηλέα.*

625[a]

*βοάσομαί τἄρα τὰν ὑπέρτονον*
*βοάν· ἰώ, πύλαισιν ἤ τις ἐν δόμοις;*

Ar. Nub. 1154: *βοάσομαί τἄρα τὰν ὑπέρτονον βοάν. ἰώ, κλάετ᾽ ὠβολοστάται.* ubi Schol.: *παρὰ τὰ ἐκ Πηλέως Εὐριπίδου· ἐπιφέρει γὰρ* '*ἰώ — δόμοις*'. *ἐν* om. R. *ἐκ Πηλέως Σοφοκλέους* Ven., ubi sequentia omittuntur. cf. Soph. fr. 448.

625[b]

*πάρεσμεν, ἀλλ᾽ οὐκ ᾖσθ᾽ ἂν οὐ παρόντα με.*

Etym. Flor. in Milleri *Mélanges de litt. Gr.* p. 153: *ᾔδεισθα δὲ κατὰ συγκοπὴν ᾖσθα γράφεται μετὰ τοῦ Ι. Εὐριπίδης Πηλεῖ* '*πάρεσμεν — με*'. *Ὧρος ὁ Μιλήσιος.* poetam *ᾐσθάνου* voluisse conicit G. Wolffius.

626

*ἀρκεῖ*

Hesych.: *ἀρκεῖ· προσαρκεῖ, βοηθεῖ. Εὐριπίδης Πηλεῖ.*

## ΠΛΕΙΣΘΕΝΗΣ

Hyginus fab. 86: *Thyestes Pelopis et Hippodamiae filius quod cum Aeropa Atrei uxore concubuit, a fratre Atreo de regno est eiectus. at is Atrei filium Plisthenem, quem pro suo educaverat, ad Atreum interficiendum misit, quem Atreus credens fratris filium esse, imprudens filium suum occidit.*

627[a]

*οὐ τὸν σὸν ἔκταν πατέρα, πολέμιόν γε μήν.*

Schol. A Il. *Δ*, 319: *ἔκταν — ἐν χρήσει ὁρᾶται Ἀττικοῖς Εὐριπίδης Πλεισθένει ‘οὐ τὸν — μήν’. οὐ τὸν σὸν ἔκταν πατέρα*] fortasse leg. *τὸν σὸν κατέκταν παῖδα*, quae verba sine p. et fab. nom. extant in Etym. M. p. 495 sq. et Etym. Gud. p. 305, 28. *πολέμιόν γε μήν*] *πολέμιον δ' ἐμόν* Th. Gomperzius.

627[b]

*καὶ κάταιθε χῶ τι λῇς ποίει.*

Etym. Flor. in Milleri *Mélanges de litt. Gr.* p. 205: *λῇς* (*λῷς* cod.) *σὺν τῷ Ι δευτέρας συζυγίας ἀντὶ τοῦ θέλεις* (*θέλῃς* cod.) *Εὐριπίδης Πλεισθένει ‘καὶ — ποίει’. κάταιθε χῶ τι λῇς* Duebner, *κάταιθ' ἔχ' ὠτειλῆς* cod. cf. Etym. M. p. 564, 22: *ὅθεν καὶ τὸ λῇς ἀντὶ τοῦ θέλεις μετὰ τοῦ Ι Εὐριπίδης.* Meinekius *πίμπρη με καὶ κάταιθε* coniecit.

628

*δήμῳ δὲ μήτε πᾶν ἀναρτήσῃς κράτος*
*μήτ' αὖ κακώσῃς, πλοῦτον ἔντιμον τιθείς,*
*μηδ' ἄνδρα δήμῳ πιστὸν ἐκβάλῃς ποτὲ*
*μηδ' αὖξε καιροῦ μεῖζον, οὐ γὰρ ἀσφαλές,*
*μή σοι τύραννος λαμπρὸς ἐξ ἀστοῦ φανῇ.*
*κόλουε δ' ἄνδρα παρὰ δίκην τιμώμενον·*
*πόλει γὰρ εὐτυχοῦντες οἱ κακοὶ νόσος.*

Stob. Flor. 43, 1. vs. 3 *χρηστὸν* Meinekius.

629

*εἰσὶν γὰρ εἰσὶ διφθέραι μελαγγραφεῖς*
*πολλῶν γέμουσαι Λοξίου γηρυμάτων*

Tzetz. in Anecd. Oxon. vol. 3 p. 373, 20: *Εὐριπίδης γὰρ μέμνηται διφθερῶν λέγων ἐν Πλεισθένει ‘εἰσὶ γὰρ — γηρυμάτων’.* vs. 2 *πολιῶν* malim.

630

*μηλοσφαγεῖ τε δαιμόνων ἐπ' ἐσχάραις*

Eust. Od. p. 1564, 33: *Σοφοκλῆς δὲ καὶ ἀντὶ βωμοῦ οἶδεν ἐσχάραν. λέγει δὲ καὶ Εὐριπίδης ‘μηλοσφαγεῖ τε — ἐσχάραις’*. Ammonius Valck. p. 34: *παρὰ δὲ Εὐριπίδῃ ἐσχάρα ἀντὶ τοῦ βωμοῦ κεῖται ἐν Πλεισθένει ‘μῆλος φάγεται δαιμόνων ἐπ’ ἐσχάρας’*. cf. Ar. Av. 1232: *θύειν τοῖς Ὀλυμπίοις θεοῖς μηλοσφαγεῖν τε βουθύτοις ἐπ’ ἐσχάραις.*

631

*ἐγὼ δὲ Σαρδιανός, οὐκέτ’ Ἀργόλας*

Steph. Byz. v. *Ἄργος* p. 113, 9: *λέγεται γὰρ καὶ Ἀργόλας — Εὐριπίδης ἐν Πλεισθένει ‘ἐγὼ δὲ — Ἀργόλας’*.

632

*πολὺς δὲ κοσσάβων ἀραγμὸς*
*Κύπριδος προσῳδὸν ἀχεῖ*
*μέλος ἐν δόμοισιν.*

Ath. XV p. 668 B: *τῶν ἐρωμένων ἐμέμνηντο ἀφιέντες ἐπ’ αὐτοῖς τοὺς λεγομένους κοσσάβους. διὸ — καὶ Εὐριπίδης ἐν Πλεισθένει ‘πολὺς — δόμοισιν’*. cf. Eust. Il. p. 1170, 53: *κότταβον ὃν ὁ φιλοσίγματος Εὐριπίδης ἐν δυσὶ ΣΣ γράφει.* et mox *χρῆσις δὲ κοσσάβου ἐν τῷ ‘πολὺς κοσσάβων ἀραγμός.’* Hesych.: *κότταβος· λάταξ. Εὐριπίδης Πλεισθένει.*

633

*πολλῶν τὰ χρήματ’ αἴτι’ ἀνθρώποις κακῶν.*

Stob. Flor. 93, 16.

634

*μόμφος*

Antiatt. p. 107, 19: *μόμφον· τὴν μέμψιν. Εὐριπίδης Πλεισθένει.* Eust. Od. p. 1761, 39: *ἐπὶ δὲ πᾶσι λέγει ὁ αὐτὸς γραμματικὸς* (Aristophanes) *καὶ μομφὸν παρ’ Εὐριπίδῃ τὴν μέμψιν λεχθῆναι.*

## ΠΟΛΥΙΔΟΣ

De argumento Euripideae tragoediae ex Hygini fab. 136 et Apollod. 3, 3, 1 coniecturam facere licet. Schol. Aristid.

p. 728 sq.: *Πολύειδος πεποίηται δρᾶμα Εὐριπίδῃ, ἐν ᾧ βοῦν τρίχρωμον ποιεῖ εὑρῆσθαι*, ubi quae accedunt *περὶ οὗ γέγονεν αὐτοῖς φιλονεικία βασιλείας*, homini debentur imperito. noctuam a Polyido visam commemorat Aelianus N. A. 5, 2: *ἐν τῇ Κρήτῃ γλαῦκα μὴ γίνεσθαι φασὶ τὸ παράπαν —, ἔοικε δὲ ὁ Εὐριπίδης ἀβασανίστως πεποιηκέναι τὸν Πολύειδον ὁρῶντα τήνδε τὴν ὄρνιν καὶ ἐξ αὐτῆς τεκμηράμενον ὅτι εὑρήσει καὶ τὸν Γλαῦκον τὸν τεθνεῶτα τῷ Μίνῳ υἱόν.* Valckenarius huic fabulae adscripsit adespota fr. 137 et 348. *Γλαῦκον* fabulam, quam ter laudat Stobaeus (fr. 638 644 645), ab hac non diversam esse dudum intellexerunt.

## 635

*ὅστις νέμει κάλλιστα τὴν αὑτοῦ φύσιν,*
*οὗτος σοφὸς πέφυκε πρὸς τὸ συμφέρον.*

Stob. Flor. 3, 20.

## 636

*οἱ τὰς τέχνας δ' ἔχοντες ἀθλιώτεροι*
*τῆς φαυλότητος· καὶ γὰρ ἐν κοινῷ ψέγειν*
*ἅπασι κεῖσθαι δυστυχὲς κοὐκ εὐτυχές.*

Stob. Flor. 61, 4.

## 637

*ἔα ἔα·*
*ὁρῶ γ' ἐπ' ἀκταῖς νομάδα κυματοφθόρον*
*ἁλιάετον· τὸν παῖδα χερσεύειν μόρος.*
*εἰ μὲν γὰρ ἐκ γῆς εἰς θάλασσαν ἔπτατο*
*ὁ κύματ' οἰκῶν ὄρνις, ἡρμήνευσεν ἂν*
*τὸν παῖδ' ἐν ὑγροῖς κύμασιν τεθνηκέναι·*
*νῦν δ' ἐκλιπὼν ἤθη τε καὶ νομὸν βίου*
*δεῦρ' ἔπτατ'· οὐκ οὖν ἔσθ' ὁ παῖς ἐν οἴδμασιν.*

Hermog. in Rhet. vol. 3 p. 327: *ὅμοιον τούτῳ καὶ τὸ Εὐριπίδου ἐν Πολυΐδῳ ‛ εἰ μὲν — τεθνηκέναι’* (vs. 4—6). *τῷ γὰρ οἰκῶν παράκειται τὸ ἡρμήνευσεν ἄν· καθ' αὑτὸ*

*δ' ἂν ἦν σκληρόν πως.* ubi Scholion ab Valck. Diatr. p. 201 sq. editum: *οὕτως ἔχουσι τὰ τοῦ Πολυΐδου ῥητά 'ἔα ἔα· ὁρῶ — οἴδμασιν'.* Schol. Hermog. Rhet. vol. 7 p. 1072: *'εἰ μὲν — θάλασσαν'* (vs. 4) *ἀντὶ τοῦ εἰ ὁ ἀμφίβιος ὄρνις εἰωθὼς εἰς γῆν πέτεσθαι ἐκ θαλάσσης καὶ ἐκ γῆς εἰς θάλασσαν, κατοικῶν δὲ ἐν ὕδασιν. τὸ ἡρμήνευσέν ἐστιν ἡ δριμύτης· ἡ γὰρ ἑρμηνεία κυρίως ἐπὶ ἀνθρώπων ἐστίν, ἐνταῦθα δὲ τὸ ἐδήλωσε σημαίνει. ἡ πρώτη οὖν τροπὴ τὸ 'ὁ κύματα οἰκῶν'* (vs. 5)*· τὸ γὰρ οἰκεῖν οὐ κυρίως λέγοιτ' ἂν ἐπὶ κυμάτων· ἡ δευτέρα δὲ καὶ σκληροτέρα τὸ ἡρμήνευσεν, ὅπερ οὐ δοκεῖ τῷ παρακεῖσθαι τῷ οἰκῶν.* similiter Ioh. Sicel. Rhet. vol. 6 p. 411 et Maximus Planudes Rhet. vol. 5 p. 536. vs. 2 *κυματότροφον* Ruhnk. vs. 7 *νόμον* vulgo, *νομὸν* L. Dindorfius.

## 638

*φεῦ φεῦ, τὸ γῆρας ὡς ἔχει πολλὰς νόσους.*

Stob. Flor. 116, 2: *Εὐριπίδου Γλαύκῳ. 'φεῦ φεῦ — νόσους'.* quae his nectuntur, *γέροντι δ' οὐχ οἷόν τε μηκύνειν χρόνον. μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει,* neque inter se neque cum versu supra scripto cohaerent. verba *φεῦ φεῦ — νόσους* repetit Floril. Monac. 129 p. 277, 3.

## 639

*τίς δ' οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,*
*τὸ κατθανεῖν δὲ ζῆν κάτω νομίζεται;*

Sextus Empir. p. 175, 1: *ὁ γοῦν Εὐριπίδης φησὶν 'τίς δ' — νομίζεται;'* eosdem versus afferunt Diog. L. 9, 73 et Schol. Plat. p. 912 a 47. cf. Scholion recens Ar. Ran. 1478. versum priorem et alterius dimidium (*τίς — δὲ ζῆν*) habent Plato Gorg. p. 492 E (Stob. Flor. 121, 36 Iambl. Protr. c. 17 p. 246) Schol. Eur. Hipp. 192 Schol. Ar. Ran. 1082 (Suid. v. *τίς δ' οἶδεν*) Clemens Alex. Strom. III p. 517 Origenes c. Cels. 7, 50 vol. 1 p. 730 F, versum priorem Tzetz. in Anecd. Oxon. vol. 4 p. 25, 26 et Eust. Opusc. p. 122, 55. parodia versus expressit Ar. Ran. 1477: *τίς οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν, τὸ πνεῖν δὲ δειπνεῖν, τὸ δὲ καθεύδειν κῴδιον;* respicit Ar. Ran. 1082: *καὶ φασκούσας οὐ ζῆν τὸ ζῆν.* de

fabula plerique testes silent; e Phrixo locum esse petitum tradunt Schol. Ar. Ran. 1082: *παρὰ τὰ ἐκ Φρίξου Εὐριπίδου 'τίς δ' — δὲ ζῆν'. ἀλλ' ὁ λέγων ἐστὶ Φρίξος, οὗτος δὲ* (Aristophanes) *ὡς παρὰ γυναικὸς εἰρημένον αὐτὸ λέγει.* et Schol. Plat. l. l.: *τὰ ἰαμβεῖα ἐκ τοῦ Φρίξου τοῦ δράματος Εὐριπίδου 'τίς — νομίζεται'.* item Schol. Ar. Ran. 1478 (cf. Suid. v. *τίς δ' οἶδεν*): *τὸ πνεῖν δὲ δειπνεῖν*] *παρὰ τὰ ἐκ Φρίξου Εὐριπίδου.* vide fr. 830. contra Schol. Eur. Hipp. 192: *ὡς καὶ αὐτὸς ἐν Πολυίδῳ 'τίς δ' — δὲ ζῆν'.* Schol. Ar. Ran. 1478: *ἐξ Ἱππολύτου Εὐριπίδου*, ubi *ἐκ Πολυΐδου* recte restituerunt. vs. 2 *κάτω νομίζεται*] *νομίζεται βροτοῖς* Diog. L., *ὑπνοῦν δὲ τὸ κατθανεῖν* Scholion recens Ar. Ran. 1478.

640

*μάτην γὰρ οἴκῳ σὸν τόδ' ἐκβαίη τέλος*

Schol. Il. K, 56: *τέλος — τὸ δαπάνημα, ὡς Εὐριπίδης ἐν Πολυείδῳ 'μάτην — τέλος'.* fabulae nomen omittunt Eust. Il. p. 789, 14 Scholion recens Ar. Ran. 368 Philem. Lex. p. 161. *οἴκῳ σὸν*] *οἴκῳ σῷ* Valck., *οἴκων σῶν* Cobetus.

641

*. . . ἀνθρώπων δὲ μαίνονται φρένες,*
*δαπάνας ὅταν θανοῦσι πέμπωσιν κενάς.*

Stob. Flor. 123, 1.

642

*πλουτεῖς, τὰ δ' ἄλλα μὴ δόκει ξυνιέναι·*
*ἐν τῷ γὰρ ὄλβῳ φαυλότης ἔνεστί τις,*
*πενία δὲ σοφίαν ἔλαχε διὰ τὸ συγγενές.*

Stob. Flor. 95, 7. vs. 3 affert Clemens Alex. Strom. IV p. 574: *εἴρηταί γε ἡ πενία σοφίαν λάχε διὰ τὸ συγγενές.* Themistius Orat. XIIII p. 164 B: *ἤκουον γὰρ παρὰ τῶν ποιητῶν ὅτι πενίη σοφίαν ἔλαχε.* Zenobius 5, 72: *πενία δὲ σοφίαν ἔλαχε· κομματικῶς τοῦτο ἐκ τῶν Εὐριπίδου εἵλκυσται, παρόσον οἱ πένητες πολλὰς τέχνας ἐπιτηδεύουσιν.* Greg. Cypr. 3, 53: *πενίη σοφίην ἔλαχε.* cf. Diogenian. Vind. 3, 59 Greg. Cypr. Leid. 2, 100 Suid. v. *πενία.* Theodorus Prodro-

mus ἀνατροπὴν τοῦ ‘ἡ πενίη σοφίην ἔλαχε’ scripsit. συγγενές Clemens, δυστυχές Stob.

643

*οὐ γὰρ παρὰ κρατῆρα καὶ θοίνην μόνον*
*τὰ χρήματ' ἀνθρώποισιν ἡδονὰς ἔχει,*
*ἀλλ' ἐν κακοῖσι δύναμιν οὐ μικρὰν φέρει.*

Stob. Flor. 91, 8. vs. 1 *οὐ γάρ τι* Meinekius, *οὐκ ἆρα* malim. vs. 2 et 3 *ἔχει* et *φέρει* transponenda suspicor.

644

*βαρὺ τὸ φρόνημ' οἴησις ἀνθρώπου κακοῦ.*

Stob. Flor. 22, 1: *Εὐριπίδου Γλαύκῳ* (lemma om. M). ‘*βαρὺ τὸ — κακοῦ*’. *βαρύ τι* malim. *φόρημ'* Salmasius.

645

*ὅταν κακός τις ἐν πόλει πράσσῃ καλῶς,*
*νοσεῖν τίθησι τῶν ἀμεινόνων φρένας,*
*παράδειγμ' ἔχοντας τῶν κακῶν ἐξουσίαν.*

Stob. Flor. 45, 3: *τοῦ αὐτοῦ Γλαύκῳ*. ‘*ὅταν — ἐξουσίαν*’.

646

*οὐδεὶς παρανομῶν πρὸς θεοὺς ἐχέγγυος.*

Stob. Ecl. 1, 3, 39 p. 126.

647

*οἶσθ' οὖν ὃ δρᾶσον;*

Schol. Ar. Thesm. 870: ‘*οἶσθ' — δρᾶσον*’ *Εὐριπίδης Πολυΐδῳ*. Greg. Cor. p. 17 sq.: *καὶ Εὐριπίδης ἐν Πολυΐδῳ τῷ δράματι* ‘*οἶσθ' — δρᾶσον*’ *ἀντὶ τοῦ δράσεις ἐξήνεγκε.* iisdem verbis usus est Eur. Hec. 225 et alibi.

648

*διαβάλλω*

Erotianus Gloss. Hippocr. p. 62, 13: *διεβλήθησαν — μέμνηται τῆς λέξεως καὶ ἐν Πολυείδῳ καὶ ἐν Ὀρέστῃ.*

## ΠΡΩΤΕΣΙΛΑΟΣ

Schol. Aristid. p. 671 sq.: *ὁ Πρωτεσίλαος δρᾶμα γέγραπται Εὐριπίδῃ. λέγει δὲ ὅτι γαμήσας καὶ μίαν ἡμέραν μόνην συγγενόμενος τῇ γυναικὶ αὐτοῦ ἠναγκάσθη μετὰ τῶν Ἑλλήνων κατὰ τῆς Τροίας ἐλθεῖν καὶ πρῶτος ἐπιβὰς τῆς Τροίας ἐτελεύτησε. καὶ φασὶν ὅτι τοὺς κάτω δαίμονας ᾐτήσατο καὶ ἀφείθη μίαν ἡμέραν καὶ συνεγένετο τῇ γυναικὶ αὐτοῦ.* Euripidis vestigia legere probabile est Hyginum fab. 103 et 104. cf. Ovid. Heroid. Epist. 13.

649

*ἄξιος δ' ἐμὸς*
*γαμβρὸς κέκλησαι παῖδά μοι ξυνοικίσας.*

Phot. Lex. p. 410, 9, et Suid.: *πενθερὰ τῷ νυμφίῳ ἡ τῆς κόρης μήτηρ, καὶ πενθερὸς ὁ πατήρ· Εὐριπίδης δὲ γαμβρὸν αὐτὸν παρὰ τάξιν λέγει. — καὶ ὁ Πρωτεσίλαος τῷ Ἀκάστῳ φησὶν 'ἄξιος — ξυνοικίσας'.* vs. 2 *κεκλῆσθαι* Valck.

650

*οὐ γὰρ θέμις βέβηλον ἅπτεσθαι δόμων*

Schol. Soph. Oed. C. 10 (Suid. v. *βέβηλος*): *βέβηλος ἀνήρ, ὁ μιαρός. Εὐριπίδης Πρωτεσιλάῳ 'οὐ γὰρ — δόμων'.*

651

*πέπονθεν οἷα καὶ σὲ καὶ πάντας μένει.*

Stob. Flor. 124, 8.

652

*πόλλ' ἐλπίδες ψεύδουσι καὶ λόγοι βροτούς.*

Stob. Flor. 111, 4. *καὶ ἄλογοι* libri, *καὶ λόγοι* Dindorfius.

653

*οὐ θαῦμ' ἔλεξας θνητὸν ὄντα δυστυχεῖν.*

Stob. Flor. 98, 47.

654

*ὦ παῖδες, οἷον φίλτρον ἀνθρώποις φρενός*

Stob. Flor. 75, 7.

655

*κοινὸν γὰρ εἶναι χρῆν γυναικεῖον λέχος.*

Clemens Alex. Strom. VI p. 751: *Πλάτωνός τε ἐν πολιτείᾳ εἰπόντος κοινὰς εἶναι τὰς γυναῖκας, Εὐριπίδης ἐν Πρωτεσιλάῳ γράφει 'κοινὸν — λέχος'.*

656

*δυοῖν λεγόντοιν, θατέρου θυμουμένου,*
*ὁ μὴ ἀντιτείνων τοῖς λόγοις σοφώτερος.*

Stob. Flor. 19, 3. eosdem versus habent. Stob. Flor. 5, 18 et Plut. Mor. p. 10 A.

657

*οὐκ ἂν προδοίην καίπερ ἄψυχον φίλον.*

Dio Chrysost. 37, 46: *ἐγὼ δὲ κατὰ τὴν Εὐριπίδου Λαοδάμειαν 'οὐκ ἂν — φίλον'.*

658

*ὅστις δὲ πάσας συντιθεὶς ψέγει λόγῳ*
*γυναῖκας ἑξῆς, σκαιός ἐστι κοὐ σοφός·*
*πολλῶν γὰρ οὐσῶν τὴν μὲν εὑρήσεις κακήν,*
*τὴν δ' ὥσπερ αὕτη λῆμ' ἔχουσαν εὐγενές.*

Stob. Flor. 69, 9.

## ΡΑΔΑΜΑΝΘΥΣ

Veteres critici spuriam hanc fabulam iudicasse docet Vita Eurip. p. 135, 33. de argumento omnia incerta sunt. Preller huc referendum suspicatur Epigr. Cyzic. Anthol. Pal. 3, 13: *Ἀλκίδας ὁ θρασὺς Ῥαδαμάνθυϊ ματέρα τάνδε Ἀλκμήναν ὅσιον πρὸς λέχος ἐξέδοτο.*

659

*οἳ γῆν ἔχουσ' Εὐβοΐδα πρόσχωρον πόλιν*

Strab. VIII p. 356: *Στησίχορον δὲ καλεῖν πόλιν τὴν χώραν Πίσαν λεγομένην, ὡς ὁ ποιητὴς τὴν Λέσβον Μάκαρος πόλιν, Εὐριπίδης δ' ἐν Ἴωνι — καὶ ἐν Ῥαδαμάνθυϊ 'οἳ γῆν — πόλιν'.*

## ΜΥΣΟΙ (?)

Philodemus de piet. p. 22 ed. Gomp.: [*Εὐριπί*]*δης δ' ἐν Μυ*[*σοῖς καὶ*] *τὸν Δία καὶ* [*οὐρανὸ*]*ν ἡλιωπόν* (*λέγει*). ita lacunosum locum restitui voluit Th. Gomperzius. Philodemum in nomine fabulae errasse Dindorfius suspicatur.

## ΟΙΔΙΠΟΥΣ

Iohannes Mal. p. 53, 12: *ὁ γὰρ σοφώτατος Εὐριπίδης ποιητικῶς ἐξέθετο δρᾶμα περὶ τοῦ Οἰδίποδος καὶ τῆς Ἰοκάστης καὶ τῆς Σφιγγός.* summam argumenti omnes norunt, quid novarit Euripides et quam dispositionem instituerit parum constat. Vnger huic fabulae vindicandum suspicatur Soph. fr. 663, Meinekius adesp. fr. 107 et 309, alii adesp. fr. 6.

### 544

*οὐρὰν ὑπίλασ' ὑπὸ λεοντόπουν βάσιν*
*καθέζετο*

Aelianus N. A. 12, 7: *τοῦτό τοι καὶ Εὐριπίδης ὑπαινίττεται λέγων* '*οὐρὰν — καθέζετο*'. Erotianus Gloss. Hippocr. p. 130, 7: *ὑπείλλει· ὑποστρέφει, ὡς καὶ Εὐριπίδης ἐν Οἰδίποδι φησίν* '*οὐρὰν — βάσιν*'. Ath. XV p. 701 B: *καὶ ταῦτ' εἰπὼν* '*οὐρὰν — ὑπὸ βάσιν*' *ὑπεξῆλθε τοῦ συμποσίου.* vs. 1 *οὐρὰν δ'* Ael.

### 545

*ἡμεῖς δὲ Πολύβου παῖδ' ἐρείσαντες πέδῳ*
*ἐξομματοῦμεν καὶ διόλλυμεν κόρας.*

Schol. Eur. Phoen. 61: *ἐν δὲ τῷ Οἰδίποδι οἱ Λαΐου θεράποντες ἐτύφλωσαν αὐτόν* (Oedipum)· '*ἡμεῖς — κόρας*'.

### 546

*οὔτοι νόμισμα λευκὸς ἄργυρος μόνον*
*καὶ χρυσός ἐστιν, ἀλλὰ χἀρετὴ βροτοῖς*
*νόμισμα κεῖται πᾶσιν, ᾗ χρῆσθαι χρεών.*

Stob. Flor. 1, 3: *Εὐριπίδου Οἰδίποδος.* '*οὔτοι — χρεών*'. eosdem versus habet Orion Flor. Eurip. 20 p. 266,

18. vs. 1 et 2 Philodemus de rhetor. p. 237 Gr. (Herc. vol. V, 1 col. 27): *ἄξιον Εὐριπίδῃ λέγοντι πιστεύειν ʻοὔτοι — μόνον, ἀλλὰ καὶ ἀρετὴ βροτοῖςʼ*. item Clemens Alex. Strom. IV p. 575: *οὔκουν μόνον τοῦτο νόμισμα λευκὸς ἄργυρος ἢ χρυσός ἐστιν, ἀλλὰ καὶ ἡ ἀρετὴ βροτοῖς, ὥς φησιν ὁ Σοφοκλῆς*. vs. 3 *ἣν κτᾶσθαι* malim, sed fortasse ipse versus ab Euripide alienus est.

## 547

*μεγάλη τυραννὶς ἀνδρὶ τέκνα καὶ γυνή·*
*ἴσην γὰρ ἀνδρὶ συμφορὰν εἶναι λέγω*
*τέκνων θ' ἁμαρτεῖν καὶ πάτρας καὶ χρημάτων*
*ἀλόχου τε κεδνῆς, ὡς μόνον τῶν χρημάτων*
*ἡ κρεῖσσόν ἐστιν ἀνδρί, σώφρον' ἣν λάβῃ.*

Stob. Flor. 67, 1. vs. 1 legitur in Men. mon. 363, ubi *τελοῦσα* pro *τέκνα* scriptum est. *τυραννίς*] *τύχη τις* Meinekius. vs. 2 *ἀνδρὶ*] *οὐχὶ* O. Hense. vs. 4 *χρημάτων*] *κτημάτων* G. Hermannus. post versum 4 complura intercidisse coniecit Meinekius. vs. 5 *κρεῖσσον τόδ' ἐστὶν* (deleto *ἡ*) Fixius, *κράτιστόν ἐστιν* Musgravius, *γυνή ἐστι κρεῖσσον* Dobraeus.

## 548

*ἄλλων δὲ πάντων δυσμαχώτατον γυνή.*

Stob. Flor. 73, 5. *ἄλλως* ed., *ἄλλων* M, *κακῶν* exspectabam.

## 549

*πᾶσα γὰρ δούλη πέφυκεν ἀνδρὸς ἡ σώφρων γυνή·*
*ἡ δὲ μὴ σώφρων ἀνοίᾳ τὸν ξυνόνθ' ὑπερφρονεῖ.*

Stob. Flor. 69, 18: *Εὐριπίδου Οἰδίποδι. ʻπᾶσα — ὑπερφρονεῖʼ*. Clemens Alex. Strom. IV p. 592: *πῶς οὐ μάτην Εὐριπίδης γράφει; ποτὲ μὲν ʻπᾶσα γὰρ ἀνδρὸς — εὐδοκιμοῦσανʼ* (fr. 550), *ποτὲ δὲ ʻπᾶσα γαρ δούλη — ὑπερφέρειʼ*. vs. 1 Stob. Flor. 67, 2. vs. 2 *ὑπερφέρει* Clemens. C. Fr. Hermannus huc refert Eur. fr. 901.

550

*πᾶσα γὰρ ἀνδρὸς κακίων ἄλοχος,*
*κἂν ὁ κάκιστος*
*γήμῃ τὴν εὐδοκιμοῦσαν.*

Clemens Alex. Strom. IV p. 592 (v. fr. 549). Stob. Flor. 73, 28: *Εὐριπίδου Οἰδίπους.* '*κακίων ἄλοχος — εὐδοκιμοῦσαν*'. vs. 1 *κακίων* vitiosum, *χείρων* nescio quis apud Markland. in Eur. Suppl. p. 189 ed. Lips., ego *μείων* malim. vs. 2 *κράτιστος* Clem.

551

*ἑνὸς δ' ἔρωτος ὄντος οὐ μί' ἡδονή·*
*οἳ μὲν κακῶν ἐρῶσιν, οἳ δὲ τῶν καλῶν.*

Stob. Ecl. 1, 9, 2 p. 270. dirimenda sunt ab hoc loco quae accedunt, *ὁ δ' εἰς τὸ σῶφρον κτέ.* (v. fr. 671).

552

*νοῦν χρὴ θεᾶσθαι, νοῦν· τί τῆς εὐμορφίας*
*ὄφελος, ὅταν τις μὴ φρένας καλὰς ἔχῃ;*

Stob. Flor. 66, 1.

553

*ἀλλ' ἦμαρ ἕν τοι μεταβολὰς πολλὰς ἔχει.*

Stob. Flor. 105, 45: *ἐν τῷ αὐτῷ* (sc. Eur. Oedip.). '*ἀλλ' — ἔχει*'. cf. Chaerem. fr. 20: *τὸ τῆς τύχης τοι μεταβολὰς πολλὰς ἔχει.*

554

*ἐκ τῶν ἀέλπτων ἡ χάρις μείζων βροτοῖς*
*φανεῖσα μᾶλλον ἢ τὸ προσδοκώμενον.*

Stob. Flor. 111, 5. vs. 2 aut spurius aut corruptus.

555

*φθόνος δ' ὁ πολλῶν φρένα διαφθείρων βροτῶν*
*ἀπώλεσ' αὐτὸν κἀμὲ συνδιώλεσεν.*

Stob. Flor. 38, 9.

556

*πότερα γενέσθαι δῆτα χρησιμώτερον*
*συνετὸν ἄτολμον ἢ θρασύν τε κἀμαθῆ;*
*τὸ μὲν γὰρ αὐτῶν σκαιόν, ἀλλ' ἀμύνεται,*
*τὸ δ' ἡσυχαῖον ἀργόν· ἐν δ' ἀμφοῖν νόσος.*

Stob. Flor. 7, 10. vs. 2 *κἀμαθῆ* Grotius, *κέμμανῆ* libri.

557

*ἐκμαρτυρεῖν γὰρ ἄνδρα τὰς αὑτοῦ τύχας*
*εἰς πάντας ἀμαθές, τὸ δ' ἐπικρύπτεσθαι σοφόν.*

Stob. Flor. 109, 6.

558

*πολλάς γ' ὁ δαίμων τοῦ βίου μεταστάσεις*
*ἔδωκεν ἡμῖν μεταβολάς τε τῆς τύχης.*

Stob. Flor. 105, 44. vs. 1 *καταστάσεις* Lud. a Sybel.

559

*ὁρῶ γὰρ χρόνῳ*
*δίκαν πάντ' ἄγουσαν εἰς φῶς βροτοῖς.*

Stob. Ecl. 1, 3, 3 p. 104. vs. 2 *δίκαν* A, *δίκην* al.

560

*ἀηδόνα*

Hesych.: *ἀηδόνα· γλωσσίδα, μεταφορικῶς. Εὐριπίδης Οἰδίποδι.* cf. fr. 923.

561

*ἄναρθρος*

Hesych.: *ἄναρθρος· ἄτονος, ἀσθενής. Εὐριπίδης Οἰδίποδι.*

## ΟΙΝΕΥΣ

Fabulam ante olymp. 88, 3 actam esse docet Ar. Ach. 418: ΕΥΡ. *τὰ ποῖα τρύχη; μῶν ἐν οἷς Οἰνεὺς ὁδὶ ὁ δύσποτμος γεραιὸς ἠγωνίζετο*; ubi Schol.: *γέγραπται τῷ Εὐριπίδῃ δρᾶμα Οἰνεύς. μετὰ δὲ τὸν θάνατον Τυδέως καὶ ἐπιστρά-*

*τευσιν Διομήδους κατὰ Θηβαίων ἀφῃρέθη τὴν βασιλείαν Οἰνεὺς διὰ τὸ γῆρας ὑπὸ τῶν Ἀγρίου παίδων καὶ περιῄει ταπεινός, ἄχρις οὗ ἐπανελθὼν ὁ Διομήδης Ἄγριον μὲν ἀνεῖλε, τὴν βασιλείαν δὲ Οἰνεῖ ἀπέδωκε.* cf. Hyginus fab. 175 et Apollodorus 1, 8, 6. libri inter *Οἰνεῖ* et *Ἰνοῖ* passim fluctuant (fr. 405 408 411 417 419, cf. fr. 426).

562

ΔΙΟΜ. *Ὦ γῆς πατρῴας χαῖρε φίλτατον πέδον*
*Καλυδῶνος, ἔνθεν αἷμα συγγενὲς φυγὼν*
*Τυδεύς, τόκος μὲν Οἰνέως, πατὴρ δ' ἐμός,*
*ᾤκησεν Ἄργος, παῖδα δ' Ἀδράστου λαβὼν*
*συνῆψε γένναν*

Aristot. Rhet. 3, 16 p. 1417 a 15: *ἔτι πεπραγμένα δεῖ λέγειν ὅσα μὴ πραττόμενα ἢ οἶκτον ἢ δείνωσιν φέρει. παράδειγμα δὲ ὁ Ἀλκίνου ἀπόλογος καὶ ὁ ἐν τῷ Οἰνεῖ πρόλογος.* ubi Scholia fol. 77 (vel potius 78) b 19: *ὁ δὲ ἐν τῷ Οἰνεῖ πρόλογος παρὰ τῷ Εὐριπίδῃ ἐστὶ τοιοῦτος 'ὦ γῆς — γένναν'.* verba sunt Diomedis, item fr. 563. cum vs. 2 cf. Eur. Suppl. 148. vs. 5 *συνῆψε κῆδος* Valck.

563

*ἐγὼ δὲ πατρὸς αἷμ' ἐτιμωρησάμην*
*σὺν τοῖς ἐφηβήσασι καὶ τῶν ὀλωλότων*

Erotianus Gloss. Hippocr. p. 125, 9: *τιμωρέουσα· βοηθοῦσα, ὡς καὶ Εὐριπίδης ἐν Οἰνεῖ φησίν 'ἐγὼ δὲ — ὀλωλότων'.* vs. 2 *ἐφηβήσασι*] *ἐφ' ἥβης παισὶ* Madwig. *καὶ* deleri iussit Grotius. *παισίν* post *ὀλωλότων* lectum fuisse coniecit Hermannus.

564

*ἀλλ' ἄλλος ἄλλοις μᾶλλον ἥδεται τρόποις.*

Clemens Alex. Strom. VI p. 739: *Εὐριπίδης ἐν τῷ Οἰνεῖ φησίν 'ἀλλ' — τρόποις'.*

565

. . . . . *σὺ δὲ τρέφοντά νιν τρέφεις;*

Philostr. Heroic. p. 285, 12: *νυνὶ δέ μοι ἐκεῖνο εἰπέ· οἰκεῖα γεωργεῖς ταῦτα, ἢ δεσπότης μὲν αὐτῶν ἕτερος, σὺ δὲ τρέφοντα τοῦτον τρέφεις, ὥσπερ τὸν τοῦ Εὐριπίδου Οἰνέα.*

566

*πυκνοῖς δ' ἔβαλλον Βακχίου τοξεύμασι*
*κάρα γέροντος· τὸν βαλόντα δὲ στέφειν*
*ἐγὼ τετάγμην, ἆθλα κοσσάβων διδούς.*

Ath. XV p. 666 C: *κότταβος δ' ἐκαλεῖτο καὶ τὸ τιθέμενον ἆθλον τοῖς νικῶσιν ἐν τῷ πότῳ, ὡς Εὐριπίδης παρίστησιν ἐν Οἰνεῖ λέγων οὕτως 'πυκνοῖς — διδούς'.*

567

*σχολὴ μὲν οὐχί, τῷ δὲ δυστυχοῦντί πως*
*τερπνὸν τὸ λέξαι κἀποκλαύσασθαι πάλιν.*

Stob. Flor. 113, 1. cf. Galenus vol. 5 p. 423 (vol. 1 p. 284 ed. Basil., vol. 5 p. 153 Chart.): *λέγεται δὲ καὶ τοιαῦτα — εἰς τὸ κατὰ τὴν λύπην ἀγωγόν 'τοῖς δὲ δυστυχοῦσί πως τερπνὸν τὸ κλαῦσαι κἀποδύρασθαι τύχας'.* Galenum aberrasse ad Aesch. Prom. 637: *ὡς τἀποκλαῦσαι κἀποδύρασθαι τύχας*, vidit Huschkius. vs. 2 *πάλιν* suspectum.

568

*ὅταν κακοὶ πράξωσιν, ὦ ξένοι, καλῶς,*
*ἄγαν κρατοῦντες κοὐ νομίζοντες δίκην*
*δώσειν ἔδρασαν πάντ' ἐφέντες ἡδονῇ.*

Stob. Flor. 106, 3. verba sunt Oenei.

569

ΔΙΟΜ. *σὺ δ' ὧδ' ἔρημος ξυμμάχων ἀπόλλυσαι;*
ΟΙΝ. *οἳ μὲν γὰρ οὐκέτ' εἰσίν, οἱ δ' ὄντες κακοί.*

Ar. Ran. 72: *δέομαι ποιητοῦ δεξιοῦ· 'οἳ μὲν — κακοί'* (vs. 2). ubi Schol.: *Εὐριπίδου ἐξ Οἰνέως 'σὺ δ' ὧδ' — κακοί'.* Diomedis priorem esse versum, alterum Oenei, vidit Grotius. vs. 2 habet Greg. Cypr. 3, 22 a, imitatus videtur

Rhinthon ap. Cic. ad. Att. 1, 20, 3: *nam ut ait Rhinthon, ut opinor, οἳ μὲν παρ' οὐδέν εἰσι, τοῖς δ' οὐδὲν μέλει.*

570

*ὡς οὐδὲν ἀνδρὶ πιστὸν ἄλλο πλὴν τέκνων·*
*κέρδους δ' ἕκατι καὶ τὸ συγγενὲς νοσεῖ.*

Stob. Flor. 75, 3. priorem versum Diomedi, alterum Oeneo tribuit Herwerdenus.

571

*τὰς βροτῶν*
*γνώμας σκοπῶν ὥστε Μαγνῆτις λίθος*
*τὴν δόξαν ἕλκει καὶ μεθίστησιν πάλιν.*

Phot. Lex. p. 73, 12 et Suid. v. *Ἡρακλείαν λίθον: ἡ δὲ Μαγνῆτις ἀργύρῳ ὁμοία ἐστίν, ὡς Εὐριπίδης Οἰνεῖ* (*ὡς εὕροι νῦν* Phot.) '*τὰς — πάλιν*'. vs. 2 *σκοπῶν*] fort. *δοκεύων* legendum. respicit Plat. Ion. p. 533 D: *ὥσπερ ἐν τῇ λίθῳ, ἣν Εὐριπίδης μὲν Μαγνῆτιν ὠνόμασεν, οἱ δὲ πολλοὶ Ἡρακλείαν.*

572

Ar. Ach. 472: *καὶ γάρ εἰμ' ἄγαν ὀχληρός, οὐ δοκῶν με* (*γε* cod. Rav.) *κοιράνους στυγεῖν.* ubi Schol.: *ὀχληρός, οὐ δοκῶν μὲν κοιράνους*] *τοῦτο πεπαρῴδηται ἀσήμως ἐξ Οἰνέως Εὐριπίδου. ὁ δὲ Σύμμαχος καὶ ἐκ Τηλέφου φησὶν αὐτό.*

573

*ἀθράνευτον*

Hesych.: *ἀθράνευτον· ἄστρατον. Εὐριπίδης Οἰνεῖ.*

574

*ἀκρίζων*

Hesych.: *ἀκρίζων· ἄκροις ποσὶν ἐπιπορευόμενος. Εὐριπίδης Οἰνεῖ.*

ΟΙΝΟΜΑΟΣ

Argum. Eur. Phoen.: *ἐπὶ Ναυσικράτους ἄρχοντος δεύτερος Εὐριπίδης καθῆκε διδασκαλίαν περὶ τούτου καὶ γὰρ*

ταῦτα ὁ Οἰνόμαος καὶ Χρύσιππος καὶ σώζεται. quibus verbis quamvis truncatis hoc certe docemur, Oenomaum una cum Chrysippo et Phoenissis actam esse; Nausicrates archon ignotus. de mytho vide Hygin. fab. 84 Schol. Il. B, 104 al.

575

*ἀμηχανῶ δ' ἔγωγε κοὐκ ἔχω μαθεῖν,*
*εἴτ' οὖν ἄμεινόν ἐστι γίγνεσθαι τέκνα*
*θνητοῖσιν, εἴτ' ἄπαιδα καρποῦσθαι βίον.*
*ὁρῶ γὰρ οἷς μὲν οὐκ ἔφυσαν, ἀθλίους·*
*ὅσοισι δ' εἰσίν, οὐδὲν εὐτυχεστέρους.*
*καὶ γὰρ κακοὶ γεγῶτες ἐχθίστη νόσος,*
*κἂν αὖ γένωνται σώφρονες, κακὸν μέγα,*
*λυποῦσι τὸν φύσαντα μὴ πάθωσί τι.*

Stob. Flor. 76, 2. vs. 6 *ἐσχάτη* malim.

576

*ἓν ἔστι πάντων πρῶτον εἰδέναι τουτί,*
*φέρειν τὰ συμπίπτοντα μὴ παλιγκότως·*
*χοὐτός γ' ἀνὴρ ἄριστος αἵ τε συμφοραὶ*
*ἧσσον δάκνουσιν. ἀλλὰ ταῦτα γὰρ λέγειν*
*ἐπιστάμεσθα, δρᾶν δ' ἀμηχάνως ἔχει.*

Stob. Flor. 99, 8. vs. 1 *τουτί*] *τόδε* B, suspicabar *βροτῷ*.

577

*ἀλλ' ἔστι γὰρ δὴ κἀν κακοῖσιν ἡδονὴ*
*θνητοῖς ὀδυρμοὶ δακρύων τ' ἐπιρροαί·*
*ἀλγηδόνας δὲ ταῦτα κουφίζει φρενῶν*
*καὶ καρδίας ἔλυσε τοὺς ἄγαν πόνους.*

Stob. Flor. 122, 8. cum vs. 1 cf. Men. mon. 182: *ἔστιν τι κἀν κακοῖσιν ἡδονῆς μέρος.* vs. 2 *θρήνων τ' ὀδυρμοὶ* Burges.

578

*τεκμαιρόμεσθα τοῖς παροῦσι τἀφανῆ.*

Anecd. Oxon. vol. 4 p. 318, 20. vs. 6 *ἀποθνήσκοντα* suspectum. vs. 7 *γράψαντα λείπειν* Scaliger, *γράψαντ' ἐνισπεῖν* Th. Gomperzius. vs. 8 *κακὴν* Heathius. cum hoc loco Hermannus coniungit adesp. fr. 393:

*ἔπειτα πάσης Ἑλλάδος καὶ ξυμμάχων*
*βίον διῴκησ' ὄντα πρὶν πεφυρμένον*
*θηρσίν θ' ὅμοιον. πρῶτα μὲν τὸν πάνσοφον*
*ἀριθμὸν εὕρηκ' ἔξοχον σοφισμάτων,*

quos versus tradidit Stobaeus Ecl. 1, 1, 1 p. 4.

583

*. . πάλαι δή σ' ἐξερωτῆσαι θέλων,*
*σχολή μ' ἀπεῖργε*

Schol. BL Il. *B*, 353: *ἀστράπτων*] ὅτι ἀκαταλλήλως εἴρηται· ἔδει γὰρ ἀστράπτοντα καὶ φαίνοντα. ὡς καὶ Εὐριπίδης ἐν Παλαμήδει '*Λάιε πάλαι — ἀπεῖργε*'. fab. nom. om. anonymus *περὶ σχημάτων* in Rhet. vol. 8 p. 660 et Eust. Il. p. 236, 29. vs. 1 *Λάιε πάλαι* Schol. Il., *πάλαι* ceteri, *Λάρτιε πάλαι* Bergkius, *πάλαι πάλαι* temptabam, cf. Rhes. 396 Ar. Av. 921 Eur. Med. 1116.

584

*Ἀγάμεμνον, ἀνθρώποισι πᾶσι χρήματα*
*μορφὴν ἔχουσι, συντρέχει δ' εἰς ἓν τόδε·*
*τούτων δὲ πάντες, οἵ τε μουσικῆς φίλοι*
*ὅσοι τε χωρὶς ζῶσι, χρημάτων ὕπερ*
*μοχθοῦσιν, ὃς δ' ἂν πλεῖστ' ἔχῃ σοφώτατος.*

Stob. Flor. 91, 24. vs. 1 *πᾶσι χρήματα* AM, *πᾶσιν αἱ τύχαι* ceteri. vs. 2 *μομφὴν* Grotius. *εἰς ἓν τόδε* AM, *εἰς χρήματα* ceteri. vs. 3 *τούτου* Vind. *οἵ τε*] *οὔτε* AM. codex M repetit hunc locum post Flor. 91, 29 ibique vs. 1 *πᾶσιν αἱ τύχαι*, vs. 2 *εἰς χρήματα*, vs. 3 *τούτου* praebet. Heimsoethius vs. 1—3 hunc in modum refingi iussit: *τὴν ἴσην, Ἀγάμεμνον, ἀνθρώποισι πᾶσιν αἱ τύχαι μορφὴν ἔχουσι, συντρέχει δ' εἰς ἓν τόδε πάντων ἐπιμέλει'· οἵ τε μουσικῆς φίλοι κτἑ.* Vlixis esse verba coniecit Valck.

585

*στρατηλάται τἂν μυρίοι γενοίμεθα,*
*σοφὸς δ' ἂν εἷς τις ἢ δύ' ἐν μακρῷ χρόνῳ.*

Stob. Flor. 54, 8. vs. 1 *γενοίατο* Meinekius.

586

Aristophanes Ran. 1446—48:

*εἰ τῶν πολιτῶν οἷσι νῦν πιστεύομεν,*
*τούτοις ἀπιστήσαιμεν, οἷς δ' οὐ χρώμεθα,*
*τούτοισι χρησαίμεσθ', ἴσως σωθεῖμεν ἄν.*

ita Euripidem dicentem facit Aristophanes; respondet Dionysus vs. 1451: *εὖ γ', ὦ Παλάμηδες, ὦ σοφωτάτη φύσις.* hinc apparere videtur versus supra scriptos ex Euripidis Palamede esse depromptos*). quae his interposita sunt verba, *εἰ νῦν γε δυστυχοῦμεν ἐν τούτοισι, πῶς τἀναντία πράξαντες οὐ σωζοίμεθ' ἄν*; spuria esse iam alii intellexerunt. Euripidis acumen ridere videtur Ar. Ran. 1443: *ὅταν τὰ νῦν ἄπιστα πίσθ' ἡγώμεθα, τὰ δ' ὄντα πίστ' ἄπιστα.*

587

*ὅστις λέγει μὲν εὖ, τὰ δ' ἔργ' ἐφ' οἷς λέγει*
*αἴσχρ' ἐστὶν αὐτοῦ, τὸ σοφὸν οὐκ αἰνῶ τόδε.*

Orion Flor. 1, 6 p. 249, 20 et Ioh. Dam. post Stob. Ecl. p. 697, 16. vs. 2 *τοῦτον οὐκ αἰνῶ ποτε* Ioh. Dam.

588

*εἷς τοι δίκαιος μυρίων οὐκ ἐνδίκων*
*κρατεῖ τὸ θεῖον τὴν δίκην τε συλλαβών.*

Stob. Flor. 9, 13. vs. 2 *τὸ θεῖον*] *τό θ' ὅσιον* coniecit Meinekius.

589

*Θύσαν Διονύσου*

---

*) Id quod iam veteres coniecerunt interpretes. Schol. Ar. Ran. 1451: *εὖ γ', ὦ Παλάμηδες*] *πρὸς τὸν Εὐριπίδην, ὅτι εἰκὸς ἐκ Παλαμήδους πεπλάσθαι ταῦτα.*

*κόραν, ὃς ἀν' Ἴδαν*
*τέρπεται σὺν ματρὶ φίλᾳ*
*τυμπάνων ἰάκχοις*

Strab. X p. 470: *τὴν κοινωνίαν τῶν περὶ τὸν Διόνυσον ἀποδειχθέντων νομίμων παρὰ τοῖς Ἕλλησι καὶ τῶν παρὰ τοῖς Φρυξὶ περὶ τὴν μητέρα τῶν θεῶν συνοικειῶν ἀλλήλοις. Εὐριπίδης τε ἐν ταῖς Βάκχαις τὰ παραπλήσια ποιεῖ — καὶ ἐν Παλαμήδει φησὶν ὁ χορός 'οὐ — ἰάκχοις'*. vs. 3 *τυμπάνων ἐπ' ἰάκχοις* Did. Volkmannus. *ἰάκχοις* ex *ἰαχαῖς* ortum suspicor.

590

. . . *κώπην χρυσόκολλον*

Pollux 10, 145: *Εὐριπίδης μὲν ἐν Παλαμήδει λέγει κώπην χρυσόκολλον, Μένανδρος δὲ κτἑ.*

591

*ἐκάνετ' ἐκάνετε τὰν*
*πάνσοφον, ὦ Δαναοί,*
*τὰν οὐδέν' ἀλγύνουσαν ἀηδόνα Μουσᾶν.*

Philostr. Heroic. p. 313, 13: *ὡς σοφώτερόν τε καὶ ἀνδρειότερον ἑαυτοῦ τὸν Παλαμήδην ὁ Ὀδυσσεὺς ἀπέκτεινεν, ἱκανῶς ἐκ τούτου διδάσκει ὁ Πρωτεσίλεως, ὅθεν καὶ τὸν θρῆνον τὸν παρ' Εὐριπίδῃ ἐπαινεῖ, ὁπότε Εὐριπίδης ἐν Παλαμήδους μέλεσιν 'ἐκάνετε' φησίν 'ἐκάνετε — Μουσᾶν'*. eosdem versus habent Diog. L. 2, 44 Tzetz. Exeg. Il. p. 44, 14 et in Lycophr. 384. respicit auctor argumenti Isocr. Busir., cuius locum attulimus supra p. 81.

592

Harpocr. p. 61, 5: *διεκωδώνισε Δημοσθένης ἐν τῷ περὶ τῆς πρεσβείας* (§ 167) *ἀντὶ τοῦ διεπείρασε καὶ ἐξήτασεν. ἡ δὲ μεταφορὰ ἤτοι ἀπὸ περιπολούντων σὺν κώδωσι τῆς νυκτός, Εὐριπίδης Παλαμήδει, ἢ ἀπὸ τῶν δοκιμαζόντων τοὺς μαχίμους ὄρτυγας τῷ ἤχῳ τοῦ κώδωνος, ὡς Ἀρίσταρχος.* Schol. Ar. Av. 842: *κωδωνοφορῶν] οἱ περίπολοι οἱ τὰς φυ-*

*λακὰς περισκοποῦντες ἐρχόμενοι ἐπὶ τοὺς φύλακας κώδωνας εἶχον.* — *μήποτε δὲ παρακωμῳδεῖ τὸν Εὐριπίδου Παλαμήδην οὐ πρὸ πολλοῦ δεδιδαγμένον.*

593

*ἔμβολα*

Hesych.: *ἔμβολα· Εὐριπίδης Παλαμήδει καὶ Σκίρωνι, ἔμβολα· τὸ δὲ πολὺ ἀρρενικῶς λέγουσι τοὺς ἐμβόλους.* interpretatio excidit.

## ΠΕΙΡΙΘΟΥΣ

De argumento tragoediae praeter Hygini fab. 79 cf. Schol. Tzetz. Chil. in Anecd. Oxon. vol. 3 p. 359, 22: *καὶ ἡ Κόρη, ἣν ὁ Πειρίθοός τε καὶ Θησεὺς ἁρπάζειν μέλλοντες συνεσχέθησαν· καὶ Πειρίθοος μὲν κατεβρώθη, ὁ δὲ Θησεὺς ἐσώθη παρ' Ἡρακλέους· κατ' Εὐριπίδην σῴζονται καὶ οἱ δύο.* adde Greg. Cor. in Rhet. vol. 7 p. 1312 sq. minus probabilia videntur quae refert Tzetzes in Ar. Ran. 142 (v. Herwerd. in Soph. Oed. R. edit. mai. p. 214): *Θησεὺς καὶ Πειρίθους συνέθεντο ἁρπάσαι τὴν Περσεφόνην, ἔρωτα σχόντος αὐτῆς τοῦ Πειρίθου. κατελθόντες οὖν ἐν τῷ ᾅδῃ κατεσχέθησαν· καὶ ὁ μὲν Πειρίθους ὡς ἅρπαξ τῷ Κερβέρῳ κατάβρωμα γίνεται, Θησεὺς δὲ ὡς συνεργὸς ἀλλ' οὐχ ἅρπαξ κατασχεθεὶς ἐδέθη· ὕστερον δὲ Ἡρακλεῖ κατελθόντι διὰ τὸν Κέρβερον πάντα Θησεὺς τὰ ἐκεῖ ἀκριβέστερον ὑποτίθησιν, ὡς Εὐριπίδης διδάσκει τοῖς δράμασιν αὐτοῦ.* dubitatum fuisse utrum Euripidis esset fabula an Critiae docet Athenaeus (fr. 595), cf. Vita Eurip. p. 135, 33: *τούτων (Εὐριπίδου δραμάτων) νοθεύεται τρία, Τέννης Ῥαδάμανθυς Πειρίθους.* Welcker huc refert fr. 857 et 930.

594

*ἐμοὶ πατρὶς μὲν Ἄργος, ὄνομα δ' Ἡρακλῆς,*
*θεῶν δὲ πάντων πατρὸς ἐξέφυν Διός·*
*ἐμῇ γὰρ ἦλθε μητρὶ κεδνὸν εἰς λέχος*
*Ζεύς, ὡς λέλεκται τῆς ἀληθείας ὕπο.*
*ἥκω δὲ δεῦρο πρὸς βίαν Εὐρυσθέως*

Greg. Cor. in Rhet. vol. 7 p. 1312: *καὶ Εὐριπίδης ‛ Ζεὺς — ὕπο’* (vs. 4). *οὗτος ὁ στίχος ἐν δυσὶν εὕρηται δράμασιν Εὐριπίδου, ἔν τε τῷ λεγομένῳ Πειρίθῳ καὶ ἐν τῇ σοφῇ Μελανίππῃ. ἐν μὲν γὰρ τῷ Πειρίθῳ παρεισάγεται Ἡρακλῆς ἐν* (*ἐς* malim) *Ἅιδου κατελθὼν κατὰ κέλευσιν Εὐρυσθέως καὶ ὑπὸ τοῦ Αἰακοῦ ἐρωτώμενος ὅστις ἐστι καὶ ἀποκρινόμενος ‛ ἐμοὶ — Εὐρυσθέως’.* Euripidea verba prologum sapiunt. de vs. 4 cf. fr. 484.

595

*ἵνα πλημοχόας τάσδ’ εἰς χθόνιον*
*χάσμ’ εὐφήμως προχέωμεν*

Ath. XI p. 496 B: *πλημοχόη, σκεῦος κεραμεοῦν βεμβικῶδες — χρῶνται δὲ αὐτῷ ἐν Ἐλευσῖνι τῇ τελευταίᾳ τῶν μυστηρίων ἡμέρᾳ, ἣν καὶ ἀπ’ αὐτοῦ προσαγορεύουσι πλημοχόας· ἐν ᾗ δύο πλημοχόας πληρώσαντες τὴν μὲν πρὸς ἀνατολὰς τὴν δὲ πρὸς δύσιν ἀνιστάμενοι ἀνατρέπουσιν ἐπιλέγοντες ῥῆσιν μυστικήν. μνημονεύει δὲ αὐτῶν καὶ ὁ τὸν Πειρίθοον γράψας, εἴτε Κριτίας ἐστὶν ὁ τύραννος ἢ Εὐριπίδης, λέγων οὕτως ‛ ἵνα — προχέωμεν’.*

596

*σὲ τὸν αὐτοφυῆ τὸν ἐν αἰθερίῳ*
*ῥύμβῳ πάντων φύσιν ἐμπλέξανθ’,*
*ὃν πέρι μὲν φῶς, περὶ δ’ ὀρφναία*
*νὺξ αἰολόχρως, ἄκριτός τ’ ἄστρων*
*ὄχλος ἐνδελεχῶς ἀμφιχορεύει*

Clemens Alex. Strom. V p. 717 (Eusebius Pr. E. p. 681 B): *ἐν δὲ τῷ Πειρίθῳ δράματι ὁ αὐτὸς* (Eur.) *καὶ τάδε τραγῳδεῖ ‛ σὲ τὸν — ἀμφιχορεύει’.* vs. 1 et 2 habent Schol. Eur. Or. 981: *ὅμοιον τούτῳ τὸ ἐν Πειρίθῳ ‛ σὲ τὸν — ἐμπλέξαντα’.* Schol. Ap. Rhod. 4, 143: *καὶ Εὐριπίδης ἐν Πειρίθῳ ‛ σὲ τὸν — ῥύμβῳ’.* cf. Eust. in Dionys. P. 1134: *τινὲς δὲ ῥύμβον γράφουσι διὰ τοῦ Υ, ὡς Εὐριπίδης ἐν Πειρίθῳ αἰθέριον ῥύμβον φησίν.* Hesych.: *αἰθέρος ῥύμβος· οὐρανός.* vs. 5 spectare videtur Perictione Stobaei Flor. 79,

50: ἄστρων τὰ οὐρανὸς ἐναψάμενος (οὐρανὸν συναψάμενα coniecit Meinekius) αμφιχορεύει.

597

BIBLIOTHECA BODLEIANA

ἀκάμας τε πέριξ χρόνος ἀενάῳ
ῥεύματι πλήρης φοιτᾷ τίκτων
αὐτὸς ἑαυτόν, δίδυμοί τ' ἄρκτοι
ταῖς ὠκυπλάνοις πτερύγων ῥιπαῖς
τὸν Ἀτλάντειον τηροῦσι πόλον

Clemens Alex. Strom. V p. 667: περὶ τούτων οἶμαι καὶ ἡ τραγῳδία φυσιολογοῦσά φησιν 'ἀκάμας — πόλον. vs. 5 afferunt ex Euripidis Pirithoo Schol. Ar. Av. 179 (Suid. v. πόλος). vs. 1 πέριξ χρόνος Meinekius, χρόνος περί γ' Clem. vs. 5 τηροῦσι] φρουρῶν Schol. Ar. et Suid.

598

αἰδοῦς ἀχαλκεύτοισιν ἔζευκται πέδαις

Plut. Mor. p. 482 A: οὐ γὰρ ὁ συμπότης οὐδὲ ὁ συνέφηβος οὐδὲ ὁ ξένος 'αἰδοῦς — πέδαις', ἀλλ' ὁ σύναιμος. ibid. p. 533 A: εἶτα ὥσπερ ἐνέχυρον προέμενος τὴν ἐπαγγελίαν 'αἰδοῦς — πέδαις'. Euripidis esse versum docet Plut. Mor. p. 763 F: φιλίας καὶ κοινωνίας, οὐχ οἵαν Εὐριπίδης φησὶν ἀχαλκεύτοις ἐζεῦχθαι πέδαις. ad hanc fabulam relatus est propter Plut. Mor. p. 96 C: ἔνιοι τῶν φίλων οὐδὲν ἀπολαύσαντες εὐτυχούντων συναπόλλυνται δυστυχοῦσιν, καὶ τοῦτο μάλιστα πάσχουσιν οἱ φιλόσοφοι καὶ χαρίεντες, ὡς Θησεὺς τῷ Πειρίθῳ κολαζομένῳ καὶ δεδεμένῳ 'πέδαις ἀχαλκεύτοισιν ἔζευκται πόδας'. πέδαις δ' ἀχαλκεύτοις dixit Aesch. Choeph. 493. σώματα δεσμεύων ἐν ἀχαλκεύτοισι πέδῃσιν Orph. hymn. 85, 4.

599

οὐκ οὖν τὸ μὴ ζῆν κρεῖσσόν ἐστ' ἢ ζῆν κακῶς;

Stob. Flor. 121, 24: Εὐριπίδου Πειρίθου. 'οὐκ — κακῶς;' cf. Soph. fr. 445: τὸ μὴ γὰρ εἶναι κρεῖσσον ἢ τὸ ζῆν κακῶς.

607

*πρὸς κέντρα μὴ λάκτιζε τοῖς κρατοῦσί σου.*

Stob. Flor. 3, 22 et Schol. Pind. Pyth. 2, 173.

608

*τὸ δ' ἔσχατον δὴ τοῦτο θαυμαστὸν βροτοῖς*
*τυραννίς, οὐχ εὕροις ἂν ἀθλιώτερον.*
*φίλους τε πορθεῖν καὶ κατακτανεῖν χρεών,*
*πλεῖστος φόβος πρόσεστι μὴ δράσωσί τι.*

Stob. Flor. 49, 7. vs. 1 *ἐσχάτως* scripserim. vs. 3 fort. *πόλεις τε π. καὶ φίλους κτανεῖν?* vs. 4 *πλεῖστος*] *ἐπεὶ* Pflugkius.

609

*οὐκ ἔστι τὰ θεῶν ἄδικ', ἐν ἀνθρώποισι δὲ*
*κακοῖς νοσοῦντα σύγχυσιν πολλὴν ἔχει.*

Stob. Ecl. 2, 7, 2 p. 336 et Orion. Flor. Eur. 5 p. 265, 3. vs. 1 *τὰ τῶν θεῶν* Stob., *τὰκ θεῶν* Meinekius. *ἄδικα, τὰν βροτοῖσι δὲ* scribendum videtur.

610

*ὁρῶσι δ' οἱ διδόντες εἰς τὰ χρήματα.*

Stob. Flor. 92, 4.

611

*ἐν τοῖσι μὲν δεινοῖσιν ὡς φίλοι φίλων·*
*ὅταν δὲ πράξωσ' εὖ, διωθοῦνται χάριν*
*αὐτοὶ δι' αὐτοὺς εὐτυχεῖν ἡγούμενοι.*

Ioh. Dam. post Stob. Ecl. p. 721, 26. vs. 3 *δι' αὑτῶν* malim.

612

*ὁ γὰρ ξυνὼν κακὸς μὲν ἢν τύχῃ γεγώς,*
*τοιούσδε τοὺς ξυνόντας ἐκπαιδεύεται,*
*χρηστοὺς δὲ χρηστός· ἀλλὰ τὰς ὁμιλίας*

*ἐσθλὰς διώκειν, ὦ νέοι, σπουδάζετε.*

Ioh. Dam. post Stob. Ecl. p. 706, 11 et p. 725, 10. vs. 1 *γεγώς*] *γένος* p. 725. vs. 2 *ἐκπορίζεται* p. 706.

613

*φθείρου· τὸ γὰρ δρᾶν οὐκ ἔχων λόγους ἔχεις.*

Ioh. Dam. post Stob. Ecl. p. 697, 28. *ἔχεις*] *λέγεις* nescio quis.

614

*ἀντεμμάσασθαι*

Hesych.: *ἀντεμμάσασθαι· ἀνταποδοῦναι, ἐπιπλῆξαι. Εὐριπίδης Πολιάσιν* (*Πελιάσιν* Meursius). fortasse *ἀντεμμάξασθαι* (vel cum M. Schmidtio *ἀνταμμάξασθαι*) et *Εὔπολις Πόλεσιν* leg.

615

*ἀρταμεῖν*

Hesych.: *ἀρταμεῖν· κατακόπτειν. Εὐριπίδης Πελιάσι.*

616

*εὐστόχως*

Antiatt. p. 95, 23: *εὐστόχως· Εὐριπίδης Πελιάσιν.*

617

*κατηβολή*

Schol. Plat. p. 904 a 22: *κατηβολή, τὸ ἐπιβάλλον. Εὐριπίδης Τημένῳ καὶ Πελιάσι.* eadem Hesychius, ubi *κατηβόλη* codex.

618

*λύσιμον*

Antiatt. p. 106, 27: *λύσιμον· θηλυκῶς λέγει Εὐριπίδης Πελιάσιν.*

619

*ὄβρια*

Aelianus N. A. 7, 47: *τῶν δὲ ὑστρίχων καὶ τῶν τοιούτων τὰ ἔκγονα ὄβρια* (adde *καὶ ὀβρίκαλα*) *καλεῖται· καὶ*

*μέμνηταί γε Εὐριπίδης ἐν Πελιάσι τοῦ ὀνόματος καὶ Αἰσχύλος ἐν Ἀγαμέμνονι καὶ Δικτυουλκοῖς.* Euripides incertum utrum ὄβρια an ὀβρίκαλα dixerit.

## ΠΗΛΕΥΣ

Fortasse hanc fabulam respiciunt Horatius Epist. 2, 3, 95: *et tragicus plerumque dolet sermone pedestri Telephus et Peleus, cum pauper et exul uterque proicit ampullas et sesquipedalia verba*, et Ar. Nub. 1063: *ὁ γοῦν Πηλεὺς ἔλαβε διὰ τοῦτο* (sc. *διὰ τὸ σωφρονεῖν*) *τὴν μάχαιραν.* proposuerit poeta *Πηλέως συμφοράς, ὥς νιν χθονὸς Ἄκαστος ἐκβέβληκεν ὁ Πελίου γόνος* (Eur. Tro. 1127), qua de re cf. Apollod. 3, 13, 3 et Antoninus Liber. c. 38.

### 620

*οὐκ ἔστιν ἀνθρώποισι τοιοῦτος σκότος,*
*οὐ χῶμα γαίας κληστόν, ἔνθα τὴν φύσιν*
*ὁ δυσγενὴς κρύψας ἂν εἴη σοφός.*

Stob. Flor. 90, 7. vs. 2 *χῶμα* Meinekius, *δῶμα* libri. vs. 3 *κρύψας ἂν εἴη*] *κρύψειεν ἂν κἂν ᾖ* Lewis, *κρύψας ἂν ὀφθείη* Enger, fortasse *κρύψας ἂν ἐκβαίη* praeferendum.

### 621

*τὸν ὄλβον οὐδὲν οὐδαμοῦ κρίνω βροτοῖς,*
*ὅν γ' ἐξαλείφει ῥᾷον ἢ γραφὴν θεός.*

Stob. Flor. 93, 10.

### 622

*τὸ γῆρας, ὦ παῖ, τῶν νεωτέρων φρενῶν*
*σοφώτερον πέφυκε κἀσφαλέστερον·*
*ἐμπειρία γὰρ τῆς ἀπειρίας κρατεῖ.*

Stob. Flor. 115, 6. vs. 3 *ἡμπειρία* Porsonus. *γὰρ* Men. mon. 169, *τε* Stob.

### 623

*κλύετ' ὦ Μοῖραι Διὸς αἵ τε παρὰ*

*θρόνον ἀγχοτάτω θεῶν ἑζόμεναι*

Stob. Ecl. 1, 5, 10 p. 170.

624

. . *τὰ δ' ἔνθεν οὐκέτ' ἂν φράσαι λόγῳ*
*δακρύων δυναίμην χωρίς*

Ioh. Lydus de magistr. 3, 25 p. 217, 22: '*τὰ δ' ἔνθεν — χωρίς*' *κατὰ τὸν Εὐριπίδου Πηλέα.*

625 [a]

*βοάσομαί τἄρα τὰν ὑπέρτονον*
*βοάν· ἰώ, πύλαισιν ἦ τις ἐν δόμοις;*

Ar. Nub. 1154: *βοάσομαί τἄρα τὰν ὑπέρτονον βοάν. ἰώ, κλάετ' ὠβολοστάται.* ubi Schol.: *παρὰ τὰ ἐκ Πηλέως Εὐριπίδου· ἐπιφέρει γὰρ* '*ἰώ — δόμοις*'. *ἐν* om. R. *ἐκ Πηλέως Σοφοκλέους* Ven., ubi sequentia omittuntur. cf. Soph. fr. 448.

625 [b]

*πάρεσμεν, ἀλλ' οὐκ ἦσθ' ἂν οὐ παρόντα με.*

Etym. Flor. in Milleri *Mélanges de litt. Gr.* p. 153: *ἤδεισθα δὲ κατὰ συγκοπὴν ἦσθα γράφεται μετὰ τοῦ Ι. Εὐριπίδης Πηλεῖ* '*πάρεσμεν — με*'. *Ὦρος ὁ Μιλήσιος.* poetam *ἠσθάνου* voluisse conicit G. Wolffius.

626

*ἀρκεῖ*

Hesych.: *ἀρκεῖ· προσαρκεῖ, βοηθεῖ. Εὐριπίδης Πηλεῖ.*

## ΠΛΕΙΣΘΕΝΗΣ

Hyginus fab. 86: *Thyestes Pelopis et Hippodamiae filius quod cum Aeropa Atrei uxore concubuit, a fratre Atreo de regno est eiectus. at is Atrei filium Plisthenem, quem pro suo educaverat, ad Atreum interficiendum misit, quem Atreus credens fratris filium esse, imprudens filium suum occidit.*

627a

*οὐ τὸν σὸν ἔκταν πατέρα, πολέμιόν γε μήν.*

Schol. A Il. *Δ*, 319: *ἔκταν — ἐν χρήσει ὁρᾶται Ἀττικοῖς Εὐριπίδης Πλεισθένει ' οὐ τὸν — μήν'. οὐ τὸν σὸν ἔκταν πατέρα*] fortasse leg. *τὸν σὸν κατέκταν παῖδα*, quae verba sine p. et fab. nom. extant in Etym. M. p. 495 sq. et Etym. Gud. p. 305, 28. *πολέμιόν γε μήν*] *πολέμιον δ' ἐμόν* Th. Gomperzius.

627 b

*καὶ κάταιθε χῶ τι λῇς ποίει.*

Etym. Flor. in Milleri *Mélanges de litt. Gr.* p. 205: *λῇς* (*λῷς* cod.) *σὺν τῷ Ι δευτέρας συζυγίας ἀντὶ τοῦ θέλεις* (*θέλῃς* cod.) *Εὐριπίδης Πλεισθένει ' καὶ — ποίει'. κάταιθε χῶ τι λῇς* Duebner, *κάταιθ' ἔχ' ὠτειλῇς* cod. cf. Etym. M. p. 564, 22: *ὅθεν καὶ τὸ λῇς ἀντὶ τοῦ θέλεις μετὰ τοῦ Ι Εὐριπίδης*. Meinekius *πίμπρη με καὶ κάταιθε* coniecit.

628

*δήμῳ δὲ μήτε πᾶν ἀναρτήσῃς κράτος*
*μήτ' αὖ κακώσῃς, πλοῦτον ἔντιμον τιθείς,*
*μηδ' ἄνδρα δήμῳ πιστὸν ἐκβάλῃς ποτὲ*
*μηδ' αὖξε καιροῦ μεῖζον, οὐ γὰρ ἀσφαλές,*
*μή σοι τύραννος λαμπρὸς ἐξ ἀστοῦ φανῇ.*
*κόλουε δ' ἄνδρα παρὰ δίκην τιμώμενον·*
*πόλει γὰρ εὐτυχοῦντες οἱ κακοὶ νόσος.*

Stob. Flor. 43, 1. vs. 3 *χρηστὸν* Meinekius.

629

*εἰσὶν γὰρ εἰσὶ διφθέραι μελαγγραφεῖς*
*πολλῶν γέμουσαι Λοξίου γηρυμάτων*

Tzetz. in Anecd. Oxon. vol. 3 p. 373, 20: *Εὐριπίδης γὰρ μέμνηται διφθερῶν λέγων ἐν Πλεισθένει ' εἰσὶ γὰρ — γηρυμάτων'*. vs. 2 *πολιῶν* malim.

630

*μηλοσφαγεῖ τε δαιμόνων ἐπ' ἐσχάραις*

Eust. Od. p. 1564, 33: *Σοφοκλῆς δὲ καὶ ἀντὶ βωμοῦ οἶδεν ἐσχάραν. λέγει δὲ καὶ Εὐριπίδης 'μηλοσφαγεῖ τε — ἐσχάραις'.* Ammonius Valck. p. 34: *παρὰ δὲ Εὐριπίδῃ ἐσχάρα ἀντὶ τοῦ βωμοῦ κεῖται ἐν Πλεισθένει 'μῆλος φάγεται δαιμόνων ἐπ' ἐσχάρας'.* cf. Ar. Av. 1232: *θύειν τοῖς Ὀλυμπίοις θεοῖς μηλοσφαγεῖν τε βουθύτοις ἐπ' ἐσχάραις.*

631

*ἐγὼ δὲ Σαρδιανός, οὐκέτ' Ἀργόλας*

Steph. Byz. v. *Ἄργος* p. 113, 9: *λέγεται γὰρ καὶ Ἀργόλας — Εὐριπίδης ἐν Πλεισθένει 'ἐγὼ δὲ — Ἀργόλας'.*

632

*πολὺς δὲ κοσσάβων ἀραγμὸς*
*Κύπριδος προσῳδὸν ἀχεῖ*
*μέλος ἐν δόμοισιν.*

Ath. XV p. 668 B: *τῶν ἐρωμένων ἐμέμνηντο ἀφιέντες ἐπ' αὐτοῖς τοὺς λεγομένους κοσσάβους. διὸ — καὶ Εὐριπίδης ἐν Πλεισθένει 'πολὺς — δόμοισιν'.* cf. Eust. Il. p. 1170, 53: *κότταβον ὃν ὁ φιλοσίγματος Εὐριπίδης ἐν δυσὶ ΣΣ γράφει.* et mox *χρῆσις δὲ κοσσάβου ἐν τῷ 'πολὺς κοσσάβων ἀραγμός.'* Hesych.: *κότταβος· λάταξ. Εὐριπίδης Πλεισθένει.*

633

*πολλῶν τὰ χρήματ' αἴτι' ἀνθρώποις κακῶν.*

Stob. Flor. 93, 16.

634

*μόμφος*

Antiatt. p. 107, 19: *μόμφον· τὴν μέμψιν. Εὐριπίδης Πλεισθένει.* Eust. Od. p. 1761, 39: *ἐπὶ δὲ πᾶσι λέγει ὁ αὐτὸς γραμματικὸς* (Aristophanes) *καὶ μομφὸν παρ' Εὐριπίδῃ τὴν μέμψιν λεχθῆναι.*

## ΠΟΛΥΙΔΟΣ

De argumento Euripideae tragoediae ex Hygini fab. 136 et Apollod. 3, 3, 1 coniecturam facere licet. Schol. Aristid.

p. 728 sq.: *Πολύειδος πεποίηται δρᾶμα Εὐριπίδῃ, ἐν ᾧ βοῦν τρίχρωμον ποιεῖ εὑρῆσθαι*, ubi quae accedunt *περὶ οὗ γέγονεν αὐτοῖς φιλονεικία βασιλείας*, homini debentur imperito. noctuam a Polyido visam commemorat Aelianus N. A. 5, 2: *ἐν τῇ Κρήτῃ γλαῦκα μὴ γίνεσθαι φασὶ τὸ παράπαν —, ἔοικε δὲ ὁ Εὐριπίδης ἀβασανίστως πεποιηκέναι τὸν Πολύειδον ὁρῶντα τήνδε τὴν ὄρνιν καὶ ἐξ αὐτῆς τεκμηράμενον ὅτι εὑρήσει καὶ τὸν Γλαῦκον τὸν τεθνεῶτα τῷ Μίνωι υἱόν.* Valckenarius huic fabulae adscripsit adespota fr. 137 et 348. *Γλαῦκον* fabulam, quam ter laudat Stobaeus (fr. 638 644 645), ab hac non diversam esse dudum intellexerunt.

635

*ὅστις νέμει κάλλιστα τὴν αὑτοῦ φύσιν,*
*οὗτος σοφὸς πέφυκε πρὸς τὸ συμφέρον.*

Stob. Flor. 3, 20.

636

*οἱ τὰς τέχνας δ' ἔχοντες ἀθλιώτεροι*
*τῆς φαυλότητος· καὶ γὰρ ἐν κοινῷ ψέγειν*
*ἅπασι κεῖσθαι δυστυχὲς κοὐκ εὐτυχές.*

Stob. Flor. 61, 4.

637

*ἔα ἔα·*
*ὁρῶ γ' ἐπ' ἀκταῖς νομάδα κυματοφθόρον*
*ἁλιάετον· τὸν παῖδα χερσεύειν μόρος.*
*εἰ μὲν γὰρ ἐκ γῆς εἰς θάλασσαν ἔπτατο*
*ὁ κύματ' οἰκῶν ὄρνις, ἡρμήνευσεν ἂν*
*τὸν παῖδ' ἐν ὑγροῖς κύμασιν τεθνηκέναι·*
*νῦν δ' ἐκλιπὼν ἤθη τε καὶ νομὸν βίου*
*δεῦρ' ἔπτατ'· οὐκ οὖν ἔσθ' ὁ παῖς ἐν οἴδμασιν.*

Hermog. in Rhet. vol. 3 p. 327: *ὅμοιον τούτῳ καὶ τὸ Εὐριπίδου ἐν Πολυΐδῳ* '*εἰ μὲν — τεθνηκέναι*' (vs. 4—6). *τῷ γὰρ οἰκῶν παράκειται τὸ ἡρμήνευσεν ἄν· καθ' αὑτὸ*

δ' ἂν ἦν σκληρόν πως. ubi Scholion ab Valck. Diatr. p. 201 sq. editum: οὕτως ἔχουσι τὰ τοῦ Πολυΐδου ῥητά 'ἔα ἔα· ὁρῶ — οἴδμασιν'. Schol. Hermog. Rhet. vol. 7 p. 1072: 'εἰ μὲν — θάλασσαν' (vs. 4) ἀντὶ τοῦ εἰ ὁ ἀμφίβιος ὄρνις εἰωθὼς εἰς γῆν πέτεσθαι ἐκ θαλάσσης καὶ ἐκ γῆς εἰς θάλασσαν, κατοικῶν δὲ ἐν ὕδασιν. τὸ ἡρμήνευσέν ἐστιν ἡ δριμύτης· ἡ γὰρ ἑρμηνεία κυρίως ἐπὶ ἀνθρώπων ἐστίν, ἐνταῦθα δὲ τὸ ἐδήλωσε σημαίνει. ἡ πρώτη οὖν τροπὴ τὸ 'ὁ κύματα οἰκῶν' (vs. 5)· τὸ γὰρ οἰκεῖν οὐ κυρίως λέγοιτ' ἂν ἐπὶ κυμάτων· ἡ δευτέρα δὲ καὶ σκληροτέρα τὸ ἡρμήνευσεν, ὅπερ οὐ δοκεῖ τῷ παρακεῖσθαι τῷ οἰκῶν. similiter Ioh. Sicel. Rhet. vol. 6 p. 411 et Maximus Planudes Rhet. vol. 5 p. 536. vs. 2 κυματότροφον Ruhnk. vs. 7 νόμον vulgo, νομὸν L. Dindorfius.

## 638

φεῦ φεῦ, τὸ γῆρας ὡς ἔχει πολλὰς νόσους.

Stob. Flor. 116, 2: Εὐριπίδου Γλαύκῳ. 'φεῦ φεῦ — νόσους'. quae his nectuntur, γέροντι δ' οὐχ οἷόν τε μηκύνειν χρόνον. μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει, neque inter se neque cum versu supra scripto cohaerent. verba φεῦ φεῦ — νόσους repetit Floril. Monac. 129 p. 277, 3.

## 639

τίς δ' οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,
τὸ κατθανεῖν δὲ ζῆν κάτω νομίζεται;

Sextus Empir. p. 175, 1: ὁ γοῦν Εὐριπίδης φησὶν 'τίς δ' — νομίζεται;' eosdem versus afferunt Diog. L. 9, 73 et Schol. Plat. p. 912 a 47. cf. Scholion recens Ar. Ran. 1478. versum priorem et alterius dimidium (τίς — δὲ ζῆν) habent Plato Gorg. p. 492 E (Stob. Flor. 121, 36 Iambl. Protr. c. 17 p. 246) Schol. Eur. Hipp. 192 Schol. Ar. Ran. 1082 (Suid. v. τίς δ' οἶδεν) Clemens Alex. Strom. III p. 517 Origenes c. Cels. 7, 50 vol. 1 p. 730 F, versum priorem Tzetz. in Anecd. Oxon. vol. 4 p. 25, 26 et Eust. Opusc. p. 122, 55. parodia versus expressit Ar. Ran. 1477: τίς οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν, τὸ πνεῖν δὲ δειπνεῖν, τὸ δὲ καθεύδειν κῴδιον; respicit Ar. Ran. 1082: καὶ φασκούσας οὐ ζῆν τὸ ζῆν. de

fabula plerique testes silent; e Phrixo locum esse petitum tradunt Schol. Ar. Ran. 1082: *παρὰ τὰ ἐκ Φρίξου Εὐριπίδου 'τίς δ' — δὲ ζῆν'. ἀλλ' ὁ λέγων ἐστὶ Φρίξος, οὗτος δὲ* (Aristophanes) *ὡς παρὰ γυναικὸς εἰρημένον αὐτὸ λέγει.* et Schol. Plat. l. l.: *τὰ ἰαμβεῖα ἐκ τοῦ Φρίξου τοῦ δράματος Εὐριπίδου 'τίς — νομίζεται'.* item Schol. Ar. Ran. 1478 (cf. Suid. v. *τίς δ' οἶδεν*): *τὸ πνεῖν δὲ δειπνεῖν] παρὰ τὰ ἐκ Φρίξου Εὐριπίδου.* vide fr. 830. contra Schol. Eur. Hipp. 192: *ὡς καὶ αὐτὸς ἐν Πολυίδῳ 'τίς δ' — δὲ ζῆν'.* Schol. Ar. Ran. 1478: *ἐξ Ἱππολύτου Εὐριπίδου*, ubi *ἐκ Πολυΐδου* recte restituerunt. vs. 2 *κάτω νομίζεται] νομίζεται βροτοῖς* Diog. L., *ὑπνοῦν δὲ τὸ κατθανεῖν* Scholion recens Ar. Ran. 1478.

640

*μάτην γὰρ οἴκῳ σὸν τόδ' ἐκβαίη τέλος*

Schol. Il. K, 56: *τέλος — τὸ δαπάνημα, ὡς Εὐριπίδης ἐν Πολυείδῳ 'μάτην — τέλος'.* fabulae nomen omittunt Eust. Il. p. 789, 14 Scholion recens Ar. Ran. 368 Philem. Lex. p. 161. *οἴκῳ σὸν] οἴκῳ σῷ* Valck., *οἴκων σῶν* Cobetus.

641

*. . . ἀνθρώπων δὲ μαίνονται φρένες,*
*δαπάνας ὅταν θανοῦσι πέμπωσιν κενάς.*

Stob. Flor. 123, 1.

642

*πλουτεῖς, τὰ δ' ἄλλα μὴ δόκει ξυνιέναι·*
*ἐν τῷ γὰρ ὄλβῳ φαυλότης ἔνεστί τις,*
*πενία δὲ σοφίαν ἔλαχε διὰ τὸ συγγενές.*

Stob. Flor. 95, 7. vs. 3 affert Clemens Alex. Strom. IV p. 574: *εἴρηταί γε ἡ πενία σοφίαν λάχε διὰ τὸ συγγενές.* Themistius Orat. XIII p. 164 B: *ἤκουον γὰρ παρὰ τῶν ποιητῶν ὅτι πενίη σοφίαν ἔλαχε.* Zenobius 5, 72: *πενία δὲ σοφίαν ἔλαχε· κομματικῶς τοῦτο ἐκ τῶν Εὐριπίδου εἵλκυσται, παρόσον οἱ πένητες πολλὰς τέχνας ἐπιτηδεύουσιν.* Greg. Cypr. 3, 53: *πενίη σοφίην ἔλαχε.* cf. Diogenian. Vind. 3, 59 Greg. Cypr. Leid. 2, 100 Suid. v. *πενία.* Theodorus Prodro-

mus ἀνατροπὴν τοῦ 'ἡ πενίη σοφίην ἔλαχε' scripsit. συγγενές Clemens, δυστυχές Stob.

643

οὐ γὰρ παρὰ κρατῆρα καὶ θοίνην μόνον
τὰ χρήματ' ἀνθρώποισιν ἡδονὰς ἔχει,
ἀλλ' ἐν κακοῖσι δύναμιν οὐ μικρὰν φέρει.

Stob. Flor. 91, 8. vs. 1 οὐ γάρ τι Meinekius, οὐκ ἆρα malim. vs. 2 et 3 ἔχει et φέρει transponenda suspicor.

644

βαρὺ τὸ φρόνημ' οἴησις ἀνθρώπου κακοῦ.

Stob. Flor. 22, 1: Εὐριπίδου Γλαύκῳ (lemma om. M). 'βαρὺ τὸ — κακοῦ'. βαρύ τι malim. φόρημ' Salmasius.

645

ὅταν κακός τις ἐν πόλει πράσσῃ καλῶς,
νοσεῖν τίθησι τῶν ἀμεινόνων φρένας,
παράδειγμ' ἔχοντας τῶν κακῶν ἐξουσίαν.

Stob. Flor. 45, 3: τοῦ αὐτοῦ Γλαύκῳ. 'ὅταν — ἐξουσίαν'.

646

οὐδεὶς παρανομῶν πρὸς θεοὺς ἐχέγγυος.

Stob. Ecl. 1, 3, 39 p. 126.

647

οἶσθ' οὖν ὃ δρᾶσον;

Schol. Ar. Thesm. 870: 'οἶσθ' — δρᾶσον' Εὐριπίδης Πολυΐδῳ. Greg. Cor. p. 17 sq.: καὶ Εὐριπίδης ἐν Πολυΐδῳ τῷ δράματι 'οἶσθ' — δρᾶσον' ἀντὶ τοῦ δράσεις ἐξήνεγκε. iisdem verbis usus est Eur. Hec. 225 et alibi.

648

διαβάλλω

Erotianus Gloss. Hippocr. p. 62, 13: διεβλήθησαν — μέμνηται τῆς λέξεως καὶ ἐν Πολυείδῳ καὶ ἐν Ὀρέστῃ.

## ΠΡΩΤΕΣΙΛΑΟΣ

Schol. Aristid. p. 671 sq.: *ὁ Πρωτεσίλαος δρᾶμα γέγραπται Εὐριπίδῃ. λέγει δὲ ὅτι γαμήσας καὶ μίαν ἡμέραν μόνην συγγενόμενος τῇ γυναικὶ αὐτοῦ ἠναγκάσθη μετὰ τῶν Ἑλλήνων κατὰ τῆς Τροίας ἐλθεῖν καὶ πρῶτος ἐπιβὰς τῆς Τροίας ἐτελεύτησε. καὶ φασὶν ὅτι τοὺς κάτω δαίμονας ᾐτήσατο καὶ ἀφείθη μίαν ἡμέραν καὶ συνεγένετο τῇ γυναικὶ αὐτοῦ.* Euripidis vestigia legere probabile est Hyginum fab. 103 et 104. cf. Ovid. Heroid. Epist. 13.

649

*ἄξιος δ' ἐμὸς*
*γαμβρὸς κέκλησαι παῖδά μοι ξυνοικίσας.*

Phot. Lex. p. 410, 9, et Suid.: *πενθερὰ τῷ νυμφίῳ ἡ τῆς κόρης μήτηρ, καὶ πενθερὸς ὁ πατήρ· Εὐριπίδης δὲ γαμβρὸν αὐτὸν παρὰ τάξιν λέγει. — καὶ ὁ Πρωτεσίλαος τῷ Ἀκάστῳ φησὶν 'ἄξιος — ξυνοικίσας'.* vs. 2 *κεκλῆσθαι* Valck.

650

*οὐ γὰρ θέμις βέβηλον ἅπτεσθαι δόμων*

Schol. Soph. Oed. C. 10 (Suid. v. *βέβηλος*): *βέβηλος ἀνήρ, ὁ μιαρός. Εὐριπίδης Πρωτεσιλάῳ 'οὐ γὰρ — δόμων'.*

651

*πέπονθεν οἷα καὶ σὲ καὶ πάντας μένει.*

Stob. Flor. 124, 8.

652

*πόλλ' ἐλπίδες ψεύδουσι καὶ λόγοι βροτούς.*

Stob. Flor. 111, 4. *καὶ ἄλογοι* libri, *καὶ λόγοι* Dindorfius.

653

*οὐ θαῦμ' ἔλεξας θνητὸν ὄντα δυστυχεῖν.*

Stob. Flor. 98, 47.

654

*ὦ παῖδες, οἷον φίλτρον ἀνθρώποις φρενός*

Stob. Flor. 75, 7.

655

*κοινὸν γὰρ εἶναι χρῆν γυναικεῖον λέχος.*

Clemens Alex. Strom. VI p. 751: *Πλάτωνός τε ἐν πολιτείᾳ εἰπόντος κοινὰς εἶναι τὰς γυναῖκας, Εὐριπίδης ἐν Πρωτεσιλάῳ γράφει* '*κοινὸν — λέχος*'.

656

*δυοῖν λεγόντοιν, θατέρου θυμουμένου,*
*ὁ μὴ ἀντιτείνων τοῖς λόγοις σοφώτερος.*

Stob. Flor. 19, 3. eosdem versus habent. Stob. Flor. 5, 18 et Plut. Mor. p. 10 A.

657

*οὐκ ἂν προδοίην καίπερ ἄψυχον φίλον.*

Dio Chrysost. 37, 46: *ἐγὼ δὲ κατὰ τὴν Εὐριπίδου Λαοδάμειαν* '*οὐκ ἂν — φίλον*'.

658

*ὅστις δὲ πάσας συντιθεὶς ψέγει λόγῳ*
*γυναῖκας ἑξῆς, σκαιός ἐστι κοὐ σοφός·*
*πολλῶν γὰρ οὐσῶν τὴν μὲν εὑρήσεις κακήν,*
*τὴν δ' ὥσπερ αὕτη λῆμ' ἔχουσαν εὐγενές.*

Stob. Flor. 69, 9.

## ΡΑΔΑΜΑΝΘΥΣ

Veteres critici spuriam hanc fabulam iudicasse docet Vita Eurip. p. 135, 33. de argumento omnia incerta sunt. Preller huc referendum suspicatur Epigr. Cyzic. Anthol. Pal. 3, 13: *Ἀλκίδας ὁ θρασὺς Ῥαδαμάνθυϊ ματέρα τάνδε Ἀλκμήναν ὅσιον πρὸς λέχος ἐξέδοτο.*

659

*οἳ γῆν ἔχουσ' Εὐβοΐδα πρόσχωρον πόλιν*

Strab. VIII p. 356: *Στησίχορον δὲ καλεῖν πόλιν τὴν χώραν Πίσαν λεγομένην, ὡς ὁ ποιητὴς τὴν Λέσβον Μάκαρος πόλιν, Εὐριπίδης δ' ἐν Ἴωνι — καὶ ἐν Ῥαδαμάνθυϊ* '*οἳ γῆν — πόλιν*'.

660

*ἔρωτες ἡμῖν εἰσὶ παντοῖοι βίου.*
*ὃ μὲν γὰρ εὐγένειαν ἱμείρει λαβεῖν·*
*τῷ δ' οὐχὶ τούτου φροντίς, ἀλλὰ χρημάτων*
*πολλῶν κεκλῆσθαι βούλεται πάτωρ δόμοις·*
*ἄλλῳ δ' ἀρέσκει μηδὲν ὑγιὲς ἐκ φρενῶν*
*λέγοντι πείθειν τοὺς πέλας τόλμῃ κακῇ·*
*οἳ δ' αἰσχρὰ κέρδη πρόσθε τοῦ καλοῦ βροτῶν*
*ζητοῦσιν. οὕτω βίοτος ἀνθρώπων πλάνη.*
*ἐγὼ δὲ τούτων οὐδενὸς χρῄζω τυχεῖν,*
*δόξαν δὲ βουλοίμην ἂν εὐκλείας ἔχειν.*

Stob. Ecl. 2, 7, 12 p. 342: *τοῦ αὐτοῦ. 'ἔρωτες ἡμῖν — εὐκλείας ἔχειν'.* Stob. Flor. 64, 24: *Εὐριπίδου Ῥαδάμανθυς. 'ἔρωτες — πλάνη'* (vs. 1—8). vs. 4 sine fab. nom. affert Scholion Eur. Or. 1197. *δόμοις* Stob. Flor., *δόμων* Schol. Eur., *δ' ὅμως* Stob. Ecl.

661

*οὐδεὶς γὰρ ἡμᾶς . . ἐξαιρήσεται.*

Antiatt. p. 94, 1: *ἐξαιρεῖν ἀντὶ τοῦ ἀφαιρεῖν. Εὐριπίδης δὲ Ῥαδαμάνθυϊ 'οὐδεὶς — ἐξαιρήσεται', ἀντὶ τοῦ ἀφαιρήσεται.*

## ΣΘΕΝΕΒΟΙΑ

Ar. Ran. 1043 Aeschylum dicentem facit: *ἀλλ' οὐ μὰ Δί' οὐ Φαίδρας ἐποίουν πόρνας οὐδὲ Σθενεβοίας.* Scholion Greg. Cor. e codice Mediceo partim in Rhet. vol. 7 p. 1321, integrum ab Welckero Tragod. p. 777 editum: *ταῦτα λέγει Εὐριπίδης ἐν Σθενεβοίᾳ τῷ δράματι εἰσάγων τὸν Βελλεροφόντην γνωμολογοῦντα. ἔστι δὲ ἡ ὑπόθεσις αὕτη. Προῖτος ἦν Ἄβαντος υἱός, Ἀκρισίου δὲ ἀδελφός, βασιλεὺς δὲ Τίρυνθος. γήμας δὲ Σθενέβοιαν ἐξ αὐτῆς ἐγέννησε παῖδας*).*

---

*) Apollod. 2, 2, 1: *ὁ δὲ* (Proetus) *ἧκεν εἰς Λυκίαν πρὸς Ἰοβάτην, ὡς δὲ τινὲς φασὶ πρὸς Ἀμφιάνακτα, καὶ γαμεῖ τὴν τούτου θυγατέρα ὡς μὲν Ὅμηρος Ἄντειαν, ὡς δὲ οἱ τραγικοὶ Σθενέβοιαν.*

*Βελλεροφόντου δὲ φεύγοντος ἐκ Κορίνθου διὰ φόνον, αὐτὸν μὲν ἥγνισε τοῦ μύσους, ἡ γυνὴ δὲ αὐτοῦ τὸν Βελλεροφόντην ἠγάπησε· τυχεῖν δὲ οὐ δυναμένη τοῦ ἐπιθυμηθέντος διέβαλεν ὡς ἐπιθέντα αὐτῇ τὸν Κορίνθιον. πεισθεὶς δὲ ὁ Προῖτος ἐξέπεμψεν αὐτὸν εἰς Καρίαν ἵνα ἀπόληται, δέλτον δὲ ἣν ἐγεγράφει ἐκέλευσεν πρὸς Ἰοβάτην διακομίζειν. ὃ δὲ τοῖς γράμμασιν ἀκόλουθα πράττων προσέταξεν αὐτῷ διακινδυνεῦσαι πρὸς τὴν Χίμαιραν. ὃ δὲ ἀγωνισάμενος τὸ θηρίον ἀνεῖλε καὶ μετὰ ταῦτα ὑποστρέψας εἰς τὴν Τίρυνθα πρῶτον μὲν ἐμέμψατο τὸν Προῖτον, ἔπειτα δὲ καὶ τὴν Σθενέβοιαν ἠπείλησεν ἀπάγξειν. μαθὼν δὲ τὴν γυναῖκα τοῦ Προίτου δεύτερον ἐπιβουλεύουσαν αὐτῷ ἀνεχώρησεν ἀναβιβάσας ἐπὶ τὸν Πήγασον τὴν Σθενέβοιαν. καὶ ἐλθὼν ἐπὶ τὴν θάλασσαν ἤρθη εἰς ὕψος. γενόμενος δὲ κατὰ Μῆλον τὴν νῆσον εἰς τὴν θάλασσαν ἔρριψεν αὐτήν, ἣν ἀποθανοῦσαν εὑρόντες τινὲς ἁλιεῖς ἀναλαβόντες ἐκόμισαν εἰς Τίρυνθα. πάλιν δὲ ὑποστρέψας ὁ Βελλεροφόντης πρὸς τὸς Προῖτον αὐτὸς ὡμολόγησεν πεπραχέναι ταῦτα· δὶς γὰρ ἐπιβουλευθεὶς ὑπ' ἀμφοτέρων δίκην εἰληφέναι τὴν πρέπουσαν, τῆς μὲν εἰς τὸ ζῆν, τοῦ δὲ εἰς τὸ λυπεῖσθαι.* Schol. Ven. Ar. Pac. 140 (cf. Suid. v. *τραγικώτερος*): *δοκεῖ ὁ Βελλεροφόντης τὴν τοῦ Προίτου γυναῖκα μετὰ τὴν τῆς Χιμαίρας ἀναίρεσιν ἐπανελθὼν εἰς Κόρινθον ἀπατῆσαι ὡς ἕξων γυναῖκα καὶ ἐπιβιβάσας τοῦ Πηγάσου εἰς μέσην ῥῖψαι τὴν θάλασσαν.* Iohannes Malalas postquam de Proeto, Stheneboea, Bellerophonte, Iobata quaedam narravit, haec addit p. 84, 16: *καθὼς συνεγράψατο Εὐριπίδης ὁ τραγικὸς ποιητὴς πληρώσας τὸ δρᾶμα.* Ovidius Trist. 2, 397 tragoediarum argumenta recensens: *nam quid de tetrico referam domitore Chimaerae, quem leto fallax hospita paene dedit?* proclivi errore haec fabula cum Bellerophonte confunditur (vide fr. 663 665 670). Meinekius ex Stheneboea sumpta esse coniecit verba Aristophanis Pac. 140: *τί δ' ἢν ἐς ὑγρὸν πόντιον πέσῃ βάθος;* v. Trag. adesp. 41. ego in iis quae Suidas v. *χαμαιεύρετος* habet, *χαμαιεύρετόν με εὗρε καὶ ἀνεθρέψατο*, Stheneboeae versum *χαμαιπετῆ μ' ὃς εὗρε κἀνεθρέψατο* latere olim suspicatus sum coll. Ioh. Mal. p. 83, 13.

662

*Οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ·*
*ἢ γὰρ πεφυκὼς ἐσθλὸς οὐκ ἔχει βίον,*
*ἢ δυσγενὴς ὢν πλουσίαν ἀροῖ πλάκα.*

Ar. Ran. 1217: ΕΥΡ. — *πρὸς γὰρ τουτονὶ τὸν πρόλογον οὐχ ἕξει προσάψαι λήκυθον.* '*οὐκ ἔστιν — ἢ δυσγενὴς ὢν*' ΑΙΣΧ. *ληκύθιον ἀπώλεσεν.* ubi Schol. v. 1219: *τὸ λοιπὸν τοῦ ἰάμβου* '*πλουσίαν ἀροῖ πλάκα*'. *Σθενεβοίας δὲ ἡ ἀρχή.* eundem locum s. p. et fab. n. affert Gregorius Naz. vol. 2 p. 210 B. vs. 1 addito Euripidis nomine laudant Nicostratus Com. 3 p. 288 et Philippides Com. 4 p. 472, sine p. et fab. nom. habent Aristot. Rhet. 2, 21 p. 1394 b 2 anonymus in libro *Les papyrus Grecs* (Paris. 1866) p. 98 Plut. Mor. p. 103 B Men. mon. 697. vs. 3 affertur in Schol. Eur. Hec. 8 vol. 1 p. 223, 12.

663

*πολλοὺς δὲ πλούτῳ καὶ γένει γαυρουμένους*
*γυνὴ κατῄσχυν' ἐν δόμοισι νηπία.*

Stob. Flor. 68, 15. iidem versus cum lemmate *Εὐριπίδου Βελλεροφόντης* extant in Stob. Flor. 72, 6.

664

*ἄνευ τύχης γάρ, ὥσπερ ἡ παροιμία,*
*πόνος μονωθεὶς οὐκέτ' ἀλγύνει βροτούς.*

Stob. Flor. 29, 36. vs. 2 *οὐδὲν ἀλφάνει βροτοῖς* C. Schenkl.

665

*πέλας δὲ ταύτης δεινὸς ἵδρυται Κράγος*
*ἔνθηρος, ᾗ λῃστῆρσι φρουρεῖται πόρος*
*κλύδωνι δεινῷ καὶ βροτοστόνῳ βρέμων.*
*πτηνὸς πορεύσει*

Ar. Pac. 124: ΚΟΡΑΙ ΤΡΥΓΑΙΟΥ. *καὶ τίς πόρος σοι τῆς ὁδοῦ γενήσεται; ναῦς μὲν γὰρ οὐκ ἄξει σε ταύτην τὴν ὁδόν.* ΤΡΥΓΑΙΟΣ. *πτηνὸς πορεύσει πῶλος· οὐ ναυσθλώ-*

σομαι. ubi Schol. Ven. v. 125: ὁ λόγος ἐκ Σθενεβοίας Εὐριπίδου. τινὲς δὲ οἴονται ἐκ Βελλεροφόντου παρῳδῆσθαι. ἔστι δὲ ἐν Σθενεβοίᾳ παρὰ τῷ τραγικῷ οὕτως 'πέλας δὲ — πτηνὸς πορεύσει'. vs. 3 βαρυστόνῳ Dindorfius, βροτοκτόνῳ Meinekius. vs. 4 'πτηνὸς πορεύσει non liquet utrum tragici sint verba an Aristophanis ex versu proximo'. DINDORF. integrum versum πτηνὸς πορεύσει πῶλος· οὐ ναυσθλώσομαι Euripidis esse coniecit Meinekius.

666

ποιητὴν δ' ἄρα
Ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν.

Ar. Vesp. 1074: ῥᾳδίως ἐγὼ διδάξω, κἂν ἄμουσος ᾖ τὸ πρίν. ubi Schol.: ὁ στίχος Εὐριπίδου ἐκ Σθενεβοίας. Plut. Mor. p. 405 F: ὁ δ' Εὐριπίδης εἰπὼν ὡς Ἔρως ποιητὴν διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν, ἐνενόησεν ὅτι ποιητικὴν καὶ μουσικὴν ἔρως δύναμιν — κινεῖ. Plut. Mor. p. 762 B: καίπερ ὢν ἐρωτικὸς ὁ Εὐριπίδης τὸ σμικρότατον ἀπεθαύμασεν, ἐπεὶ 'ποιητὴν ἄρα Ἔρως — τὸ πρίν'. Plut. Mor. p. 622 C: πῶς εἴρηται τὸ 'μουσικὴν δ' ἄρα Ἔρως — τὸ πρίν' ἐζητεῖτο. Plat. Sympos. p. 196 E (Stob. Flor. 63, 36): πᾶς γοῦν ποιητὴς γίγνεται, κἂν ἄμουσος ᾖ τὸ πρίν, οὗ ἂν Ἔρως ἅψηται. Nicias Milesius in Argum. Theocr. Id. 11: ἦν ἄρ' ἀληθὲς τοῦτο, Θεόκριτε· οἱ γὰρ ἔρωτες πολλοὺς ποιητὰς ἐδίδαξαν τοὺς πρὶν ἀμούσους. Aristid. vol. 1 p. 51: (Διόνυσος) ποιεῖ χορευτήν, κἂν ἄμουσος ᾖ τὸ πρίν. ibid. p. 322: ὑφ' ὧν τις, 'κἂν ἄμουσος ᾖ τὸ πρίν' κατ' Εὐριπίδην, ἐμμελής τε καὶ δεξιὸς εὐθὺς γίγνεται. Longinus de subl. c. 39, 2: οὐ γὰρ αὐλὸς — ἀναγκάζει βαίνειν ἐν ῥυθμῷ καὶ συνεξομοιοῦσθαι τῷ μέλει τὸν ἀκροατήν, κἂν ἄμουσος ᾖ παντάπασι. vs. 1 ποιητὴν] μουσικήν Plut. Mor. p. 622 C.

667

πεσὸν δέ νιν λέληθεν οὐδὲν ἐκ χερός,
ἀλλ' εὐθὺς αὐδᾷ 'τῷ Κορινθίῳ ξένῳ'.

Ath. X p. 427 E: τοῖς δὲ τετελευτηκόσι τῶν φίλων ἀπένεμον τὰ πίπτοντα τῆς τροφῆς ἀπὸ τῶν τραπεζῶν. διὸ καὶ Εὐριπίδης περὶ τῆς Σθενεβοίας φησίν, ἐπειδὴ νομίζει τὸν

*Βελλεροφόντην τεθνάναι* '*πεσὸν — ξένῳ*'. vs. 2 ridet Cratinus Com. 2 p. 179: *ἴησι λάταγας τῷ Κορινθίῳ πέει*. item Ar. Thesm. 404: *ἀνὴρ ἐρωτᾷ· τῷ κατέαγεν ἡ χύτρα; οὐκ ἔσθ' ὅπως οὐ τῷ Κορινθίῳ ξένῳ*. ubi Scholia: *ἐκ Σθενεβοίας Εὐριπίδου*. Hesychius: *Κορίνθιος ξένος· ἐπὶ τῶν τὰς λάταγας ῥιπτούντων, ἀπὸ τῆς παρ' Εὐριπίδῃ Σθενεβοίας τῷ Βελλεροφῶντι ἀποχευούσης*.

668

*τοιαῦτ' ἀλύει· νουθετούμενος δ' Ἔρως*
*μᾶλλον πιέζει*

Ar. Vesp. 111: *τοιαῦτ' ἀλύει· νουθετούμενος δ' ἀεὶ μᾶλλον δικάζει*. ubi Schol.: *παρὰ τὰ Εὐριπίδου ἐκ Σθενεβοίας* '*τοιαῦτ' ἀλύει νουθετούμενος Ἔρως*'. Plut. Mor. p. 71 A: *οὐ γὰρ ἁπλῶς νουθετούμενος Ἔρως μᾶλλον πιέζει κατ' Εὐριπίδην, ἀλλ' ἐὰν νουθετῇ τις ἐν πολλοῖς κτἑ*. verba *νουθετούμενος δ' Ἔρως μᾶλλον πιέζει* habet Galenus vol. 5 p. 411 (vol. 1 p. 282 ed. Basil., vol. 5 p. 149 Chart.).

669

*τίς ἄνδρα τιμᾷ ξεναπάτην;*

Phot. Lex. v. *ξεναπάτας* p. 309, 14: *Εὐριπίδης Σθενεβοίᾳ* '*τίς — ξεναπάτην*'. Pollux 3, 58: *ξεναπάτην δὲ Εὐριπίδης εἴρηκε καὶ ξενοφόνον*.

670

*ὦ παγκακίστη καὶ γυνή· τί γὰρ λέγων*
*μεῖζόν σε τοῦδ' ὄνειδος ἐξείποι τις ἄν;*

Stob. Flor. 73, 20: *Εὐριπίδου Βελλεροφόντης*. '*ὦ — ἄν*'. ex Stheneboea esse haec verba a Bellerophonte dicta coniecit Meinekius.

671

*ὁ δ' εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' ἄγων ἔρως*
*ζηλωτὸς ἀνθρώποισιν· ὧν εἴην ἐγώ.*

Aeschines c. Timarch. § 151 (Greg. Cor. Rhet. vol. 7 p. 1322, cf. Hermog. Rhet. vol. 3 p. 436): *Εὐριπίδης ἕν τι*

*τῶν καλλίστων ὑπολαμβάνων εἶναι τὸ σωφρόνως ἐρᾶν, ἐν εὐχῆς μέρει τὸν ἔρωτα ποιούμενος λέγει που ‘ὁ δ' εἰς — ἐγώ’.* quo de loco Schol. cod. Medic. Greg. Cor. Rhet. vol. 7 p. 1321: *ταῦτα λέγει Εὐριπίδης ἐν Σθενεβοίᾳ τῷ δράματι εἰσάγων τὸν Βελλεροφόντην γνωμολογοῦντα.* iidem versus cum Eur. fr. 551 iuncti leguntur in Stob. Ecl. 1, 9, 2 p. 270.

672

*βίος δὲ πορφυροῦς θαλάσσιος*
*οὐκ εὐτράπεζος, ἀλλ' ἐπάκτιοι φάτναι.*
*ὑγρὰ δὲ μήτηρ, οὐ πεδοστιβής, τροφὸς*
*θάλασσα· τήνδ' ἀροῦμεν, ἐκ ταύτης βίος*
*βρόχοισι καὶ πέδαισιν οἴκαδ' ἔρχεται.*

Ath. X p. 421 F: *ἐν Σθενεβοίᾳ δ' Εὐριπίδης περὶ εὐτελείας λέγων ‘βίος — ἔρχεται’.* vs. 1 *πορφυρέως* Lobeckius.

673

*κομίζετ' εἴσω τήνδε· πιστεύειν δὲ χρὴ*
*γυναικὶ μηδέν, ὅστις εὖ φρονεῖ βροτῶν.*

Stob. Flor. 85, 6.

## ΣΙΣΥΦΟΣ ΣΑΤΥΡΙΚΟΣ

Acta est fabula olymp. 91, 1 teste Aeliano V. H. 2, 8 (vide p. 10). quae Plutarchus et Galenus ex Euripidis Sisypho afferunt, a Sexto Empirico probabilius tribuuntur Critiae, cuius cf. fr. 1.

674

*χαίρω γέ σ', ὦ βέλτιστον Ἀλκμήνης τέκος,*
*. . . τόν τε μιαρὸν ἐξολωλότα.*

Suidas: *χαίρω σε ἐληλυθότα· Ὠρωπικοὶ οὕτω λέγουσι. Εὐριπίδης Σισύφῳ ‘χαίρω — ἐξολωλότα’.* cf. Etym. M. p. 808, 6, ubi Euripidis verba vulgo omissa unus habet codex Flor. in Milleri *Mél. de litt. Gr.* p. 306 haec: *χαίρω σε, ὦ βέλτιστε, Ἀλκμήνης τέκος.* vs. 1 *γέ σ'*] *σέ γ'* Heath. vs. 2 *ἐλθόντα* supplet Heathius, *σωθέντα* Cobetus.

## 675

*ἑλίσσων*

Hesych.: *ἑλίσσων· πλέκων, ψευδόμενος, οὐκ ἐπὶ εὐθείας λέγων, ἢ κινῶν* (*κοινόν* codex). *Εὐριπίδης Σισύφῳ.* poetam *λόγους ἑλίσσων* dixisse coniecit Matthiae.

## ΣΚΕΙΡΩΝ ΣΑΤΥΡΙΚΟΣ

De Scirone vide praeter alios Plut. V. Thesei c. 10. Euripidem quae de Procruste vulgo narrantur ad Scironem transtulisse e fr. 677 conclusit Boettiger.

## 676

*καὶ τὰς μὲν ἄξει, πῶλον ἢν διδῷς ἕνα,*
*τὰς δ' ἢν ξυνωρίδ'· αἳ δὲ κἀπὶ τεσσάρων*
*φοιτῶσιν ἵππων ἀργυρῶν. φιλοῦσι δὲ*
*τὸν ἐξ Ἀθηνῶν παρθένους ὅταν φέρῃ*
*πολλάς*

Pollux 9, 75: *ἀλλὰ καὶ κόρη παρ' Ἀθηναίοις νόμισμα ἦν —. τάχα δ' ἂν εἴη κόρη, ὡς Εὐριπίδης ὠνόμασε παρθένον ἐν Σκίρωνι, λέγων περὶ τῶν ἑταιρίδων τῶν ἐν Κορίνθῳ 'καὶ τὰς — πολλάς'.*

## 677

*σχεδὸν χαμεύνῃ σύμμετρος Κορινθίας*
*παιδός, κνεφάλλου δ' οὐχ ὑπερτείνεις πόδα.*

Pollux 10, 35: *τῶν γὰρ ἀδοξοτέρων ἡ χαμεύνη καὶ τὸ χαμεύνιον· ἐν γοῦν τῷ σατυρικῷ Σκίρωνι Εὐριπίδης φησί 'σχεδὸν — πόδα'.* vs. 2 *ὑπερτενεῖς* Meinekius.

## 678

*οὐδὲ κωλῆνες νεβρῶν*

Ath. IX p. 368 D: *καὶ κωλῆνα δὲ λέγουσι καὶ κωλῆν — Εὐριπίδης Σκείρωνι 'οὐδὲ κωλῆνες νεκρῶν'.* cf. Hesych.: *κωλῆνες· ἀκροκώλια.*

679

ἔστι τοι καλὸν
κακοὺς κολάζειν

Stob. Flor. 46, 10.

680

ἢ προσπηγνύναι
κράδαις ἐριναῖς

Ath. III p. 76 C: μνημονεύει — ἐρινῶν συκῶν Εὐριπίδης ἐν Σκίρωνι ‘ἢ — ἐριναῖς’.

681

ἁμαρτεῖν

Hesych.: ἁμαρτητήν· ὁμοῦ προήκοντα δόρατα. Εὐριπίδης Σκείρωνι. sequitur ἁμαρτεῖν· ἀκολουθεῖν. Σοφοκλῆς δὲ ἐν Φιλοκτήτῃ ἐπὶ τοῦ ἀποτυχεῖν. scribendum: ἁμαρτεῖν· ἀκολουθεῖν. Εὐριπίδης Σκείρωνι. Σοφοκλῆς δὲ κτἑ. verbum ἁμαρτεῖν eadem qua ὁμαρτεῖν vi usurpari tradit Eust. Il. p. 592, 21.

682

ἔμβολα

Hesych., v. fr. 593.

## ΣΚΥΡΙΑΙ

Argumentum fere idem fuerit quod cognominis fabulae Sophocleae, Achilles apud Lycomedem Scyri regem inter virgines delitescens et Vlixis dolo detectus. Σκύριοι bis Stobaeus (fr. 684 et 685), Σκύριαι Hesychius et Lex. rhet. (fr. 686 et 687).

683

ἡ παῖς νοσεῖ σου κἀπικινδύνως ἔχει.
ΛΥΚ. πρὸς τοῦ; τίς αὐτὴν πημονὴ δαμάζεται;
μῶν κρυμὸς αὐτῆς πλευρὰ γυμνάζει χολῆς;

Sextus Empir. p. 671, 22: τὸ παρὰ τῷ Εὐριπίδῃ ἐπὶ τῇ Λυκομήδους θυγατρὶ Δηιδαμείᾳ λεγόμενον ‘ἡ παῖς — χολῆς’. πυνθάνεται γὰρ μή τι πλευριτικὴ γέγονε διὰ τὸ

τοὺς πλευριτικοὺς βήσσοντας ὑπόχολον ἀνάγειν. locus huc relatus est secundum Apollod. 3, 13, 8: κἀκεῖ τρεφόμενος (Achilles) τῇ Λυκομήδους θυγατρὶ Δηιδαμείᾳ μίγνυται. vs. 3 χειμάζει Ruhnken. χολῇ Valck.

684

σοφοὶ δὲ συγκρύπτουσιν οἰκείας βλάβας.

Stob. Flor. 109, 8: Εὐριπίδου Σκυρίοις. ‘σοφοὶ — βλάβας’. Orion Flor. 1, 10 p. 250, 12: ἐκ τῶν Σκυρίων. ‘σοφοὶ — βλάβας’.

685

φεῦ, τῶν βροτείων ὡς ἀνώμαλοι τύχαι.
οἳ μὲν γὰρ εὖ πράσσουσι, τοῖς δὲ συμφοραὶ
σκληραὶ πάρεισιν εὐσεβοῦσιν εἰς θεούς,
καὶ πάντ' ἀκριβῶς κἀπὶ φροντίδων βίον
οὕτω δικαίως ζῶσιν αἰσχύνης ἄτερ.

Stob. Flor. 105, 16: τοῦ αὐτοῦ Σκύριοι. ‘φεῦ τῶν — ἄτερ’. vs. 1—3 attulit Ioh. Lydus de mens. 4, 7 p. 55, 7 et 4, 62 p. 94, 1. iidem leguntur in Anth. Pal. 10, 107. vs. 3 εἰς θεούς] πρὸς θεούς Anthol., πρὸς θεοῦ Lydus p. 55, πρὸς θεόν p. 94. vs. 4 καὶ] f. κἂν leg. vs. 5 σὺν τῷ δικαίῳ Gesner.

686

ζεύγλας

Hesych.: ζεύγλας· ζυγοὶ ἢ μέρη τοῦ ζυγοῦ. καὶ ζευκτῆρες ἱμαντόδεσμοι. καὶ τροπωτῆρες. μεταφορικῶς Εὐριπίδης Σκυρίαις.

687

παρασάγγης

Lex. rhet. Cantabr. post Phot. p. 674, 27 (in Append. Lex. Vindob. edit. meae p. 353, 4. quicum cf. Milleri *Mél. de litt. Gr.* p. 397, unde discimus haec ἐκ τῶν Κλαυδίου Κασίλλωνος παρὰ τοῖς Ἀττικοῖς ῥήτορσι ζητουμένων esse excerpta): σαγγάνδαι (expectes ἀστάνδαι) δὲ οἱ ἀποστελλόμενοι καλοῦνται· Σοφοκλῆς δὲ ἐν τοῖς Ποιμέσι καὶ Εὐριπίδης ἐν Σκυρίαις παρασάγγας αὐτοὺς κεκλήκασιν.

## ΣΥΛΕΥΣ ΣΑΤΥΡΙΚΟΣ

Tzetzae Schol. Aristoph. Proleg. in Append. Lex. Vindob. edit. meae p. 245, 19: *Ἡρακλῆς πραθεὶς τῷ Συλεῖ ὡς γεωργὸς δοῦλος ἐστάλη εἰς τὸν ἀγρόν, τὸν ἀμπελῶνα ἐργάσασθαι· ἀνεσπακὼς δὲ δικέλλῃ προρρίζους τὰς ἀμπέλους ἁπάσας νωτοφορήσας τε αὐτὰς εἰς τὸ οἴκημα τοῦ γεωργοῦ θωμοὺς μεγάλους ἐποίησε, τὸν κρείττω τε τῶν βοῶν θύσας κατεθοινᾶτο, καὶ τὸν πιθεῶνα δὲ διαρρήξας καὶ τὸν κάλλιστον πίθον ἀποπωμάσας τὰς θύρας τε ὡς τράπεζαν θεὶς ἤσθιέ τε καὶ ἔπινεν ᾄδων, καὶ τῷ προεστῶτι δὲ τοῦ ἀγροῦ δριμὺ ἐνορῶν φέρειν ἐκέλευεν ὡραῖά τε καὶ πλακοῦντας, καὶ τέλος ὅλον ποταμὸν πρὸς τὴν ἔπαυλιν τρέψας τὰ πάντα κατέκλυσεν.* (*ἔστι δὲ τὸ τοιοῦτον Εὐριπίδου δρᾶμα* add. Anecd. Paris. vol. 1 p. 8, 3). Meinekius huc refert fr. 899.

### 688

*πίμπρη, κάταιθε σάρκας, ἐμπλήσθητί μου*
*πίνων κελαινὸν αἷμα· πρόσθε γὰρ κάτω*
*γῆς εἶσιν ἄστρα, γῆ δ' ἄνεισ' ἐς αἰθέρα,*
*πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον.*

Philo Iud. vol. 2 p. 461: *ἴδε γοῦν οἷα παρ' Εὐριπίδῃ φησὶν ὁ Ἡρακλῆς* '*πίμπρα, κάταιθε — λόγον*'. idem paulo post: *πάλιν τὸν αὐτὸν σπουδαῖον οὐχ ὁρᾷς ὅτι οὐδὲ πωλούμενος θεράπων εἶναι δοκεῖ, καταπλήττων τοὺς ὁρῶντας, ὡς οὐ μόνον ἐλεύθερος ὤν, ἀλλὰ καὶ δεσπότης ἐσόμενος τοῦ πριαμένου; ὁ γοῦν Ἑρμῆς πυνθανομένῳ εἰ φαῦλός ἐστιν, ἀποκρίνεται* '*ἥκιστα — δραστήριος*' (fr. 689). '*οὐδεὶς δ' — ἐμβολήν*' (fr. 690). *εἶτ' ἐπιλέγει τὸ ἦθος αὐτοῦ* '*σοῦ κατηγορῶ — θέλοις*' (fr. 691). *ἐπεὶ δὲ καὶ πριαμένου Συλέως εἰς ἀγρὸν ἐπέμφθη, διέδειξεν ἔργοις τὸ τῆς φύσεως ἀδούλωτον. τὸν μὲν γὰρ ἄριστον τῶν ἐκεῖ ταύρων καταθύσας Διὶ πρόφασιν εὐωχεῖτο, πολὺν δ' οἶνον ἐμφορήσας ἀθρόον εὖ μάλα κατακλιθεὶς ἠκρατίζετο. Συλεῖ δὲ ἀφικομένῳ καὶ δυσανασχετοῦντι ἐπί τε τῇ βλάβῃ καὶ τῇ τοῦ θεράποντος ῥᾳθυμίᾳ καὶ ἐπὶ τῇ περιττῇ καταφρονήσει, μηδὲν μήτε τῆς χρόας μήτε ὧν ἔπραττε μεταβαλὼν εὐτολμότατά φησι* '*κλίθητι — ἴσῃ*' (fr. 692). *τοῦτον οὖν πότερον δοῦ-*

*λον ἢ κύριον τοῦ δεσπότου ἀποφαντέον, μὴ μόνον ἀπελευθεριάζειν ἀλλὰ καὶ ἐπιτάγματα ἐπιτάσσειν τῷ κτησαμένῳ τολμῶντι, ὡς καὶ εἰ ἀφηνιάζοι τύπτειν καὶ προπηλακίζειν, εἰ δὲ καὶ βοηθοὺς ἐπάγοιτο, πάντας ἄρδην ἀπολλύναι;* versus supra scriptos sine poetae et fabulae nomine affert Philo Iud. vol. 1 p. 127 vol. 2 p. 53 et p. 449, item Euseb. Pr. E. p. 242 C. vs. 1 habet Artemidorus 4, 59.

689

*ἥκιστα φαῦλος, ἀλλὰ κἂν τοὐναντίον·*
*πρόσχημα σεμνὸς κοὐ ταπεινὸς οὐδ' ἄγαν*
*εὔογκος ὡς ἂν δοῦλος, ἀλλὰ καὶ στολὴν*
*ἰδόντι λαμπρὸς καὶ ξύλῳ δραστήριος.*

Philo Iud. vol. 2 p. 461 (vide fr. 688), qui Mercurii haec verba esse docet de Hercule dicta. vs. 2 *τὸ σχῆμα* Herwerdenus.

690

*οὐδεὶς δ' ἐς οἴκους δεσπότας ἀμείνονας*
*αὑτοῦ πρίασθαι βούλεται· σὲ δ' εἰσορῶν*
*πᾶς τις δέδοικεν· ὄμμα γὰρ πυρὸς γέμεις,*
*ταῦρος λέοντος ὡς βλέπων πρὸς ἐμβολήν.*

Philo Iud. vol. 2 p. 461 (vide fr. 688), qui cum fr. 689 iungit. Sylei potius verba sunt. vs. 1 *δεσπότης* Musgravius.

691

*σοῦ κατηγορῶ*
*σιγῶντος ὡς εἴης ἂν οὐχ ὑπήκοος,*
*τάσσειν δὲ μᾶλλον ἢ ἐπιτάσσεσθαι θέλοις.*

Philo Iud. vol. 2 p. 461 (vide fr. 688).

692

*κλίθητι καὶ πίωμεν· ἐν τούτῳ δέ μου*
*τὴν πεῖραν εὐθὺς λάμβαν' εἰ κρείσσων ἔσει.*

Philo Iud. vol. 2 p. 461 (vide fr. 688). vs. 1 *κλίνηθι* Herwerdenus.

693

τοῖς μὲν δικαίοις ἔνδικος, τοῖς δ' αὖ κακοῖς
πάντων μέγιστος πολέμιος κατὰ χθόνα.

Stob. Flor. 46, 1.

694

εἶα δή, φίλον ξύλον,
ἔγειρέ μοι σεαυτὸ καὶ γίγνου θρασύ.

Eust. Il. p. 107, 30: φέρει δὲ καὶ (Georgius Choerob.) χρῆσιν τῆς λέξεως (εἶα) κειμένην, φησί, παρ' Εὐριπίδῃ ἐν Συλεῖ ταύτην 'εἶα — θρασύ'. verba εἶα — σεαυτό afferunt Ioh. Alex. de accent. p. 25, 7 et Etym. M. p. 294, 46. versum 2 Apollonius de pron. p. 93 C. vs. 1 φίλον om. Ioh. et Etym. M. ξύλον] alios τύλον legisse docet Hesychius: τύλον· τὸ αἰδοῖον. οἱ δὲ ξύλον. fortasse huc respicit Lucianus Asin. 5 vol. 2 p. 572: ἄγε δὴ σὺ ὁ φάσκων ἐπιθυμεῖν ταύτης τῆς παραδόξου θέας, ἔγειρέ μοι σεαυτὸν καὶ τέχνην εὕρισκε σοφήν. cf. Suetou. Ner. c. 49: ἄγ' ἔγειρε σεαυτόν.

695

βαυβῶμεν εἰσελθόντες· ἀπόμορξαι σέθεν
τὰ δάκρυα.

Antiatt. p. 85, 11: βαυβᾶν· ἀντὶ τοῦ καθεύδειν. Εὐριπίδης Συλεῖ 'βαυβῶμεν — δάκρυα'.

## ΤΕΝΝΗΣ

Argumentum fabulae fortasse iis continetur quae prodit Conon Photii Bibl. p. 135b 19. spuriam hanc fabulam veteribus visam fuisse constat e Vita Eur. p. 135, 32 (vide supra p. 159). fortasse huc referendum est fr. 746.

696

φεῦ,
οὐδὲν δίκαιόν ἐστιν ἐν τῷ νῦν γένει.

Stob. Flor. 2, 17: τοῦ αὐτοῦ Τέννῃ (sic M, τένυ̃ A, Τημένῳ duo Schowii cod.). 'φεῦ — γένει'.

## ΤΗΛΕΦΟΣ

Iacobi Geelii de Euripidis Telepho commentatio prodiit in Annal. inst. Belg. a. 1830. fabula acta est olymp. 85, 2 (v. supra p. 15). de argumento cf. Hygini fab. 101. Schol. Ar. Nub. 919: *διαβάλλει Εὐριπίδην ὡς πτωχὸν εἰσενεγκόντα τὸν Τήλεφον.* quibus accedunt haec quae a melioribus libris absunt: *ὁ Τήλεφος βασιλεὺς ἦν Μυσίας, ὃν πλανηθέντων, ὅτε εἰς Τροίαν ἀπήρχοντο, τῶν Ἑλλήνων καὶ δῃούντων τὴν αὐτοῦ γῆν ἀντὶ τῆς Τροίας, Ἀχιλλεὺς ἔτρωσεν· καὶ πάλιν ἀποροῦντα τοῦ θεραπεύσοντος τῆς Πυθίας 'ὁ τρώσας ἰάσεται' ἀνελούσης παραγενόμενον εἰς Θετταλίαν τῷ χρησμῷ πεισθεὶς θεραπείας ἠξίωσε. δυστυχήσαντα δὲ ὕστερον πεποίηκεν Εὐριπίδης ἐν δράματι πήραν ἔχοντα καὶ προσαιτοῦντα.* Tzetzes in Ar. Nub. 922 (quem locum edidit Herwerdenus in Soph. Oed. R. p. 214): *οἷον πτωχὸν Εὐριπίδης συσκευάζει τὸν Τήλεφον στρατηγὸν ὄντα Μυσίας μετὰ πηρίου ἐλθόντα προσαίτην εἰς τὴν Ἑλλάδα καὶ τῆς Ἀγαμέμνονος αὐλῆς μόλις πυλωρὸν γεγονότα.* Telephi Euripidei habitum ridet Ar. Ach. 432 sqq., qui ei tribuit *ῥακώματα* 432, *πιλίδιον Μύσιον* 439, *πτωχικὸν βακτήριον* 448, *σπυρίδιον* 453, *κοτυλίσκιον τὸ χεῖλος ἀποκεκρουμένον* 459, *χυτρίδιον* 463. cf. quod Antisthenes narrat in Diog. L. 6, 87, Cratetem cynicae philosophiae se addixisse *θεασάμενον ἔν τινι τραγῳδίᾳ Τήλεφον σπυρίδιον ἔχοντα καὶ τἆλλα λυπρόν.* Maximus Tyrius VII p. 126: *ὁ Ἀγαμέμνων τὸ σκῆπτρον φέρει, ὁ βουκόλος διφθέραν, ὁ Ἀχιλλεὺς ὅπλα, ὁ Τήλεφος ῥακία καὶ θύλακον.* Pollux 4, 117: *ῥάκια δὲ Φιλοκτήτου ἡ στολὴ καὶ Τηλέφου.* Synesius de provid. p. 106 A: *καθάπερ ἐπὶ σκηνῆς ὁρῶμεν τοὺς τῆς τραγῳδίας ὑποκριτάς, ὅστις καλῶς ἐξήσκησε τὴν φωνήν, ὁμοίως ὑποκρινεῖται τόν τε Κρέοντα καὶ τὸν Τήλεφον, καὶ οὐδὲν τὰ ἀλουργῆ τῶν ῥακίων διοίσει πρὸς τὸ μέγα καὶ καλὸν ἐμβοῆσαι.* item huc spectat Horatius Epist. 2, 3, 95 (v. p. 166). Euripidem secutus videtur Ennius in Telepho, et Aristophanes nullam tragoediam saepius quam hanc parodia expressit*). olim huc referebatur fr. 880.

*) Telephi versum spectari suspicamur ab Aristoph. Ach. 465 sive Av. 948:

*ἄπελθε ταυτηνὶ (τουτονὶ) λαβών. ἀπέρχομαι.*

vide quae dixi in *Mélanges Gréco-Rom.* III p. 55.

Symmachus e Telepho repetita esse suspicatus est verba Aristophanis *καὶ γάρ εἰμ' ἄγαν ὀχληρός* Ach. 472, cf. fr. 572.

697

*Ὦ γαῖα πατρίς, ἣν Πέλοψ ὁρίζεται,*
*χαῖρ', ὅς τε πέτρον Ἀρκάδων δυσχείμερον*
*Πὰν ἐμβατεύεις, ἔνθεν εὔχομαι γένος.*
*Αὔγη γὰρ Ἀλέου παῖς με τῷ Τιρυνθίῳ*
*τίκτει λαθραίως Ἡρακλεῖ· ξύνοιδ' ὄρος*
*Παρθένιον, ἔνθα μητέρ' ὠδίνων ἐμὴν*
*ἔλυσεν Εἰλείθυια.*

Dionys. Hal. de C. V. 26 vol. 5 p. 219 sq. (p. 426 et 428 Schaef.): *ἐκ δὲ τῆς ποιήσεως τῆς ἰαμβικῆς τὰ Εὐριπίδου ταυτί 'ὦ — χαῖρ'· τὸ πρῶτον ἄχρι τούτου κῶλον. 'ὅστε — ἐμβατεύεις', τὸ δεύτερον μέχρι τοῦδε. 'ἔνθεν — γένος', τοῦτο τὸ τρίτον. τὰ μὲν πρότερα μείζονα στίχου, τοῦτο δ' ἔλαττον. 'Αὔγη — Ἡρακλεῖ', μετὰ τοῦτο 'ξύνοιδ' — Παρθένιον'· οὐδέτερον αὐτῶν στίχῳ συμμετρούμενον. εἶτ' αὖθις ἕτερον στίχου τ' ἔλαττον καὶ στίχου μεῖζον 'ἔνθα — Εἰλείθυια', καὶ τὰ ἑξῆς.* locum ad Telephum rettulit Vptonus. vs. 1 *οἰκίζεται* scribendum suspicor. vs. 3 *γένος*] *γεγώς* olim Lobeckius.

698

*πτώχ' ἀμφίβληστα σώματος λαβὼν ῥάκη*
*ἀρκτήρια τύχης*

Diogenes Epist. 5 in *Notices et Extr.* X, 2 p. 241: *Τήλεφόν τε τὸν Ἡρακλέους, ἡνίκα εἰς Ἄργος παρεγένετο, πολὺ χείρονι σχήματι τοῦ ἡμετέρου ἐμφανισθῆναι* (tragici poetae dicunt) *'πτωχὰ — τύχης'.* vs. 2 *ἀλκτήρια* Bernhardy. *τύχης*] *ψύχους* Dobraeus.

699

*δεῖ γάρ με δόξαι πτωχὸν [εἶναι τήμερον],*
*εἶναι μὲν ὅσπερ εἰμί, φαίνεσθαι δὲ μή.*

Ar. Ach. 440: *'δεῖ γάρ — δὲ μή'.* ubi Schol.: *οἱ δύο*

*στίχοι οὗτοι ἐκ Τηλέφου Εὐριπίδου.* versus prior aut corruptus aut ab Aristophane mutatus; *εἰς τὸ σήμερον* Meinekius.

700

*κώπης ἀνάσσων κἀποβὰς εἰς Μυσίαν*
*ἐτραυματίσθη πολεμίῳ βραχίονι.*

Aristot. Rhet. 3, 2 p. 1405 a 29: *τὸ δὲ ὡς ὁ Τήλεφος Εὐριπίδου φησί 'κώπης ἀνάσσειν καὶ ἀποβὰς εἰς Μυσίαν' ἀπρεπές, ὅτι μεῖζον τὸ ἀνάσσειν ἢ κατ' ἀξίαν.* ubi Scholia fol. 53 b 10: *κώπης εἶπεν ἀνάσσειν τὸν ἄρχοντα, τὸν δέκαρχον. μεταφορά ἐστι καὶ αὕτη ἀπὸ τοῦ βελτίονος. καὶ τὸ 'ἀποβὰς — βραχίονι'.* vs. 1 *ἀνάσσων* Stephani schol. in Anecd. Paris. vol. 1 p. 302, 25.

701

*μή μοι φθονήσητ', ἄνδρες Ἑλλήνων ἄκροι,*
*εἰ πτωχὸς ὢν τέτληκ' ἐν ἐσθλοῖσιν λέγειν.*

Ar. Ach. 497: *μή μοι φθονήσητ', ἄνδρες οἱ θεώμενοι, εἰ πτωχὸς ὢν ἔπειτ' ἐν Ἀθηναίοις λέγειν μέλλω.* ubi Scholia: *ἐκ Τηλέφου Εὐριπίδου 'μή μοι — ἐσθλοῖσιν λέγειν'.* vs. 1 repetit Alexis (Com. 3 p. 410) ap. Ath. XV p. 691 F.

702

*καλῶς ἔχει μοι· Τηλέφῳ δ' ἁγὼ φρονῶ*

Ar. Ach. 446: *εὐδαιμονοίης· Τηλέφῳ δ' ἁγὼ φρονῶ.* ubi Schol.: *παρὰ τὰ ἐκ Τηλέφου Εὐριπίδου 'καλῶς — φρονῶ'. καλῶς ἔχοιμι* libri, *κακῶς ἔχοι μοι* Dobraeus, ego *καλῶς ἔχει μοι* praetuli (*Eurip. Stud.* I p. 125). ceterum cf. Ath. V p. 186 C: *Ἀρκεσίλαον δὲ φασὶν εἰς συμπόσιον παρακληθέντα καὶ συγκατακλιθέντα ἑνὶ τῶν βορῶς ἐσθιόντων, αὐτὸν δὲ μηδενὸς ἀπολαῦσαι δυνάμενον, ἐπεί τις αὐτῷ τῶν παρόντων ἐξέτεινε, φάναι 'εὖ σοι γένοιτο, Τηλέφῳ δ' ἁγὼ νοῶ'.*

703

*οἶδ' ἄνδρα Μυσὸν Τήλεφον . . . .*

*εἴτ' ἐστὶ Μυσὸς εἴτε κἄλλοθέν ποθεν,*
*[ἐκ τοῦ] προσώπου Τήλεφος γνωρίζεται.*

Plat. Gorg. p. 521 B: *εἴ σοι Μυσόν γε ἥδιον καλεῖν, ὦ Σώκρατες.* ubi Olympiodorus in *Archiv f. Philol. u. Pädag.* vol. XIV p. 527: *ἡ παροιμία αὕτη ἐκ τοῦ Τηλέφου ἐστὶν Εὐριπίδου. ἐκεῖ γὰρ ἐρωτᾷ τις περὶ τοῦ Τηλέφου καὶ φησὶ τὸ ‘Μυσὸν Τήλεφον. εἴτε δὲ Μυσὸς ἦν εἴτε ἄλλοθέν ποθεν, πῶς ὅτι ὁ Τήλεφος γνωρίζεται’.* correxi haec ut potui; certum est quod vs. 1 addidi *οἶδ' ἄνδρα* ex Ar. Ach. 430, qui ipsa illa *οἶδ' ἄνδρα Μυσὸν Τήλεφον* Euripidi tribuit; ad integritatem versus haud incommode *ξένος δ' ὅδε* suppleveris. verba Vlixis esse suspicor.

## 704

*ἄνασσα, πράγους τοῦδε καὶ βουλεύματος*

Ar. Lys. 706: ‘*ἄνασσα — βουλεύματος*’. ubi Schol.: *ἄνασσα πράγους] ἐκ Τηλέφου Εὐριπίδου.* quae Aristophanes subicit, *τί μοι σκυθρωπὸς ἐξελήλυθας δόμων;* Euripidea esse coniecit Valck. Diatr. p. 210.

## 705

*ὦ Φοῖβ' Ἄπολλον Λύκιε, τί ποτέ μ' ἐργάσει;*

Ar. Eq. 1240: ‘*ὦ — ἐργάσει*’. ubi Schol.: *ὁ στίχος ἐκ Τηλέφου Εὐριπίδου.*

## 706

*Ἀγάμεμνον, οὐδ' εἰ πέλεκυν ἐν χεροῖν ἔχων*
*μέλλοι τις εἰς τράχηλον ἐμβαλεῖν ἐμόν,*
*σιγήσομαι δίκαιά γ' ἀντειπεῖν ἔχων.*

Stob. Flor. 13, 10. Telephi verba videntur.

## 707

*ἐρεῖ τις, οὐ χρῆν.*

Ar. Ach. 540: *ἐρεῖ τις οὐ χρῆν· ἀλλὰ τί ἐχρῆν εἴπατε.* ubi Scholia: *ἐρεῖ τις οὐ χρῆν] καὶ τοῦτο ἀπὸ Τηλέ-*

φου *Εὐριπίδου*. Euripides quid in fine iambi dixerit, nescimus: certe *τί ἐχρῆν εἴπατε* non dixit.

708

*. . τί γάρ με πλοῦτος ὠφελεῖ νόσον;*
*σμίκρ' ἂν θέλοιμι καὶ καθ' ἡμέραν ἔχων*
*ἄλυπος οἰκεῖν μᾶλλον ἢ πλουτῶν νοσεῖν.*

Sextus Empir. p. 557, 22: *οὔτε ἡδονῆς οὔτε πλούτου ὄφελός τι ἔστιν ἀπούσης αὐτῆς* (sc. *τῆς υγείας*)· '*τί γάρ — νοσεῖν*'. cum lemmate *Εὐριπίδου Τηλέφῳ* vs. 2 et 3 affert Stob. Flor. 93, 19 et 97, 11.

709

*οὔ τἄρ' Ὀδυσσεύς ἐστιν αἱμύλος μόνος·*
*χρεία διδάσκει, κἂν βραδύς τις ᾖ, σοφόν.*

Stob. Flor. 29, 55. priorem versum habet Plut. V. Lysandri c. 20, alterum in proverbium abiisse docet Suidas v. *χρεία*: *καὶ παροιμία* '*χρεία διδάσκει κἂν ἄμουσος ᾖ σοφὸν Καρχηδόνιον*'. quae ad Menandri *Καρχηδόνιον* a Toupio relata sunt (cf. Meinek. Com. 4 p. 146). vs. 1 *οὐκ ἄρα* Plut., *οὐ γὰρ* Stob., *οὐκ ἆρ'* Valck., *οὔ τἄρ'* Porson.

710

*καθῆσθ' ἂν ἐν δόμοισιν; ἦ πολλοῦ γε δεῖ.*

Ar. Ach. 543: *καθῆσθ'* — *δεῖ.* ubi Schol.: *ἦ πολλοῦ γε δεῖ*] *ἀντὶ τοῦ οὐδὲ ὅλως. καὶ τοῦτο ἐκ Τηλέφου.* Vlixis opinor verba sicut fr. 711 et 712, item 715 et 717.

711

*τὸν δὲ Τήλεφον*
*οὐκ οἰόμεσθα; νοῦς ἄρ' ὑμῖν οὐκ ἔνι.*

Ar. Ach. 555: *ταῦτ' οἶδ' ὅτι ἂν ἐδρᾶτε· 'τὸν δὲ — ἔνι'.* ubi Schol.: *τὸν δὲ Τήλεφον*] *καὶ ταῦτα Τηλέφου Εὐριπίδου.* verba *ταῦτ' οἶδ' ὅτι ἂν ἐδρᾶτε* Euripidea non sunt: an leg. *ταῦτ', οἶδα, κἂν ἐδρᾶτε*? certe sententia istius modi requiri-

tur. Aristides vol. 2 p. 19: *τὸν δὲ Τήλεφον οὐκ οἴει τὰ αὐτὰ ταῦτα;* ubi Schol. p. 376: *τὶς τῶν ποιητῶν εἰσάγει τὸν Τήλεφον ἐλέγχοντα τὸν Ὀδυσσέα ἐκ τῶν αὐτοῦ (αὐτῶν* recte p. 375) *λόγων οὓς πρὸς τὸν Τήλεφον εἶπε.* vs. 2 *ὑμῖν*] *ἡμῖν Γ.* nec vera est tradita lectio neque *ἧμιν* aut *ὗμιν* formam Euripides usurpavit.

712

*εἶτα δὴ θυμούμεθα*
*παθόντες οὐδὲν μεῖζον ἢ δεδρακότες;*

Ar. Thesm. 519: *κᾆτ' Εὐριπίδῃ θυμούμεθα, οὐδὲν παθοῦσαι μεῖζον ἢ δεδράκαμεν.* ubi Schol.: *παρὰ τὰ ἐκ Τηλέφου Εὐριπίδου 'εἶτα — δεδρακότες'.* vs. 2 *μεῖζον*] *μᾶλλον* Schol.

713

*ἅπασαν ἡμῶν τὴν πόλιν κακορροθεῖ*

Ar. Ach. 577: *ὦ Λάμαχ', οὐ γὰρ οὗτος ἅνθρωπος πάλαι 'ἅπασαν — κακορροθεῖ;'* ubi Schol.: *κακορροθεῖ· κακῶς ἀγορεύει. καὶ τοῦτο ἐκ Τηλέφου.*

714

*τί δ' ὦ τάλας; σὺ τῷδε πείθεσθαι μέλλεις;*

Ar. Ach. 454: *τί δ', ὦ τάλας, σὲ τοὖδ' ἔχει πλέκους χρέος;* ubi Scholia: *καὶ τοῦτο δὲ παρὰ τὰ ἐκ Τηλέφου Εὐριπίδου 'τί δ' — μέλλεις'.* Achillis verba fuerint. *μέλλεις*] *θέλεις* Valck., ego *με λῇς* temptabam.

715

*ὥρα σε θυμοῦ κρείσσονα γνώμην ἔχειν.*

Stob. Flor. 20, 37.

716

*κακός τίς ἐστι προξένῳ σοὶ χρώμενος.*

Ammon. Valck. v. *πρόξενος* p. 119: *οὐκ ὀρθῶς οὖν Εὐριπίδης ἐν Τηλέφῳ πρόξενον εἴρηκε τὸν ἰδιόξενον 'κακός — χρώμενος'.* eadem fere Etym. Gud. p. 481, 32.

717

*Ἕλληνες ὄντες βαρβάροις δουλεύσομεν;*

Clem. Alex. Strom. VI p. 746: *ἐν Τηλέφῳ εἰπόντος Εὐριπίδου 'Ἕλληνες — δουλεύσομεν;' Θρασύμαχος ἐν τῷ ὑπὲρ Λαρισαίων λέγει 'Ἀρχελάῳ δουλεύσομεν Ἕλληνες ὄντες βαρβάρῳ;'* Pseudo-Callisth. 1, 25 p. 25 sq.: *ἵνα μὴ Ἕλληνες ὄντες βαρβάρῳ δουλεύσωμεν.*

718

*κακῶς ὄλοιτ'· ἄξιον γὰρ Ἑλλάδι.*

Ar. Ach. 8: *φιλῶ τοὺς ἱππέας διὰ τοῦτο τοὔργον· ἄξιον γὰρ Ἑλλάδι.* ubi Schol.: *τὸ ἡμιστίχιον ἐκ τοῦ Τηλέφου Εὐριπίδου, ἔχον οὕτως 'κακῶς — Ἑλλάδι'.* cf. Suid. v. *παρῳδούμενος: τὸ 'ἄξιον γὰρ Ἑλλάδι' παρ' Εὐριπίδῃ καὶ παρ' Ἀριστοφάνει εἰρημένον.*

719

*μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν.*

Stob. Flor. 29, 9. idem versus est in Men. mon. 338, cum Sophoclis fr. 364 coniunctus exstat in Stob. Flor. 29, 25, sine p. et fab. n. legitur in Anecd. Boiss. vol. 1 p. 115 et Floril. Monac. 127 p. 276, 26.

720

*τόλμα σὺ κἄν τι τραχὺ νείμωσιν θεοί.*

Stob. Flor. 51, 8. verba poetae in libris leviter corrupta leguntur, quo factum est ut Meinekius in Men. p. 314 aliique non Euripidis, sed elegiaci poetae versum afferri existimarent.

721

*ἴθ' ὅποι χρῄζεις· οὐκ ἀπολοῦμαι*
*τῆς σῆς Ἑλένης εἵνεκα*

Ar. Nub. 891: *ἴθ' ὅποι χρῄζεις· πολὺ γὰρ μᾶλλόν σ' ἐν τοῖς πολλοῖσι λέγων ἀπολῶ.* ubi Schol.: *πάντα δὲ ἐκ Τηλέφου Εὐριπίδου 'ἴθ' — οὕνεκα'.* vs. 2 *εἵνεκα*] *οὕνεκα* vulgo.

722

*Σπάρτην ἔλαχες, κείνην κόσμει·*
*τὰς δὲ Μυκήνας ἡμεῖς ἰδίᾳ.*

Stob. Flor. 39, 10: *Εὐριπίδου Τήλεφος.* '*Σπάρτην — ἰδίᾳ*'. priorem versum habent Cicero ad Att. 4, 6, 2 Plut. Mor. p. 472 E p. 602 B Diogenianus 8, 16 Schol. Theocr. 5, 61 Psellus Boiss. p. 168 Macarius 7, 78; genuina verba liberius mutant Diogenianus 8, 46: *ἣν ἔλαχες Σπάρταν κόσμει*, et Gregorius Cyprius 2, 76 (cf. Greg. Cypr. cod. Mosq. 3, 82): *κόσμει Σπάρταν, ἣν ἔλαχες.* eundem versum respiciunt Cicero ad Att. 1, 20, 3 Synesius Epist. 100 p. 239 D (cf. Suid. v. *κόσμει*) Theodorus Metoch. p. 16 sq. Theodorus Hyrtac. Epist. 46 61 87 in *Notices et Extr.* V p. 723 VI p. 25 43 Nicephorus Chumn. Epist. 4 in Boiss. Anecd. Nov. p. 5 Schol. Eur. Or. 537.

723

*ὦ πόλις Ἄργους, κλύεθ' οἷα λέγει*

Ar. Eq. 813: '*ὦ πόλις — λέγει*'. ubi Schol. vs. 809: *τὸ δὲ 'ὦ πόλις Ἄργους' ἀπὸ Τηλέφου Εὐριπίδου· τὸ δὲ 'κλύεθ' οἷα λέγει' ἀπὸ Μηδείας.* Ar. Plut. 601: '*ὦ πόλις — λέγει*'. ubi Schol.: *ὦ πόλις Ἄργους] ταῦτα ἐκ Τηλέφου Εὐριπίδου τραγικεύεται.* verba *κλύεθ' οἷα λέγει* extant in Med. 168, iisdem in Telepho usum esse poetam probabiliter coniecit Elmsleius.

724

*σὺ δ' εἴκ' ἀνάγκῃ καὶ θεοῖσι μὴ μάχου·*
*τόλμα δὲ προσβλέπειν με καὶ φρονήματος*
*χάλα. τά τοι μέγιστα πολλάκις θεὸς*
*ταπείν' ἔθηκε καὶ συνέστειλεν πάλιν.*

Stob. Flor. 22, 32.

725

*πριστοῖσι λόγχης θέλγεται ῥινήμασιν*

Plut. Mor. p. 46 F: *οὐ γὰρ μόνον, ὡς Εὐριπίδης φησί, τὸ Τηλέφου τραῦμα 'πριστοῖσι — ῥινήμασιν', ἀλλὰ καὶ*

τὸν ἐκ φιλοσοφίας ἐμφυόμενον εὐφυέσι νέοις δηγμὸν αὐτὸς ὁ τρώσας λόγος ἰᾶται.

726

ψυκτήρ

Schol. Plat. p. 960b 7: ψυκτήρ, σκεῦος ἔνθα διανίζουσι τὰ ποτήρια, ἢ ποτηρίου εἶδος, ὡς Εὐριπίδης Τηλέφῳ.

727ᵃ

ἀπέπτυσ' ἐχθροῦ φωτὸς ἔχθιστον τέκος.

Ar. Pac. 528: ἀπέπτυσ' ἐχθροῦ φωτὸς ἔχθιστον πλέκος. ubi Schol. Ven.: ἔστι δὲ Εὐριπίδου ἐκ Τηλέφου ἢ Τληπολέμου τὸ 'ἀπέπτυσ' — τέκος'. verba ἢ Τληπολέμου delet Meinekius.

727ᵇ

λοχαῖον σῖτον

Etym. Flor. in Milleri *Mélanges de litt. Gr.* p. 208: λόχαιον· τὸν κεκλιμένον, ἐν ᾧ ἔστι λοχῆσαι. Εὐριπίδης Τηλέφῳ. καὶ ἐν Ἀλκήστιδι (vs. 846) 'κἄνπερ λοχαίας αὐτὸν ἐξ ἕδρας'. lemma λοχαῖον σῖτον restituit Dindorfius ex Phot. Lex. p. 232, 12: λοχαῖος σῖτος· ὁ βαθὺς ἢ ὁ δι' ἐπομβρίαν κεκλιμένος. eodem spectat corrupta Hesychii glossa λοχαῖος.

## ΤΗΜΕΝΙΔΑΙ

Τημενίδες pro Τημενίδαι plerumque praebet Stobaeus, quem errorem esse suspicor librariorum, qui dativo Τημενίδαις vitiose Τημενίδες scripto decepti fuerint. genuinam inscriptionem confirmat Dioscorides Anth. Pal. 11, 195:

Γάλλον Ἀρισταγόρης ὠρχήσατο· τοὺς δὲ φιλόπλους
Τημενίδας ὁ κακῶν πολλὰ διῆλθον ἐγώ.
χὼ μὲν τιμηθεὶς ἀπεπέμπετο· τὴν δὲ τάλαιναν
Ὑρνηθὼ κροτάλων εἷς ψόφος ἐξέβαλεν.

de argumento fabulae praeter Pausan. 2, 19 et 28 cf. Nicol. Damasc. in Mülleri Fragm. Hist. vol. 3 p. 376 et Diod. Sic. ibid. vol. 2 p. VIII.

728

. . φιλεῖ τοι πόλεμος οὐ πάντων τυχεῖν,
ἐσθλῶν δὲ χαίρει πτώμασιν νεανιῶν,
κακοὺς δὲ μισεῖ. τῇ πόλει μὲν οὖν νόσος
τόδ' ἐστί, τοῖς δὲ κατθανοῦσιν εὐκλεές.

Stob. Flor. 50, 1.

729

εἰκὸς δὲ παντὶ καὶ λόγῳ καὶ μηχανῇ
πατρίδος ἐρῶντας ἐκπονεῖν σωτηρίαν.

Stob. Flor. 39, 1.

730

ἅπασα Πελοπόννησος εὐτυχεῖ πόλις

Pollux 9, 27: τοῖς γὰρ ποιηταῖς καὶ τὰς χώρας λέγουσι πόλεις οὐ προσεκτέον, ὡς παρ' Εὐριπίδῃ — ἐν Τημενίδαις 'ἅπασα — πόλις'.

731

οὐκ ἔστι κρεῖσσον ἄλλο πλὴν κρατεῖν δορί.

Stob. Flor. 51, 2.

732

ῥώμη δέ τ' ἀμαθὴς πολλάκις τίκτει βλάβην.

Stob. Flor. 54, 17. τ'] γ' Matthiae.

733

τοῖς πᾶσιν ἀνθρώποισι κατθανεῖν μένει.
κοινὸν δ' ἔχοντες αὐτὸ κοινὰ πάσχομεν
πάντες· τὸ γὰρ χρεὼν μεῖζον ἢ τὸ μὴ χρεών.

Stob. Flor. 124, 29. vs. 2 fortasse πάντες δ' ἔχοντες legendum ex vs. 3, ubi scripserim τὸ γὰρ χρεὼν οὐκ ἔστι μὴ χρεὼν ποιεῖν (vide adesp. fr. 301).

734

ἀρετὴ δὲ κἂν θάνῃ τις οὐκ ἀπόλλυται,

ζῇ δ' οὐκέτ' ὄντος σώματος· κακοῖσι δὲ
ἅπαντα φροῦδα συνθανόνθ' ὑπὸ χθονός.

Stob. Flor. 1, 4. vs. 1 affert Sextus Empir. p. 660, 25.

735

ἀσύνετος ὅστις ἐν φόβῳ μὲν ἀσθενής,
λαβὼν δὲ μικρὸν τῆς τύχης φρονεῖ μέγα.

Stob. Flor. 4, 10.

736

ὡς σκαιὸς ἀνὴρ καὶ ξένοισιν ἄξενος
καὶ μνημονεύων οὐδὲν ὧν ἐχρῆν φίλον.
σπάνιον ἄρ' ἦν θανοῦσιν ἀσφαλεῖς φίλοι,
κἂν ὁμόθεν ὦσι· τὸ γὰρ ἔχειν πλέον κρατεῖ
τῆς εὐσεβείας· ἡ δ' ἐν ὀφθαλμοῖς χάρις
ἀπόλωλ', ὅταν τις ἐκ δόμων ἀνὴρ θάνῃ.

Stob. Flor. 126, 6 et 7. vs. 4 πλέον σθένει malim, sicut in Soph. fr. 854 πλέον σθένουσιν ἢ κράτος requiritur.

737

καλόν γ' ἀληθὴς κἀτενὴς παρρησία.

Stob. Flor. 13, 8.

738

πολλοὶ γεγῶτες ἄνδρες οὐκ ἔχουσ' ὅπως
δείξουσιν αὑτοὺς τῶν κακῶν ἐξουσίᾳ.

Stob. Flor. 106, 7.

739

φεῦ φεῦ, τὸ φῦναι πατρὸς εὐγενοῦς ἄπο
ὅσην ἔχει φρόνησιν ἀξίωμά τε.
κἂν γὰρ πένης ὢν τυγχάνῃ, χρηστὸς γεγὼς
τιμήν ἔχει τιν', ἀναμετρούμενος δέ πως
τὸ τοῦ πατρὸς γενναῖον ὠφελεῖ τρόπῳ.

Stob. Flor. 88, 2. vs. 2 ἔχει δόκησιν ἀξιώματος Mei-

nekius, ἔχει τ' ὄνησιν ἀξίωμά τε Fr. G. Schmidtius. vs. 3 χρηστοῦ Valck. vs. 5 ὠφελεῖ τρόπῳ verba corrupta.

740

. . . . . . . ἦλθεν δ'
ἐπὶ χρυσόκερων ἔλαφον, μεγάλων
ἄθλων ἕνα δεινὸν ὑποστάς,
κατ' ἔναυλ' ὀρέων ἀβάτους ἐπί τε
λειμῶνας ποίμνιά τ' ἄλση.

Aelianus N. A. 7, 39: ἐν δὲ τοῖς Τημενίδαις τὸν Ἡράκλειον ἆθλον ἔλαφον κέρατα ἔχειν ὁ αὐτὸς Εὐριπίδης φησί, τὸν τρόπον τόνδε ᾄδων 'ἦλθεν — ἄλση'. vs. 4 ἐπί τε] ἐπιὼν aut ἐφέπων scripserim. vs. 5 ποίμνια (ποιμένια al.) suspectum.

741

Ar. Ran. 1338: ἀλλά μοι ἀμφίπολοι λύχνον ἅψατε. ubi Scholia: Ἀπολλώνιος παρὰ τὰ ἐκ τῶν Τημενιδῶν (Εὐμενίδων ante Dobraeum). Euripidis quae verba fuerint incertum est.

ΤΗΜΕΝΟΣ

De argumento fabulae non constat. Temenum et Temenidas cur eandem tragoediam opinemur, nullam video rationem idoneam. quem versum e Κτιμένῳ (i. e. Τημένῳ) affert Clemens Alex., supra exhibuimus fr. 435, 2.

742

ἄλλη πρὸς ἄλλο γαῖα χρησιμωτέρα.

Stob. Flor. 56, 14.

743

τὸ δὲ στρατηγεῖν τοῦτ' ἐγὼ κρίνω, καλῶς
γνῶναι τὸν ἐχθρόν, ᾗ μάλισθ' ἁλώσιμος.

Stob. Flor. 54, 15. vs. 1 τὸ δὲ] τοῦ δὲ Dobraeus, ego τὸ δ' εὖ malim.

744

ἄρξεις γὰρ οὕτω· χρὴ δὲ τὸν στρατηλάτην

*ὁμῶς δίκαιον ὄντα ποιμαίνειν στρατόν.*

Stob. Flor. 54, 16.

745

*τολμᾶν δὲ χρεών· ὁ γὰρ ἐν καιρῷ*
*μόχθος πολλὴν εὐδαιμονίαν*
*τίκτει θνητοῖσι τελευτῶν.*

Stob. Flor. 51, 3.

746

*αἰδὼς γὰρ ὀργῆς πλεῖον' ὠφελεῖ βροτούς.*

Stob. Flor. 31, 1: *Εὐριπίδου Τιμαίῳ* (sic M, *ς̃ νη* Vind.). '*αἰδὼς — βροτούς*'. *πλεῖον* libri, *πλεῖον'* scripsi. in lemmate olim *Τέννῃ* legendum suspicabar.

747

*αἰσίως*

Hesych.: *αἰσίως· καλῶς, δεξιῶς. Εὐριπίδης Τημένῳ* (*τί* codex).

748

*ἀνανομήν*

Hesych.: *ἀνανομήν· ἀναδασμόν. ἀνανέμειν γὰρ τὸ μερίζειν. Εὐριπίδης Τημένῳ.*

749

*ἄπυργος*

Hesych.: *ἄπυργος· ἀτείχιστος. Εὐριπίδης Τημένῳ.*

750

*κατηβολή*

Schol. Plat. p. 904 a 22 et Hesych., v. fr. 617.

751

*σφακελισμός*

Schol. Hippocr. (vol. 5 p. 214 Littr.) in Darembergii

*Notices et extr. des manuscr. méd.* 1 p. 217 sive Erotian. ed. Klein. p. 20, 14: ὁ δὲ Βακχεῖος ὀδύνην καὶ ἄλγημα καὶ φλεγμονὴν φησὶν εἶναι τὸν σφακελισμόν, παραθέμενος Εὐριπίδου λέξεις ἐκ Τημένου καὶ Ἱππολύτου (vs. 1352, ubi σφάκελος legitur).

## ΥΨΙΠΥΛΗ

De argumento cf. Schol. Clem. Alex. p. 105 sq.: ὅτε οἱ ἑπτὰ ἐπὶ Θήβας σὺν Ἀδράστῳ καὶ Πολυνείκει ἐστρατεύοντο, παρέβαλον εἰς τὴν Νεμέαν· τόπος δὲ οὗτος τοῦ Ἄργους. ζητοῦντες δὲ ὑδρεύσασθαι συνέτυχον Ὑψιπύλῃ τῇ Θόαντος θυγατρὶ τρεφούσῃ παιδίον Ὀφέλτην καλούμενον, Εὐφήγου*) καὶ Εὐρυδίκης. ἡ δὲ ἀποθεμένη τὸ παιδίον ἀπῆλθεν αὐτοῖς ὑδρεύσασθαι βουλομένη. δράκων δὲ ἐν τοσούτῳ περιπεσὼν τῷ παιδίῳ ἀνεῖλεν αὐτό· ἡ δὲ ἐπανελθοῦσα ἐθρήνει. Ἀμφιάραος δὲ ὁ μάντις εἷς ὢν τῶν ἑπτὰ ἀπὸ τοῦ συμβάντος τοῖς Ἕλλησι θάνατον προεμαντεύσατο καὶ τὸν παῖδα Ἀρχέμορον ἐκάλεσεν. Ἄδραστος δὲ παραμυθούμενος τὴν Ὑψιπύλην ἐπ' αὐτῷ τὸν Νεμεακὸν ἀγῶνα συνεστήσατο. similiter Apollod. 3, 6, 4 et Hyginus fab. 74. Hypsipylen ab Eurydices ultione tutam praestant filii, si recte fr. 765 interpretatur Welcker. scenae commissam esse fabulam paulo ante olymp. 93, 3 docet Schol. Ar. Ran. 53: τῶν πρὸ ὀλίγου διδαχθέντων καὶ καλῶν, Ὑψιπύλης, Φοινισσῶν, Ἀντιόπης. de Euripidea Hypsipyla dicta videntur quae narrat Ath. VIII p. 343 F: ὀψοφάγος δ' ἦν καὶ Λεοντεὺς ὁ Ἀργεῖος τραγῳδός, Ἀθηνίωνος μὲν μαθητής, οἰκέτης δὲ γενόμενος Ἰόβα τοῦ Μαυρουσίων βασιλέως, ὥς φησιν Ἀμάραντος ἐν τοῖς περὶ σκηνῆς, γεγραφέναι φάσκων εἰς αὐτὸν τόδε τὸ ἐπίγραμμα τὸν Ἰόβαν, ὅτε κακῶς τὴν Ὑψιπύλην ὑπεκρίνατο· 'μή με Λεοντῆος τραγικοῦ κεναρήφαγον ἦχος (κιναροφάγου ἦθος coniecit Villebrunius) λεύσσων Ὑψιπύλης ἐς κακὸν ἦτορ ὅρα (ὡς κακὸν ἦτορ ἕλα Iacobsius). ἤμην γάρ ποτ' ἐγὼ Βάκχῳ φίλος' κτέ.

---

*) Fortasse Εὐφήτου leg., cf. Schol. Pind. Nem. prol. p. 424: ἐπὶ Ὀφέλτῃ τῷ Εὐφήτου καὶ Κρεούσης παιδί. Ophelten *Lyci regis filium* dicit Hyginus fab. 74, ubi *Lycurgi filium* probabiliter corrigitur secundum Apollodorum et alios.

752

*Διόνυσος, ὃς θύρσοισι καὶ νεβρῶν δοραῖς*
*καθαπτὸς ἐν πεύκαισι Παρνασὸν κάτα*
*πηδᾷ χορεύων παρθένοις σὺν Δελφίσιν*

Ar. Ran. 1211: '*Διόνυσος — πηδᾷ χορεύων*'. ubi Schol.: *Διόνυσος ὅς*] '*Ὑψιπύλης ἡ ἀρχή*. Schol. vs. 1213: *πηδᾷ χορεύων*] — *τὸ δὲ λοιπὸν τοῦ στίχου* '*παρθένοις σὺν Δελφίσιν*'. Macrobius Sat. 1, 18, 4: *quod cum et Varro et Granius Flaccus adfirment, etiam Euripides his docet* '*Διόνυσος — πηδᾷ χορεύων*' (vs. 1—3). vs. 1 legitur in Schol. Ar. Nub. 604, vs. 2 in Etym. M. v. *ἄαπτος* p. 1, 38.

753

*δείξω μὲν Ἀργείοισιν Ἀχελῴου ῥόον*

Didymus in Macrob. Sat. 5, 18, 12: *Ἀχελῷον πᾶν ὕδωρ Εὐριπίδης φησὶν ἐν Ὑψιπύλῃ· λέγων γὰρ περὶ ὕδατος ὄντος σφόδρα πόρρω τῆς Ἀκαρνανίας, ἐν ᾗ ἐστιν ὁ ποταμὸς Ἀχελῷος, φησί* '*δείξω — ῥόον*'. *ῥόον*] *δρόσον* vel *ῥοάς* Elmsleius.

754

*ἕτερον ἐφ' ἑτέρῳ αἰρόμενος*
*ἄγρευμ' ἀνθέων ἡδομένᾳ ψυχᾷ*
*τὸ νήπιον ἄπληστον ἔχων*

Plut. Mor. p. 93 D: *ὥσπερ ὁ τῆς Ὑψιπύλης τρόφιμος εἰς τὸν λειμῶνα καθίσας ἔδρεπεν* '*ἕτερον — ἔχων*'. cf. Plut. Mor. p. 661 F, ubi libri haec praebent: *ὥσπερ ὁ ** πύλης τρόφιμος ** νος* '*ἕτερον ἀφ' ἑτέρας ἰώμενος ἄγρευμα ἂν συνηδόμεναι ψυχαὶ * μὴ πίον ἄπληστος ἐὼν*' *ἐπὶ πλεῖστον ἐξανθίζεται τοῦ λειμῶνος*. vs. 1 *αἰρόμενος* p. 93, *ἰώμενος* p. 661, neutrum sufficit. vs. 2 *ἁδομένα* Dindorfius. vs. 3 *ἄχρηστον ἔχων* p. 93, *ἄπληστος ἐών* p. 661. Euripidi locum vindicavit Valck. Diatr. p. 212, qui comparavit Statii Theb. 4, 786.

755

*ἀνὰ τὸ δωδεκαμήχανον ἄστρον*

Ar. Ran. 1328: ἀνὰ τὸ δωδεκαμήχανον Κυρήνης μελοποιῶν. ubi Schol. (sicut Suidas v. δωδεκαμήχανον): ἔστι δὲ παρὰ τὰ ἐξ Ὑψιπύλης Εὐριπίδου 'ἀνὰ — ἄστρον'. ἄστρον] ἄντρον codex Θ in glossa.

## 756

πεϱίβαλ', ὦ τέκνον, ὠλένας

Ar. Ran. 1322: πεϱίβαλλ', ὦ τέκνον, ὠλένας. Scholion vs. 1320: καὶ τὸ 'πεϱίβαλ', ὦ τέκνον' ἐξ Ὑψιπύλης.

## 757

ἃ γοῦν παϱαινῶ, ταῦτά μου δέξαι, γύναι.
ἔφυ μὲν οὐδεὶς ὅστις οὐ πονεῖ βϱοτῶν,
θάπτει τε τέκνα χἄτεϱα κτᾶται νέα,
αὐτός τε θνήσκει· καὶ τάδ' ἄχθονται βϱοτοί,
εἰς γῆν φέϱοντες γῆν. ἀναγκαίως δ' ἔχει
βίον θεϱίζειν ὥστε κάϱπιμον στάχυν,
καὶ τὸν μὲν εἶναι, τὸν δὲ μή· τί ταῦτα δεῖ
στένειν, ἅπεϱ δεῖ κατὰ φύσιν διεκπεϱᾶν;
δεινὸν γὰϱ οὐδὲν τῶν ἀναγκαίων βϱοτοῖς.

Clemens Alex. Strom. IV p. 587 sq.: ὁ γοῦν Εὐϱιπίδης λέγει 'ἃ γοῦν — βϱοτοί' (vs. 1—4). εἶτα ἐπιφέϱει 'ταῦτα δεῖ — βϱοτοῖς' (vs. 7—9). Plut. Mor. p. 110 F: οὐ φαύλως γὰϱ ἂν δόξειεν ὁ παϱὰ τῷ ποιητῇ Ἀμφιάϱεως παϱαμυθεῖσθαι τὴν Ἀϱχεμόϱου μητέϱα δυσχεϱαίνουσαν, ὅτι νήπιος ὢν ὁ παῖς καὶ ἄγαν ἄωϱος ἐτελεύτησε. φησὶ γὰϱ οὕτως 'ἔφυ μὲν — βϱοτοῖς' (vs. 2—9). Stob. Flor. 108, 11: Εὐϱιπίδου Ὑψιπύλῃ. 'ἔφυ μὲν — διεκπεϱᾶν' (vs. 2—8). verba βίον — μή (vs. 6 et 7) apponit Marcus Anton. 7, 40. vs. 6 idem 11, 6. vs. 9 habent Stob. Flor. 29, 56 et Plut. Mor. p. 117 D. vs. 1 ταῦτά μοι Valck. vs. 2 οὐ πονεῖ βϱοτῶν] οὐκ ἀεὶ πονεῖ Stob. vs. 3 κτᾶται] σπείϱει Clem. vs. 8 ἅπεϱ χϱὴ Lud. a Sybel. Latine locum reddidit Cicero Tusc. 3, 25, 59: *Carneades — reprehendere Chrysippum solebat laudantem Euripideum carmen illud,*

*mortalis nemo est, quem non attingit dolor*
*morbusque. multis sunt humandi liberi,*
*rursum creandi, morsque est finita omnibus.*
*quae generi humano angorem nequidquam afferunt.*
*reddenda terrae est terra, tum vita omnibus*
*metenda, ut fruges. sic iubet necessitas.*

758

*κακοῖς τὸ κέρδος τῆς δίκης ὑπέρτερον.*

Stob. Flor. 10, 26.

759

*πρὸς τὰς φύσεις χρὴ καὶ τὰ πράγματα σκοπεῖν*
*καὶ τὰς διαίτας τῶν κακῶν τε κἀγαθῶν,*
*πειθὼ δὲ τοῖς μὲν σώφροσιν πολλὴν ἔχειν,*
*τοῖς μὴ δικαίοις δ' οὐδὲ συμβάλλειν χρεών.*

Orion Flor. 7, 5 p. 259, 25: *ἐκ τῆς Ὑψιπύλης. ‘πρὸς τὰς — χρεών’*. vs. 1 habet Floril. Monac. 104 p. 275, 8.

760

*ἔξω γὰρ ὀργῆς πᾶς ἀνὴρ σοφώτερος.*

Stob. Flor. 20, 31. idem versus extat in Stob. Flor. 20, 12 (v. fr. 261) et in Flor. Monac. 150 p. 278, 13.

761

*ἄελπτον οὐδέν, πάντα δ' ἐλπίζειν χρεών.*

Stob. Flor. 110, 16.

762

*εὔσημα καὶ σᾶ καὶ κατεσφραγισμένα*

Eust. Il. p. 959, 43 (Philem. Lex. p. 147): *λέγουσι δὲ καὶ σᾶ τὰ σῶα οἱ παλαιοί — Εὐριπίδης ἐν Ὑψιπύλῃ ‘εὔφημα — κατεσφραγισμένα’*.

763

*ἢ ἑτέρᾳ φράσω;*

Ar. Ran. 64: ἆρ' ἐκδιδάσκω τὸ σαφές, ἢ ἑτέρᾳ φράσω; ubi Scholia: ἑτέρᾳ φράσω] — ἔστι δὲ τὸ ἡμιστίχιον ἐξ Ὑψιπύλης Εὐριπίδου. Bothius ad priora verba ἆρ' ἐκδιδάσκω τὸ σαφές hanc annotationem rettulit.

764

*ἰδού, πρὸς αἰθέρ' ἐξαμίλλησαι κόρας*
*γραπτούς τ' ἐν αἐτοῖσι πρόσβλεψον τύπους.*

Galenus vol. 18, 1 p. 519 (vol. 5 p. 615 ed. Basil., vol. 12 p. 376 Chart.) de v. ἀέτωμα sive ἀετός disputans: καὶ Εὐριπίδης ἐν Ὑψιπύλῃ φησί 'ἰδοὺ — τύπους'. vs. 2 τ' addidi et πρόσβλεπον in πρόσβλεψον mutavi.

765

*οἰνάνθα τρέφει τὸν ἱερὸν βότρυν*

Ar. Ran. 1320: οἰνάνθας γάνος ἀμπέλου. ubi Schol.: παρὰ τὸ ἐξ Ὑψιπύλης Εὐριπίδου 'οἰνάνθα — βότρυν'. cf. Tzetzes in Ar. Ran. 1320 (*Rhein. Mus. N. F.* VI p. 617 sive Append. Lex. Vindob. p. 251, 7). Welcker conferri iubet Anth. Pal. 3, 10: φαῖνε, Θόαν, Βάκχοιο φυτὸν τόδε· ματέρα γὰρ σὰν ῥύσῃ τοῦ θανάτου οἰκέτιν Ὑψιπύλαν κτἑ., cui epigrammati haec praemittuntur: ἐν δὲ τῷ κατὰ δύσιν πλευρῷ — Εὔνεως γεγλυμμένος καὶ Θόας, οὓς ἐγέννησεν Ὑψιπύλη, ἀναγνωριζόμενοι τῇ μητρὶ καὶ τὴν χρυσῆν δεικνύντες ἄμπελον, ὅπερ ἦν αὐτοῖς τοῦ γένους σύμβολον, καὶ ῥυόμενοι αὐτὴν διὰ τὸν Ἀρχεμόρου θάνατον τῆς παρ' Εὐρυδίκης τιμωρίας.

766

*ἀναδρομαί*

Hesych., vide fr. 850.

767

*ἄρκτος*

Harpocr. v. ἀρκτεῦσαι p. 34, 17: ὅτι δὲ αἱ ἀρκτευόμεναι παρθένοι ἄρκτοι καλοῦνται, Εὐριπίδης Ὑψιπύλῃ, Ἀριστοφάνης Λημνίαις καὶ Λυσιστράτῃ. similiter Anecd. Bekk. p. 444, 32 et Suid. v. ἀρκτεῦσαι.

768

*ἐκδημία*

Antiatt. p. 93, 26: *ἐκδημία, οὐ μόνον ἀποδημία. Εὐριπίδης Ὑψιπύλῃ.*

769

*κροταλισάσης*

Phot. Lex. p. 180, 12: *κροταλίζειν· οὐ διὰ τῶν χειρῶν κροτεῖν, ἀλλὰ διὰ κροτάλου. τῆς κροταλισάσης, ὡς Εὐριπίδης* (*Εὐριπίδην* ci. Dobr.) *φησὶν ὁ κωμικὸς περὶ τῆς Ὑψιπύλης λέγων.* cf. Ar. Ran. 1305: *ποῦ ἔστιν ἡ τοῖς ὀστράκοις αὕτη κροτοῦσα; δεῦρο, Μοῦσ' Εὐριπίδου.* ubi Schol.: *λέγεται δὲ εἰς τὴν Ὑψιπύλην ταῦτα.* Phryn. Bekk. p. 45, 30: *κροτεῖν ὀστράκοις· Ἀριστοφάνης ἐπὶ τῆς Εὐριπίδου μελοποιίας.* Euripides quid dixerit e Photii loco non satis apparet. verbo *κροταλίζειν* usus est Anaxilas Com. 3 p. 341.

770

*νεαρός*

Antiatt. p. 109, 15: *νεαρός· ἀντὶ τοῦ νέος. Εὐριπίδης Ὑψιπύλῃ.*

## ΦΑΕΘΩΝ

Longiora duo huius fabulae fragmenta (775 et 781) extant in codicis Claromontani foliis duobus postremis (162 et 163), ubi Euripidei versus partim reciso margine inferiore perierunt, partim vetere scriptura deleta novaque inducta (continet ille codex Pauli epistolas) obscurati sunt et detriti. descripserunt illa fragmenta Imm. Bekker et C. B. Hase*), correcta edidit G. Hermannus Opusc. 3 p. 7—21. scena fabulae haud procul est ab Solis regia in finibus Aethiopum Oceano vicinorum, quorum rex Merops, coniux Clymenae, nuptias Phaethontis filii parat. Phaethon ut mortalis abnuit matrimonium cum dea ineundum; Clymene mater docet non Meropis ipsum, sed Solis esse filium, et fidem verbis suis fac-

*) Bekkeri et Hasii apographa significabo litteris *b* et *h*. dubias litteras punctis infra lineam positis indicabo.

tura imperat ut deum adeat. Phaethon Solis regiam petit et curru paterno impetrato magnis ausis excidit: fratrem mortuum lugent Heliades; cf. Plinius H. N. 37, 11.

771

*Μέροπι τῆσδ' ἄνακτι γῆς,*
*ἣν ἐκ τεθρίππων ἁρμάτων πρώτην χθόνα*
*Ἥλιος ἀνίσχων χρυσέᾳ βάλλει φλογί.*
*καλοῦσι δ' αὐτὴν γείτονες μελάμβροτοι*
*Ἕω φαεννὰς Ἡλίου θ' ἱπποστάσεις.*

Strab. I p. 33: *ὅ τ' Εὐριπίδης ἐν τῷ Φαέθοντι τὴν Κλυμένην δοθῆναί φησι 'Μέροπι — ἱπποστάσεις'. νῦν μὲν δὴ κοινὰς ποιεῖται τὰς ἱπποστάσεις τῇ τε Ἠοῖ καὶ τῷ Ἡλίῳ, ἐν δὲ τοῖς ἑξῆς πλησίον αὐτάς φησιν εἶναι τῇ οἰκήσει τοῦ Μέροπος· καὶ ὅλῃ γε τῇ δραματουργίᾳ τοῦτο παραπέπλεκται.* vs. 1 *δάμαρ δοθεῖσα* vel cum Bothio *Κλυμένη δοθεῖσα* supplere licuerit. vs. 3 cf. Hesych.: *ἀνίσχων· ἀνατέλλων.*

772

*ἐλεύθερος δ' ὢν δοῦλός ἐστι τοῦ λέχους,*
*πεπραμένον τὸ σῶμα τῆς φερνῆς ἔχων.*

Eust. Od. p. 1731, 54: *ἡ δὲ τοιαύτη προῖξ ὅτι καὶ φερνὴ λέγεται δηλοῖ, φασίν, ἐν Φαέθοντι Εὐριπίδης εἰπὼν 'ἐλεύθερος — ἔχων'.* vs. 2 cf. Plut. Mor. p. 498 A: *ὑπομένει, τὸ σῶμα πεπραμένον τῆς φέρνης ἔχων, ὡς Εὐριπίδης φησίν.*

773

*δεινόν γε, τοῖς πλουτοῦσι τοῦτο δ' ἔμφυτον,*
*σκαιοῖσιν εἶναι· τί ποτε τοῦδέ γ' αἴτιον;*
*ἆρ' ὄλβος αὐτοῖς ὅτι τυφλὸς συνηρετεῖ,*
*τυφλὰς ἔχουσι τὰς φρένας καὶ τῆς τύχης;*

Stob. Flor. 93, 2. vs. 4 *καὶ τῆς τέχνης* Meinekius, *καὶ δυστυχεῖς* Maehly.

774

ὡς πανταχοῦ γε πατρὶς ἡ βόσκουσα γῆ.

Stob. Flor. 40, 2. eundem versum habet Flor. Monac. 146 p. 278, 7.

775

μνησθεὶς ὅ μοί ποτ' εἶφ' ὅτ' εὐνάσθη θεός.
αἰτοῦ τί χρῄζεις ἕν· πέρα γὰρ οὐ θέμις
λαβεῖν σε· κἂν μὲν τυγχάνῃς ε . . .
θεοῦ πέφυκας· εἰ δὲ μή, ψευδὴς ἐγώ.
ΦΑΕ. πῶς οὖν πρόσειμι δῶμα θερμὸν Ἡλίου;
ΚΛΤ. κείνῳ μελήσει σῶμα μὴ βλάπτειν τὸ σόν.
ΦΑΕ. ἐπεὶ πατὴρ πέφυκεν; οὐ κακῶς λέγεις.
ΚΛΤ. σάφ' ἴσθι· πεύσει δ' αὐτὸ τῷ χρόνῳ σαφῶς.
ΦΑΕ. ἀρκεῖ· πέποιθα γάρ σε μὴ ψευδῆ λέγειν.
ἀλλ' ἕρπ' ἐς οἴκους· καὶ γὰρ αἵδ' ἔξω δόμων
δμωαὶ περῶσιν, αἳ πατρὸς κοιμωμένου
σαίρουσι δῶμα καὶ δόμων κειμήλια
καθ' ἡμέραν φοιβῶσι κἀπιχωρίοις
ὀσμαῖσι θυμιῶσιν εἰσόδους δόμων.
ὅταν δ' ὕπνον γεραιὸς ἐκλιπὼν πατὴρ
πύλας ἀμείψῃ καὶ λόγους γάμων πέρι
λέξῃ πρὸς ἡμᾶς, Ἡλίου μολὼν δόμους
τοὺς σοὺς ἐλέγξω, μῆτερ, εἰ σαφεῖς λόγοι.
ΧΟΡ. . . . . . . . . στρ. α'
. . . . . . κατὰ γᾶν
. . α . . . . .
. . . . . . . . . .
μέλπει δ' ἐν δένδρεσι λεπτὰν
ἀηδὼν ἁρμονίαν
ὀρθρευομένα γόοις
Ἴτυν Ἴτυν πολύθρηνον.
σύριγγας δ' οὐριβάται ἀντ. α'

κινοῦσιν ποίμνας ἐλάται·
ἔγρονται δ' εἰς βοτάναν
ξανθᾶν πώλων συζυγίαι.
ἤδη δ' εἰς ἔργα κυναγοὶ
στείχουσιν θηροφόνοι,
πηγαῖσί τ' ἐπ' Ὠκεανοῦ
μελιβόας κύκνος ἀχεῖ.
ἄκατοι δ' ἀνάγονται ὑπ' εἰρεσίας στρ. β'
ἀνέμων τ' εὐαέσιν ῥοθίοις
ἀνὰ δ' ἱστί . . . . .
. . . . . . . .
. . . . . . . .
. . . . . .
. . . . . . . . . . .
σινδὼν δὲ πρότονον ἐπὶ μέσον πελάσει.
τὰ μὲν οὖν ἑτέροισι μέριμνα πέλει. ἀντ. β'
κῶμον δ' ὑμεναίων δεσποσύνων
ἐμὲ καὶ τὸ δίκαιον ἄγει καὶ ἔρως
ὑμνεῖν· δμωσὶν γὰρ ἀνάκτων
εὐάμεροι προσιοῦσαι
μολπαὶ θράσος αἴρουσ'
ἐπὶ χάρματ'· εἰ δὲ τύχα τι τέκοι,
βαρὺν βαρεῖα φόβον ἔπεμψε φάτις.
ὁρίζεται δὲ τόδε φάος γάμων τέλος,
τὸ δή ποτ' εὐχαῖς ἐγὼ
λισσομένα προσέβαν
ὑμέναιον ἀεῖσαι
φίλον φίλων δεσποτᾶν.
θεὸς ἔδωκε, χρόνος ἔκρανε
λέχος ἐμοῖσιν ἀρχέταις.
ἴτω τελεία γάμων ἀοιδά.
ἀλλ' ὅδε γὰρ δὴ βασιλεὺς πρὸ δόμων

*κῆρύξ θ' ἱερὸς καὶ παῖς Φαέθων*
*βαίνουσι, τριπλοῦν ζεῦγος, ἔχειν χρὴ*
*στόμ' ἐν ἡσυχίᾳ·*
*περὶ γὰρ μεγάλων γνώμας δείξει,*
*παῖδ' ὑμεναίοις, ὡς φησί, θέλων*
*ζεῦξαι νύμφης τε λεπάδνοις.*

ΚΗΡ. *Ὠκεανοῦ πεδίων οἰκήτορες,*
*εὐφαμεῖτ', ὤ,*
*ἐκτόπιοί τε δόμων ἀπαείρετε,*
*ὢ ἴτε, λαοί.*
*κηρύσσω δ' ὁσίαν βασιλήιον,*
*αἰτῶ δ' αὐδὰν*
*εὐτεκνίαν τε γάμοις, ὧν ἔξοδος*
*ἅδ' ἕνεχ' ἥκει,*
*παιδὸς πατρός τε τῇδ' ἐν ἡμέρᾳ λέχη*
*κρᾶναι θελόντων· ἀλλὰ τῆλ' ἔστω λεώς.*

ΜΕΡ. . . . . . . . . . . . . . .
. . . . . . . . *εἰ γὰρ εὖ λέγω*

Codex Clarom., nunc Paris. 107 fol. 162 verso continet vs. 1—35, eodem folio recto vs. 36—70. vs. 1—4 Clymenae sunt. vs. 3 ΤΥΓΧΑΝΗϹΕ .... *b*, ΙΤΙΧΛΔΙΠΩΔΩ ΩΝ *h*, *τυγχάνῃς ἐτητύμως* Bekker, an *τυγχάνῃς δώρων θεοῦ* legendum? vs. 7 *ἐπεὶ* cod., *εἴπερ* m. sec. teste Bekkero. ΚΑΚΏϹ *h*, ΚΑΛΩϹ *b*. *εἴπερ πατὴρ πέφυκε κοὐκ ἄλλως λέγεις* Burges. vs. 12 *καὶ θεῶν* Burges. vs. 21 ΔΕΔΕΝΔΡΕϹΙΛΕΠΤΑΝ *b*, ΔΕΔΕΝΔΡΩΝ ΚΛΕΙΝΗΗΝ *h*, unde *μέλπει δ' ἐν δένδρῳ ἐλεινὴν* suspicabar. *ἐν δένδρεσι* praeiit Burges. vs. 23 ΟΡΘΡΕΥΟΜΕΝΑΓΟΟΙϹ *b*, ΙΤΟΡΕΥΟΜΕΝΑΤΘΟΝ (initio Θ addidit et litteram Τ induxit m. alt.) *h*, *ὀρθρευομένα γοερὸν* vel *γοερῶς* suspicabar. *γόοισιν δ' ὀρθρευομένα* Eur. Suppl. 978 dixit. vs. 27 *ἔγρονται* vitiosum, *ἔρχονται* aut *ἵενται* expectes. vs. 28 *συνζυγίαι* cod. vs. 42 ΑΙΟΥϹ *b*, *αὔξουσ'* Herm., *αἴρουσ'* Fritzschius et Maur. Schmidtius. vs. 44 ΟΙΚΟΙϹ *b*, ΦΑΙΟ (ϲ post ο addidit m. sec.) *h*, *φάτις* Weilius. vs. 65 ΑΥΤΩΔΑΥΔΑΝ *b*,

ΑΥΙΩΔΑΥΔΑΝ *h*, *αἰτῶ δ αἶσαν* Herm., *αἰτῶ δ' αἴσια* Weilius, ego *αἴσια δ' αἰτῶ* malim.

776

*θερμὴ δ' ἄνακτος φλὸξ ὑπερτέλλουσα γῆς*
*καίει τὰ πόρρω, τἀγγύθεν δ' εὔκρατ' ἔχει.*

Stob. Ecl. 1, 25, 3 p. 540: *Εὐριπίδης, πῦρ εἶναι τὸν ἥλιον. λέγει γοῦν ἐν — Φαέθοντι 'θερμὴ — γῆς'* (vs. 1). Vitruvius 9, 1, 13: *si radii* (solis) *per omnem mundum fusi circinationibus vagarentur neque extentionibus porrecti ad trigoni formam linearentur, propiora flagrarent. id autem etiam Euripides Graecorum poeta animadvertisse videtur; ait enim quae longius a sole essent, haec vehementius ardere, propiora vero eum temperata habere. itaque scribit in fabula Phaethonte sic: 'καίει — ἔχει'.* coniunxit hos versus Barnesius.

777

*χρυσέα βῶλος*

Diog. L. 2, 10: *φασὶ δ' αὐτὸν* (Anaxagoram) *προειπεῖν τὴν περὶ Αἰγὸς ποταμὸν γενομένην τοῦ λίθου πτῶσιν, ὃν εἶπεν ἐκ τοῦ ἡλίου πεσεῖσθαι. ὅθεν καὶ Εὐριπίδην μαθητὴν ὄντα αὐτοῦ χρυσέαν βῶλον εἰπεῖν τὸν ἥλιον ἐν τῷ Φαέθοντι.* hinc fuerunt qui fr. 771, 3 *Ἥλιος ἀνίσχων χρυσέᾳ βώλῳ φλέγει* scribendum ducerent (v. Valck. Diatr. p. 31); probabilius videtur quod Matthiae coniecit, respici Or. 983: *ἁλύσεσι χρυσέαισι φερομέναν δίναισι βῶλον.*

778

*ἐν τοῖσι μώροις τοῦτ' ἐγὼ κρίνω βροτῶν,*
*ὅστις πατὴρ ὢν παισὶ μὴ φρονοῦσιν εὖ*
*ἢ καὶ πολίταις παραδίδωσ' ἐξουσίαν.*

Stob. Flor. 43, 2.

779

*ἔλα δὲ μήτε Λιβυκὸν αἰθέρ' εἰσβαλών·*
*κρᾶσιν γὰρ ὑγρὰν οὐκ ἔχων, ἀψῖδα σὴν*

774

ὡς πανταχοῦ γε πατρὶς ἡ βόσκουσα γῆ.

Stob. Flor. 40, 2. eundem versum habet Flor. Monac. 146 p. 278, 7.

775

μνησθεὶς ὅ μοί ποτ' εἶφ' ὅτ' εὐνάσθη θεός.
αἰτοῦ τί χρῄζεις ἕν· πέρα γὰρ οὐ θέμις
λαβεῖν σε· κἂν μὲν τυγχάνῃς ε . . .
θεοῦ πέφυκας· εἰ δὲ μή, ψευδὴς ἐγώ.
ΦΑΕ. πῶς οὖν πρόσειμι δῶμα θερμὸν Ἡλίου;
ΚΛΥ. κείνῳ μελήσει σῶμα μὴ βλάπτειν τὸ σόν.
ΦΑΕ. ἐπεὶ πατὴρ πέφυκεν; οὐ κακῶς λέγεις.
ΚΛΥ. σάφ' ἴσθι· πεύσει δ' αὐτὸ τῷ χρόνῳ σαφῶς.
ΦΑΕ. ἀρκεῖ· πέποιθα γάρ σε μὴ ψευδῆ λέγειν.
ἀλλ' ἕρπ' ἐς οἴκους· καὶ γὰρ αἵδ' ἔξω δόμων
δμωαὶ περῶσιν, αἳ πατρὸς κοιμωμένου
σαίρουσι δῶμα καὶ δόμων κειμήλια
καθ' ἡμέραν φοιβῶσι κἀπιχωρίοις
ὀσμαῖσι θυμιῶσιν εἰσόδους δόμων.
ὅταν δ' ὕπνον γεραιὸς ἐκλιπὼν πατὴρ
πύλας ἀμείψῃ καὶ λόγους γάμων πέρι
λέξῃ πρὸς ἡμᾶς, Ἡλίου μολὼν δόμους
τοὺς σοὺς ἐλέγξω, μῆτερ, εἰ σαφεῖς λόγοι.
ΧΟΡ. . . . . . . . . στρ. α'
. . . . . . κατὰ γᾶν
. . α . . . . .
. . . . . . . .
μέλπει δ' ἐν δένδρεσι λεπτὰν
ἀηδὼν ἁρμονίαν
ὀρθρευομένα γόοις
Ἴτυν Ἴτυν πολύθρηνον.
σύριγγας δ' οὐριβάται ἀντ. α'

κινοῦσιν ποίμνας ἐλάται·
ἔγρονται δ' εἰς βοτάναν
ξανθᾶν πώλων συζυγίαι.
ἤδη δ' εἰς ἔργα κυναγοὶ
στείχουσιν θηροφόνοι,
πηγαῖσί τ' ἐπ' Ὠκεανοῦ
μελιβόας κύκνος ἀχεῖ.
ἄκατοι δ' ἀνάγονται ὑπ' εἰρεσίας     στρ. β'
ἀνέμων τ' εὐαέσιν ῥοθίοις
ἀνὰ δ' ἱστί . . . . .
. . . . . . . .
. . . . . . . .
. . . . . . .
. . . . . . . . . . . .
σινδὼν δὲ πρότονον ἐπὶ μέσον πελάσει.
τὰ μὲν οὖν ἑτέροισι μέριμνα πέλει.     ἀντ. β'
κῶμον δ' ὑμεναίων δεσποσύνων
ἐμὲ καὶ τὸ δίκαιον ἄγει καὶ ἔρως
ὑμνεῖν· δμωσὶν γὰρ ἀνάκτων
εὐάμεροι προσιοῦσαι
μολπαὶ θράσος αἴρουσ'
ἐπὶ χάρματ'· εἰ δὲ τύχα τι τέκοι,
βαρὺν βαρεῖα φόβον ἔπεμψε φάτις.
ὁρίζεται δὲ τόδε φάος γάμων τέλος,
τὸ δή ποτ' εὐχαῖς ἐγὼ
λισσομένα προσέβαν
ὑμέναιον ἀεῖσαι
φίλον φίλων δεσποτᾶν.
θεὸς ἔδωκε, χρόνος ἔκρανε
λέχος ἐμοῖσιν ἀρχέταις.
ἴτω τελεία γάμων ἀοιδά.
ἀλλ' ὅδε γὰρ δὴ βασιλεὺς πρὸ δόμων

κῆρύξ θ' ἱερὸς καὶ παῖς Φαέθων
βαίνουσι, τριπλοῦν ζεῦγος, ἔχειν χρὴ
στόμ' ἐν ἡσυχίᾳ·
περὶ γὰρ μεγάλων γνώμας δείξει,
παῖδ' ὑμεναίοις, ὥς φησί, θέλων
ζεῦξαι νύμφης τε λεπάδνοις.
ΚΗΡ. Ὠκεανοῦ πεδίων οἰκήτορες,
εὐφαμεῖτ', ὤ,
ἐκτόπιοί τε δόμων ἀπαείρετε,
ὤ ἴτε, λαοί.
κηρύσσω δ' ὁσίαν βασιλήιον,
αἰτῶ δ' αὐδὰν
εὐτεκνίαν τε γάμοις, ὧν ἔξοδος
ἅδ' ἕνεχ' ἥκει,
παιδὸς πατρός τε τῇδ' ἐν ἡμέρᾳ λέχη
κρᾶναι θελόντων· ἀλλὰ τῆλ' ἔστω λεώς.
ΜΕΡ. . . . . . . . . . . . . . .
. . . . . . . . εἰ γὰρ εὖ λέγω

Codex Clarom., nunc Paris. 107 fol. 162 verso continet vs. 1—35, eodem folio recto vs. 36—70. vs. 1—4 Clymenae sunt. vs. 3 ΤΥΓΧΑΝΗϹΕ .... *b*, ΙΤΙΧΛΑΙΠΩΔΩ ΩΝ *h*, τυγχάνῃς ἐτητύμως Bekker, an τυγχάνῃς δώρων θεοῦ legendum? vs. 7 ἐπεὶ cod., εἴπερ m. sec. teste Bekkero. ΚΑΚΩϹ *h*, ΚΑΛΩϹ *b*. εἴπερ πατὴρ πέφυκε κοὐκ ἄλλως λέγεις Burges. vs. 12 καὶ θεῶν Burges. vs. 21 ΔΕΔΕΝΔΡΕϹΙΛΕΠΤΑΝ *b*, ΔΕΔΕΝΔΡΩΝ ΚΛΕΙΝΗΗΝ *h*, unde μέλπει δ' ἐν δένδρῳ ἐλεινὴν suspicabar. ἐν δένδρεσι praeiit Burges. vs. 23 ΟΡΘΡΕΥΟΜΕΝΑΓΟΟΙϹ *b*, ΙΤΟΡΕΥΟΜΕΝΑΤΘΟΝ (initio Θ addidit et litteram Τ induxit m. alt.) *h*, ὀρθρευομένα γοερὸν vel γοερῶς suspicabar. γόοισιν δ' ὀρθρευομένα Eur. Suppl. 978 dixit. vs. 27 ἔγρονται vitiosum, ἔρχονται aut ἵενται expectes. vs. 28 συνζυγίαι cod. vs. 42 ΑΙΟΥϹ *b*, αὔξουσ' Herm., αἴρουσ' Fritzschius et Maur. Schmidtius. vs. 44 ΟΙΚΟΙϹ *b*, ΦΑΙΟ (c post ο addidit m. sec.) *h*, φάτις Weilius. vs. 65 ΑΥΤΩΔΑΥΔΑΝ *b*,

ΑΥΙωΔΑΥΔΑΝ *h*, *αἰτῶ δ αἶσαν* Herm., *αἰτῶ δ' αἴσια* Weilius, ego *αἴσια δ' αἰτῶ* malim.

776

*θερμὴ δ' ἄνακτος φλὸξ ὑπερτέλλουσα γῆς*
*καίει τὰ πόρρω, τἀγγύθεν δ' εὔκρατ' ἔχει.*

Stob. Ecl. 1, 25, 3 p. 540: *Εὐριπίδης, πῦρ εἶναι τὸν ἥλιον. λέγει γοῦν ἐν — Φαέθοντι 'θερμὴ — γῆς'* (vs. 1). Vitruvius 9, 1, 13: *si radii* (solis) *per omnem mundum fusi circinationibus vagarentur neque extentionibus porrecti ad trigoni formam linearentur, propiora flagrarent. id autem etiam Euripides Graecorum poeta animadvertisse videtur; ait enim quae longius a sole essent, haec vehementius ardere, propiora vero eum temperata habere. itaque scribit in fabula Phaethonte sic: 'καίει — ἔχει'.* coniunxit hos versus Barnesius.

777

*χρυσέα βῶλος*

Diog. L. 2, 10: *φασὶ δ' αὐτὸν* (Anaxagoram) *προειπεῖν τὴν περὶ Αἰγὸς ποταμὸν γενομένην τοῦ λίθου πτῶσιν, ὃν εἶπεν ἐκ τοῦ ἡλίου πεσεῖσθαι. ὅθεν καὶ Εὐριπίδην μαθητὴν ὄντα αὐτοῦ χρυσέαν βῶλον εἰπεῖν τὸν ἥλιον ἐν τῷ Φαέθοντι.* hinc fuerunt qui fr. 771, 3 *Ἥλιος ἀνίσχων χρυσέᾳ βώλῳ φλέγει* scribendum ducerent (v. Valck. Diatr. p. 31); probabilius videtur quod Matthiae coniecit, respici Or. 983: *ἁλύσεσι χρυσέαισι φερομέναν δίναισι βῶλον.*

778

*ἐν τοῖσι μώροις τοῦτ' ἐγὼ κρίνω βροτῶν,*
*ὅστις πατὴρ ὢν παισὶ μὴ φρονοῦσιν εὖ*
*ἢ καὶ πολίταις παραδίδωσ' ἐξουσίαν.*

Stob. Flor. 43, 2.

779

*ἔλα δὲ μήτε Λιβυκὸν αἰθέρ' εἰσβαλών·*
*κρᾶσιν γὰρ ὑγρὰν οὐκ ἔχων, ἀψῖδα σὴν*

*κάτω διήσει . . . . . . . .*
*ἴει δ' ἐφ' ἑπτὰ Πλειάδων ἔχων δρόμον.*
*τοσαῦτ' ἀκούσας εἶτ' ἔμαρψεν ἡνίας·*
*κρούσας δὲ πλευρὰ πτεροφόρων ὀχημάτων*
*μεθῆκεν, αἱ δ' ἔπταντ' ἐπ' αἰθέρος πτυχάς.*
*πατὴρ δ' ὄπισθε νῶτα σειραίου βεβὼς*
*ἵππευε παῖδα νουθετῶν· ἐκεῖσ' ἔλα,*
*τῇδε στρέφ' ἅρμα, τῇδε.*

Longinus de sublim. c. 15, 4 de Euripide: *ἥκιστά γέ τοι μεγαλοφυὴς ὢν ὅμως τὴν αὐτὸς αὑτοῦ φύσιν ἐν πολλοῖς γενέσθαι τραγικὴν προσηνάγκασε —. τῷ γοῦν Φαέθοντι παραδιδοὺς τὰς ἡνίας ὁ Ἥλιος ‘ἔλα δὲ — δίεισι’* (vs. 1—3) *φησίν, εἶθ' ἑξῆς ‘ἴει — ἅρμα τῇδε’* (vs. 4—10). *ἆρ' οὐκ ἂν εἴποις ὅτι ἡ ψυχὴ τοῦ γράφοντος συνεπιβαίνει τοῦ ἅρματος καὶ συγκινδυνεύουσα τοῖς ἵπποις συνεπτέρωται;* vs. 7 *πτύχας* cod.

## 780

Schol. Arat. 172: *φέρονται αἱ Ὑάδες ἐν τῷ μετώπῳ τοῦ Ταύρου. Θαλῆς μὲν οὖν β' αὐτὰς εἶπεν εἶναι —, Εὐριπίδης δὲ ἐν τῷ Φαέθοντι γ', Ἀχαιὸς δὲ δ', Ἱππίας δὲ καὶ Φερεκύδης ζ'.*

## 781

*πυρός τ' Ἐρινὺς ἐν νεκροῖς θερηνυαι*
*ζῶσ' ἦδ' ἀνίησ' ἀτμὸν ἐμφανῆ . .*
*ἀπωλόμην· οὐκ οἴσετ' εἰς δόμους νέκυν;*
*νοεῖς; πόσις μοι πλησίον γαμηλίους*
*μολπὰς ἀυτεῖ παρθένοις ἡγούμενος.*
*οὐ θᾶσσον; οὐ σταλαγμὸν ἐξομόρξετε,*
*εἴ πού τις ἔστιν αἵματος χαμαὶ πεσών;*
*ἐπείγετ' εἶα, δμωίδες· κρύψω δέ νιν*
*ξεστοῖσι θαλάμοις, ἔνθ' ἐμῷ κεῖται πόσει*
*χρυσός· μόνη δὲ κλῇθρ' ἐγὼ σφραγίζομαι.*
*ὦ καλλιφεγγὲς Ἥλι', ὥς μ' ἀπώλεσας*

καὶ τόνδ᾽· Ἀπόλλων δ᾽ ἐν βροτοῖς ὀρθῶς καλεῖ,
ὅστις τὰ σιγῶντ᾽ ὀνόματ᾽ οἶδε δαιμόνων.
ΧΟΡ. Ὑμὴν Ὑμήν, στρ.
τὰν Διὸς οὐρανίαν ἀείδομεν
τὰν Ἐρώτων πότνιαν, τὰν παρθένοις
γαμήλιον Ἀφροδίταν.
πότνια, σοὶ τάδ᾽ ἐγὼ νυμφεῖ᾽ ὀφείλω,
Κύπρι θεῶν καλλίστα,
τῷ τε νεόζυγι σῷ
πώλῳ, τὸν ἐν αἰθέρι κρύπτεις
σῶν γάμων γένναν·
ἃ τὸν μέγαν ἀντ.
τᾶσδε πόλεως βασιλῆ νυμφεύεται,
ἀστερωποῖσιν δόμοισιν χρυσέοις
ἀρχόν, φίλον Ἀφροδίτᾳ.
ὦ μάκαρ, ὦ βασιλέως μείζων ἔτ᾽ ὄλβος·
ὃς θεὰν κηδεύσεις
καὶ μόνος ἀθανάτοις
γαμβρὸς δι᾽ ἀπείρονα γαῖαν
θνατὸς ὑμνήσει.
ΜΕΡ. χώρει σὺ καὶ τάσδ᾽ εἰς δόμους ἄγων κόρας
γυναῖκ᾽ ἄνωχθι πᾶσι τοῖς κατὰ στέγας
θεοῖς χορεῦσαι καὶ κυκλώσασθαι δόμους
σεμνοῖσιν ὑμεναίοισιν, Ἑστίας θ᾽ ἕδος,
ἀφ᾽ ἧς γε σώφρων πᾶς ἂν ἀρχετ . . .
εὐχὰς π . . . . . . . . . . . . .
. . . . . . . . . . . . . . . .
. . . . . . . . . . . . . . . .
. . . . . . . . . . . . . . . .
. . . . . . . . . . . . . . . .
θεᾶς προσελθεῖν τέμενος ἐξ ἐμῶν δόμων.
ΘΕΡ. ὦ πάτορ, ἔστρεψ᾽ ἐκ δόμων ταχὺν πόδα.

οὗ γὰρ σὺ σῴζει σεμνὰ θησαυρίσματα
χρυσοῦ, δι' ἁρμῶν ἐξαμείβεται πύλης
καπνοῦ μέλαινα λιγνὺς ἔνδοθεν στέγης.
προσθεὶς πρόσωπον φλόγα μὲν οὐχ ὁρῶ πυρός,
γέμοντα δ' οἶκον μέλανος ἔνδον αἰθάλου.
ἀλλ' ἔσιθ' ἐς οἶκον, μή τιν' Ἥφαιστος χόλον
δόμοις ἐπεισφρεὶς μέλαθρα συμφλέξῃ πυρὶ
ἐν τοῖσιν ἡδίστοισι Φαέθοντος γάμοις.
ΜΕΡ. πῶς φῄς; ὅρα μὴ θυμάτων πυρουμένων
κατ' οἶκον ἀτμὸν κεῖσ' ἀποσταλέντ' ἴδῃς.
ΘΕΡ. ἅπαντα ταῦτ' ἠθρησεκανπωτουσεχει
ΜΕΡ. οἶδεν δ' ἐμὴ τάδ' ἢ οὐκ ἐπίσταται δάμαρ;
ΘΕΡ. θυηπολοῦσα θεοῖς ἐκεῖσ' ἔχει φρένας.
ΜΕΡ. ἀλλ' εἶμ', ἐπεί τοι καὶ φιλεῖ τὰ τοιάδε
ληφθέντα φαύλως ἐς μέγαν χειμῶν' ἄγειν.
σὺ δ' ὦ πυρὸς δέσποινα, Δήμητρος κόρη,
Ἥφαιστέ τ', ἔστε πρευμενεῖς δόμοις ἐμοῖς.
ΧΟΡ. τάλαιν' ἐγώ, τάλαινα, ποῖ πόδα
πτερόεντα καταστάσω;
ἀν' αἰθέρ' ἢ γᾶς ὑπὸ κεῦθος ἄφαν-
τον ἐξαμαυρωθῶ;
ἰώ μοί μοι, κακὰ φανήσεται·
βασίλεια τάλαινα παῖς τ' ἔσω
κρυφαῖος νέκυς·
ὀτοτοτοῖ, κεραύνιαί τ' ἐκ Διὸς
πυρίβολοι πλαγαὶ λέχεά θ' Ἁλίου.
ὦ δυστάλαινα τῶν ἀμετρήτων κακῶν
Ὠκεανοῦ κόρα,
πατρὸς ἴθι πρόσπεσε
γόνυ [λι]ταῖς, σφαγὰς
σφαγὰς οἰκτρά τ' ἀρκέσαι σᾶς δειρᾶς.
ΜΕΡ. ἰώ μοί μοι.

ΧΟΡ. ἠκούσατ' ἀρχὰς δεσπότου στεναγμάτων;
ΜΕΡ. ἰὼ τέκνον.
ΧΟΡ. καλεῖ τὸν οὐ κλύοντα δυστυχῆ γόνον
. . . . . . [ὀμμά]των ὁρᾶν σαφῆ.

Codex Clarom. fol. 163 verso continet vs. 1—37, folio recto vs. 38—75. vs. 1 ἐν νεκρῷ Herwerdenus. ΘΕΡΗΝ ΤΑΙ *b*, ΘΕΡΗΙΟΝ *h*. κεραυνίου Herwerdenus. vs. 3 *N*... cod., νέκυν Bekker. vs. 6 ΟΙΘΑCCΕΟΥCΟΜΟΛΓΟΝ *b*, οὐ θᾶσσον; οὐ σταλαγμὸν Dobraeus. vs. 9 ἐμοὶ κεῖται πολὺς Burges. vs. 11 et 12 habent Schol. Eur. Or. 1389 et Macrob. Sat. 1, 17, 10. vs. 11 καλλιφεγγὲς] χρυσοφεγγὲς Macrob. vs. 12 ΚΑΙΤΟΝΔ *b*, καὶ τοῦδ' vel καὶ τόνδ' Schol. Eur., ὅθεν σ' Macrob., κἀκ τοῦδ' Porsonus. ΑΠΟΛΛΩΝΔΕΝ ΒΡΟΤΟΙCΟΡΘΟCΚΑΛΗ *b*, Ἀπόλλων οὕτως εἰκότως κλῄζῃ βροτοῖς Schol. Eur., Ἀπόλλων' ἐμφανῶς κλῄζει βροτός Macrob., Ἀπόλλων δ' εἰκότως κλῄζει βροτοῖς Hermannus. pro Ἀπόλλων δ' ἐν fortasse Ἀπόλλω σ' ἐν leg. vs. 18 ΝΥΜΦΙΑC.. *b*, ΝΥΜΦΙΑ^ΟΦΑΟ^ *h*, νυμφεῖ' ὀφείλω Herm. vs. 36 ΠΑCΑΝCΑΡΧΕΤ.. *b*, πᾶς ἂν ἄρχεσθαι θέλοι Herm. vs. 37 π[οιεῖσθαι] Herm. vs. 44 ΕΝΔΟΘΕΝΚΑΠΝΟΥ *b*, ΕΝΑΦΝ^ΑΙΘΙΠΟΥ^ *h*, ἔνδον αἰθάλου Hermannus, ἔνδον αἰθίνου Maur. Schmidtius. vs. 50 ΤΑΥΤΗΘΡΗCΕΚΑΝΠΩΤΟΥCΕΧΕΙ *b*, ΤΑΠΑΙΘΡΗCΕΚΑΝΠΩΤΟΥC^ΟΔΟΙ^ *h*, ταῦτ' αἴθρῃ τ' ἀκάπνωτοί θ' ὁδοί Herm., πάτερ ἠθρησα κἀντωπησ' ὁδῷ Bothius. vs. 56 ΕΙΗΡΕΠΕΥΜΕΝΕΙC *b*, τ' εἶτε πρευμενεῖς L. Dindorfius. pro εἶτε ego ἔστε praetuli. vs. 57 fort. ποῦ πόδα leg. vs. 61 καταφανήσεται cod., κακὰ φανήσεται Burges. vs. 68 πατρὸς ἴθι] fort. πρόσιθι leg., nec πρόσπεσε integrum puto. vs. 69 ΓΟΝΥΤΑΙCΦΑΓΑC *b*, f. γονυπετὴς σφαγὰς leg.

782

μισῶ δὲ . . . . . . . ἀγκύλον
τόξον κρανείας γυμνάσιά τ' οἰχοίατο.

Plut. Mor. p. 608 E: ἀλλὰ δέδια πάλιν μὴ συνεκβάλωμεν τῷ λυποῦντι τὴν μνήμην ὥσπερ ἡ Κλυμένη λέγουσα ‘μισῶ δ' εὐάγκαλον τόξον — οἰχοίατο’.

783

φίλος δέ μοι
ἄλουτος ἐν φάραγξι σήπεται νέκυς.

Plut. Mor. p. 665 C: πολλοὶ γὰρ ουτε καίουσιν οὔτε κατορύττουσιν, ἀλλ' ἐῶσι περιφράξαντες ὥστε ὁρᾶσθαι τοὺς νεκροὺς ἀσήπτους ἀεί, τὴν Εὐριπίδου Κλυμένην ἐλέγχοντας ἐπὶ τοῦ Φαέθοντος εἰποῦσαν 'φίλος — νέκυς'.

784

ψυκτήρια
δένδρεα φίλαισιν ὠλέναισι δέξεται

Ath. XI p. 503 D de v. ψυκτήρια: Εὐριπίδης Φαέθοντι 'ψυκτήρια — δέξεται'. vs. 2 δένδρεα] δένδρων Dobraeus.

## ΦΙΛΟΚΤΗΤΗΣ

Fabula scenae commissa est olymp. 87, 1: cf. Argum. Eur. Med. Euripidem secutus tragoediae mythum adumbrat Hyginus fab. 102. Aeschyli Euripidis Sophoclis tragoedias cognomines inter se comparat Dio Chrys. orat. 52, unde quae ad Euripideam fabulam cognoscendam faciunt apponimus. § 6 et 7: ὁ χορὸς αὐτῷ (Aeschylum dicit) παραιτήσεως, ὥσπερ ὁ τοῦ Εὐριπίδου, οὐδὲν ἐδεήθη· ἄμφω γὰρ ἐκ τῶν Λημνίων ἐποίησαν τὸν χορόν. ἀλλ' ὁ μὲν Εὐριπίδης εὐθὺς ἀπολογουμένους πεποίηκε περὶ τῆς πρότερον ἀμελείας, ὅτι δὴ τοσούτων ἐτῶν οὔτε προσέλθοιεν πρὸς τὸν Φιλοκτήτην οὔτε βοηθήσειαν οὐδὲν αὐτῷ. § 8: ὁ Εὐριπίδης τὸν Ἄκτορα εἰσάγει ἕνα Λημνίων ὡς γνώριμον τῷ Φιλοκτήτῃ προσιόντα καὶ πολλάκις συμβεβληκότα. § 11: ἥ τε τοῦ Εὐριπίδου σύνεσις καὶ περὶ πάντα ἐπιμέλεια, ὥστε μήτε ἀπίθανόν τι καὶ παρημελημένον ἐᾶσαι μήτε ἁπλῶς τοῖς πράγμασι χρῆσθαι, ἀλλὰ μετὰ πάσης ἐν τῷ εἰπεῖν δυνάμεως, ὥσπερ ἀντίστροφός ἐστι τῇ τοῦ Αἰσχύλου (ἁπλότητι addit Reiskius), πολιτικωτάτη καὶ ῥητορικωτάτη οὖσα καὶ τοῖς ἐντυγχάνουσι πλείστην ὠφέλειαν παρασχεῖν δυναμένη. εὐθὺς γοῦν πεποίηται προλογίζων αὐτῷ ὁ Ὀδυσσεὺς καὶ ἄλλα τε ἐνθυμήματα πολιτικὰ στρέφων ἐν ἑαυτῷ καὶ πρῶ-

*τόν γε διαπορῶν ὑπὲρ αὐτοῦ, μὴ ἄρα δοκῇ μὲν τοῖς πολλοῖς σοφός τις εἶναι καὶ διαφέρων τὴν σύνεσιν, ᾖ δὲ τοὐναντίον.* § 12: *ἐξὸν γὰρ αὐτῷ ἀλύπως καὶ ἀπραγμόνως ζῆν, ὃ δὲ ἑκὼν ἀεὶ ἐν πράγμασι καὶ κινδύνοις γίγνεται. τούτου δὲ φησὶν αἴτιον εἶναι τὴν τῶν εὐφυῶν καὶ γενναίων ἀνδρῶν φιλοτιμίαν. δόξης γὰρ ἀγαθῆς ἐφιέμενοι καὶ τοῦ εὐκλεεῖς παρὰ πᾶσιν ἀνθρώποις εἶναι μεγίστους καὶ χαλεπωτάτους ἑκόντες πόνους ὑφίστανται· ‛οὐδὲν — ἔφυ’* (fr. 786, 1). *ἔπειτα σαφῶς καὶ ἀκριβῶς δηλοῖ τὴν τοῦ δράματος ὑπόθεσιν καὶ οὗ ἕνεκεν ἐλήλυθεν εἰς τὴν Λῆμνον.* § 13: *φησί τε ὑπὸ τῆς Ἀθηνᾶς ἠλλοιῶσθαι, ὥστε ἐντυχόντα τῷ Φιλοκτήτῃ μὴ γνωσθῆναι ὑπ’ αὐτοῦ —. φησί τε πρεσβείαν μέλλειν παρὰ τῶν Τρώων ἀφικνεῖσθαι πρὸς τὸν Φιλοκτήτην δεησομένην αὐτόν τε καὶ τὰ ὅπλα ἐκείνοις παρασχεῖν ἐπὶ τῇ τῆς Τροίας βασιλείᾳ, ποικιλώτερον τὸ δρᾶμα κατασκευάζων καὶ ἀνευρίσκων λόγων ἀφορμάς, καθ’ ἃς εἰς τἀναντία ἐπιχειρῶν εὐπορώτατος καὶ παρ’ ὀντινοῦν ἱκανώτατος φαίνεται.* § 14: *οὐ μόνον δὲ πεποίηκε τὸν Ὀδυσσέα παραγινόμενον, ἀλλὰ μετὰ τοῦ Διομήδους — καὶ τὸ ὅλον, ὡς ἔφην, δι’ ὅλου τοῦ δράματος πλείστην μὲν ἐν τοῖς πράγμασι σύνεσιν καὶ πιθανότητα ἐπιδείκνυται, ἀμήχανον δὲ καὶ θαυμαστὴν ἐν τοῖς λόγοις δύναμιν, καί τά τε ἰαμβεῖα σαφῶς καὶ κατὰ φύσιν καὶ πολιτικῶς ἔχοντα καὶ τὰ μέλη οὐ μόνον ἡδονήν, ἀλλὰ καὶ πολλὴν πρὸς ἀρετὴν παράκλησιν.* adde eiusdem Dionis Chrysost. orat. 59 ΦΙΛΟΚΤΗΤΗΣ inscriptam, quam integram subicimus.

*ΟΔ. Φοβοῦμαι μή ποτε μάτην κατ’ ἐμοῦ φανῶσι ταύτην οἱ σύμμαχοι τὴν δόξαν εἰληφότες ὡς ἀρίστου δὴ καὶ σοφωτάτου τῶν Ἑλλήνων. καίτοι ποία τις ἡ τοιαύτη σοφία καὶ φρόνησις, δι’ ἥν τις ἀναγκάζεται πλείω τῶν ἄλλων πονεῖν ὑπὲρ τῆς κοινῆς σωτηρίας καὶ νίκης, ἐξὸν ἕνα τοῦ πλήθους δοκοῦντα μηδενὸς ἔλαττον ἐν τούτοις ἔχειν τῶν ἀρίστων; ἀλλὰ γὰρ ἴσως χαλεπὸν εὑρεῖν οὕτω μεγαλόφρον καὶ φιλότιμον ὁτιοῦν ὡς ἀνὴρ πέφυκεν. τοὺς γὰρ φανεροὺς καὶ πλειόνων ἅπτεσθαι τολμῶντας σχεδὸν τούτους πάντες θαυμάζομεν καὶ τῷ ὄντι ἄνδρας ἡγούμεθα.* 2. *ὑφ’ ἧς φιλοτιμίας κἀγὼ προάγομαι πλεῖστα πράγματα ἔχειν καὶ ζῆν ἐπιπόνως παρ’ ὀντινοῦν, ἀεί τινα προσδεχόμενος και-*

νὸν κίνδυνον, ὀκνῶν διαφθεῖραι τὴν ἐπὶ τοῖς ἔμπροσθε γεγονόσιν εὔκλειαν. νῦν οὖν κατὰ πρᾶξιν πάνυ ἐπισφαλῆ καὶ χαλεπὴν δεῦρο ἐλήλυθα εἰς Λῆμνον, ὅπως Φιλοκτήτην καὶ τὰ Ἡρακλέους τόξα κομίζοιμι τοῖς συμμάχοις. ὁ γὰρ δὴ μαντικώτατος Φρυγῶν Ἕλενος ὁ Πριάμου κατεμήνυσεν, ὅτε ἔτυχεν αἰχμάλωτος ληφθείς, ἄνευ τούτων μήποτ' ἂν ἁλῶναι τὴν πόλιν. 3. πρὸς μὲν δὴ τοὺς βασιλέας οὐχ ὡμολόγησα τὴν πρᾶξιν, ἐπιστάμενος τὴν τοῦ ἀνδρὸς ἔχθραν, ᾧ γε αὐτὸς αἴτιος ἐγενόμην καταλειφθῆναι, ὅτε δηχθεὶς ἔτυχεν ὑπὸ χαλεπῆς καὶ ἀνιάτου ἐχίδνης. οὐκ ἂν οὖν ᾤμην οὐδὲ πειθὼ τοιαύτην ἐξευρεῖν, ὑφ' ἧς ἂν ποτε ἐκεῖνος ἐμοὶ πράως ἔσχεν, ἀλλ' εὐθὺς ἀποθανεῖσθαι ᾤμην ὑπ' αὐτοῦ. ὕστερον δέ, τῆς Ἀθηνᾶς μοι παρακελευσαμένης καθ' ὕπνους, ὥσπερ εἴωθε, θαρροῦντα ἐπὶ τὸν ἄνδρα ἰέναι· αὐτὴ γὰρ ἀλλάξειν μου τὸ εἶδος καὶ τὴν φωνήν, ὥστε λαθεῖν αὐτῷ ξυγγενόμενον· οὕτω δὴ ἀφῖγμαι θαρρήσας. 4. πυνθάνομαι δὲ καὶ παρὰ τῶν Φρυγῶν πρέσβεις ἀπεστάλθαι κρύφα, ἐάν πως δύνωνται τὸν Φιλοκτήτην πείσαντες δώροις ἅμα καὶ διὰ τὴν ἔχθραν τὴν πρὸς ἡμᾶς ἀναλαβεῖν εἰς τὴν πόλιν αὐτὸν καὶ τὰ τόξα. τοιούτου προκειμένου ἄθλου πῶς οὐ πανταχῇ ἄνδρα γίγνεσθαι δεῖ πρόθυμον; ὡς διαμαρτόντι τῆς πράξεως ταύτης πάντα τὰ πρότερον εἰργασμένα μάτην πεπονῆσθαι ἔοικεν. 5. παπαῖ· πρόσεισιν ὁ ἀνήρ. αὐτὸς ὅδε ὁ Ποίαντος παῖς, οὐκ ἄδηλος τῇ ξυμφορᾷ, μόλις καὶ χαλεπῶς προβαίνων. ὢ τοῦ χαλεποῦ καὶ δεινοῦ ὁράματος οὕτως. τό τε γὰρ εἶδος ὑπὸ τῆς νόσου φοβερὸν ἥ τε στολὴ ἀήθης· δοραὶ θηρίων καλύπτουσιν αὐτόν. ἀλλὰ σὺ ἄμυνον, ὦ δέσποινα Ἀθηνᾶ, καὶ μὴ μάτην φανῇς ἡμῖν ὑποσχομένη τὴν σωτηρίαν. 6. ΦΙΛ. τί δὴ βουλόμενος ὅστις εἶ ποτε σὺ ἢ τίνα τόλμαν λαβών, πότερον ἁρπαγῆς χάριν ἥκεις ἐπὶ τήνδε τὴν ἄπορον στέγην ἢ κατάσκοπος τῆς ἡμετέρας δυστυχίας; ΟΔ. οὔτι γε ὁρᾷς ἄνδρα ὑβριστήν. ΦΙΛ. οὐ μὴν εἰωθώς γε πρότερον δεῦρο ἥκεις. ΟΔ. οὐ γὰρ εἰωθώς· εἴη δὲ νῦν ἐν καιρῷ ἀφῖχθαι. ΦΙΛ. πολλὴν ἔοικας ἀλογίαν φράζειν τῆς δεῦρο ὁδοῦ. ΟΔ. εὖ τοίνυν ἴσθι, οὐ χωρὶς αἰτίας με ἥκοντα καὶ σοί γε οὐκ ἀλλότριον φανησόμενον. 7. ΦΙΛ. πόθεν δή; τοῦτο γὰρ πρῶτον εἰκός με εἰδέναι. ΟΔ. ἀλλ' εἰμὶ Ἀργεῖος τῶν ἐπὶ Τροίαν πλευ-

σάντων. ΦΙΛ. πόθεν; εἰπὲ πάλιν, ὡς εἰδῶ σαφέστερον. ΟΔ. οὐκοῦν ἔτι δεύτερον ἀκούεις· τῶν ἐπ' Ἴλιον στρατευσάντων Ἀχαιῶν εἶναι φημί. ΦΙΛ. καλῶς δῆτα ἔφησθα ἐμὸς εἶναι φίλος, ὁπότε γε τῶν ἐμοὶ πολεμιωτάτων Ἀργείων πέφηνας. τούτων δὴ τῆς ἀδικίας αὐτίκα μάλα σὺ υφέξεις δίκην. ΟΔ. ἀλλ' ὦ πρὸς θεῶν, ἐπίσχες ἀφεῖναι τὸ βέλος. ΦΙΛ. οὐ δυνατόν, εἴπερ Ἕλλην ὢν τυγχάνεις, τὸ μὴ ἀπολωλέναι σε ἐν τῇδε τῇ ἡμέρᾳ. 8. ΟΔ. ἀλλὰ πέπονθά γε ὑπ' αὐτῶν τοιαῦτα ἐξ ὧν δικαίως σοὶ μὲν ἂν φίλος εἴην, ἐκείνων δὲ ἐχθρός. ΦΙΛ. καὶ τί δὴ τοῦτό ἐστιν ὃ πέπονθας οὕτω χαλεπόν; ΟΔ. φυγάδα με ἤλασεν ἐκ τοῦ στρατοῦ Ὀδυσσεύς. ΦΙΛ. τί δὲ ἕδρας ἐφ' ὅτῳ τῆσδε τῆς δίκης ἔτυχες; ΟΔ. οἶμαί σε γινώσκειν τὸν Ναυπλίου παῖδα Παλαμήδην· οὐδὲ γὰρ τῶν ἐπιτυχόντων οὐδὲ ὀλίγου ἄξιος συνέπλει οὔτε τῷ στρατῷ οὔτε τοῖς ἡγεμόσιν. τὸν δὴ τοιοῦτον ἄνδρα ὁ κοινὸς τῶν Ἑλλήνων λυμεὼν διέφθειρεν. ΦΙΛ. πότερον ἐκ τοῦ φανεροῦ μάχῃ κρατήσας ἢ μετὰ δόλου τινός; ΟΔ. προδοσίαν ἐπενεγκὼν τοῦ στρατοῦ τοῖς Πριαμίδαις. ΦΙΛ. ἣν δὲ κατ' ἀλήθειαν οὕτως ἔχον, ἢ πέπονθε κατεψευσμένος; ΟΔ. πῶς δ' ἂν δικαίως γένοιτο τῶν ὑπ' ἐκείνου γιγνομένων ὁτιοῦν; 9. ΦΙΛ. ὦ μηδενὸς ἀποσχόμενος τῶν χαλεπωτάτων, λόγῳ τε καὶ ἔργῳ πανουργότατε ἀνθρώπων Ὀδυσσεῦ, οἷον αὖ τοῦτον ἄνδρα ἀνῄρηκας, ὃς οὐδὲν ἧττον ὠφέλιμος ἦν τοῖς ξυμμάχοις ἤπερ οἶμαι σὺ τὰ κάλλιστα καὶ σοφώτατα ἀνευρίσκων καὶ συντιθείς· ὥσπερ ἀμέλει κἀμὲ ἐξέθηκας ὑπὲρ τῆς κοινῆς σωτηρίας τε καὶ νίκης περιπεσόντα τῇδε τῇ ξυμφορᾷ, δεικνύντα τὸν Χρύσης βωμόν, οὗ θύσαντες κρατήσειν ἔμελλον τῶν πολεμίων· εἰ δὲ μή, μάτην ἐγίγνετο ἡ στρατεία. ἀλλὰ τί δὴ σοὶ προσῆκον τῆς Παλαμήδους τύχης; 10. ΟΔ. εὖ ἴσθι ὅτι ἐπὶ πάντας τοὺς ἐκείνου φίλους ἦλθε τὸ κακὸν καὶ πάντες ἀπολώλασιν ὅστις μὴ φυγεῖν ἠδυνήθη. οὕτω δὴ κἀγὼ τῆς παροιχομένης νυκτὸς διαπλεύσας μόνος δεῦρο ἐσώθην. σχεδὸν μὲν οὖν ἐν ὅσῃ ἔγωγε χρείᾳ καθέστηκας αὐτός· εἰ δ' οὖν ἔχεις τινὰ μηχανήν, ξυμπροθυμηθεὶς ἡμῖν περὶ τὸν οἴκαδε ἀπόπλουν ἡμᾶς τε εὖ πεποιηκὼς ἔσῃ καὶ ἅμα ἄγγελον ἀποπέμψεις πρὸς τοὺς σεαυτοῦ οἴκαδε τῶν σοὶ παρόντων κακῶν. 11. ΦΙΛ. ἀλλ' ὦ δύστηνε, πρὸς τοιοῦ-

τον ἕτερον ἥκεις ξύμμαχον αὐτόν τε ἄπορον καὶ ἔρημον φίλων ἐπὶ τῇσδε τῆς ἀκτῆς ἐρριμμένον, γλίσχρως καὶ μόλις ἀπὸ τῶνδε τῶν τόξων πορίζοντα καὶ τροφὴν καὶ ἐσθῆτα, ὡς ὁρᾷς. ἣ γὰρ ἦν ἡμῖν ἐσθὴς πρότερον, ὑπὸ τοῦ χρόνου ἀνάλωται. εἰ δὲ δὴ τοῦδ' ἐθελήσεις κοινωνεῖν τοῦ βίου μεθ' ἡμῶν ἐνθάδε, ἕως ἂν ἑτέρα σοι παραπέσῃ σωτηρία ποθέν, οὐκ ἂν φθονοῖμεν. δυσχερῆ γε μὴν τἄνδον ὁράματα, ὦ ξένε, τελαμῶνές τε ἕλκους ἀνάπλεοι καὶ ἄλλα σημεῖα τῆς νόσου· αὐτός τε οὐχ ἡδὺς ξυγγενέσθαι, ὅταν ἡ ὀδύνη προσπέσῃ. καίτοι λελώφηκε τῷ χρόνῳ τὸ πολὺ τῆς νόσου· κατ' ἀρχὰς δ' οὐδαμῶς ἀνεκτὸς ἦν.

Ex hac paraphrasi aliquot poetae versus non sine probabilitate quadam eruere licuerit, velut

§ 6: *ΟΔ.* πολλήν γ' ἔοικας ἀλογίαν φράζειν ὁδοῦ.<br>
§ 7: *ΦΙΛ.* πόθεν δέ; πρῶτον γὰρ τόδ' εἰδέναι θέλω.<br>
ibid.: *ΦΙΛ.* πόθεν; λέγ' αὖθις, ἵνα μάθω σαφέστερον.<br>
ibid.: *ΦΙΛ.* οὐ δυνατόν, εἴπερ τυγχάνεις Ἕλλην γεγώς,<br>
τὸ μὴ οὐκ ὀλωλέναι σε τῇδ' ἐν ἡμέρᾳ.<br>
§ 8: *ΦΙΛ.* μάχῃ κρατήσας ἢ δόλου τινὸς μέτα;

denique extrema verba: κατ' ἀρχὰς δ' οὐδαμῶς ἀνεκτὸς ἦν. item versus quosdam sine poetae aut fabulae nomine traditos ex hac fabula repetitos esse Dionis paraphrasi docemur (vide fr. 785 787 788). respicit hanc tragoediam Ar. Ach. 423: ποίας ποθ' ἁνὴρ λακίδας αἰτεῖται πέπλων; ἀλλ' ἢ Φιλοκτήτου τὰ τοῦ πτωχοῦ λέγεις; ubi Schol. vs. 424: εἰσήγαγε γὰρ τὸν Φιλοκτήτην ἐν τῇ Λήμνῳ πενόμενον. fortasse huius fabulae sunt adesp. fr. 8:

ὑπέρ γε μέντοι παντὸς Ἑλλήνων στρατοῦ<br>
αἰσχρὸν σιωπᾶν, βαρβάρους δ' ἐᾶν λέγειν,

et 483: εἰς ἀσθενοῦντας ἀσθενῶν ἐλήλυθας.

### 785

πῶς δ' ἂν φρονοίην, ᾧ παρῆν ἀπραγμόνως<br>
ἐν τοῖσι πολλοῖς ἠριθμημένῳ στρατοῦ<br>
ἴσον μετασχεῖν τῷ σοφωτάτῳ τύχης;

Plut. Mor. p. 544 C: καὶ τὸ 'πῶς — τύχης'. Aristot.

Eth. Nic. 6, 9 p. 1142 a 3: *διὸ Εὐριπίδης 'πῶς — ἴσον μετασχεῖν;* (vs. 1—3) *τοὺς γὰρ περισσοὺς καί τι πράσσοντας πλέον'* (fr. 786, 2). fabulam indicat Dio Chr. 52, 12 et 59, 1 (vide supra p. 217). Vlixis sunt verba, qui *προλογίζει* teste Dione Chrysost. cf. Schol. Soph. Phil. 1: *καὶ παρὰ τούτῳ προλογίζει ὁ Ὀδυσσεὺς καθὰ καὶ παρ' Εὐριπίδῃ· ἐκεῖνο μέντοι διαφέρει παρ' ὅσον ὁ μὲν Εὐριπίδης πάντα τῷ Ὀδυσσεῖ περιτίθησιν, οὗτος δὲ τὸν Νεοπτόλεμον παρεισάγων διὰ τούτου οἰκονομεῖται.*

786

*οὐδὲν γὰρ οὕτω γαῦρον ὡς ἀνὴρ ἔφυ·*
*τοὺς γὰρ περισσοὺς καί τι πράσσοντας πλέον*
*τιμῶμεν ἄνδρας τ' ἐν πόλει νομίζομεν.*

Vs. 1 habet Dio Chr. 52, 12 (supra p. 217). respicit Ar. Ran. 282: *οὐδὲν γὰρ οὕτω γαῦρόν ἐσθ' ὡς Ἡρακλῆς.* ubi Schol.: *παρὰ τὰ ἐκ Φιλοκτήτου Εὐριπίδου 'οὐδὲν — ἔφυ'.* Plut. Mor. p. 779 D: *οὐδὲν γὰρ οὕτω γαῦρον καὶ τραχὺ καὶ δύσαρκτον ὡς ἀνὴρ ἔφυ εὐπραγίας δοκούσης ἀντιλαμβανόμενος.* Hesych.: *γαῦρος· αὐθάδης, σεμνός, μεγαλοπρεπής, ἢ μετέωρος. Εὐριπίδης Φιλοκτήτῃ.* vs. 2 et 3 habet Stob. Flor. 29, 15. cohaerere vs. 1 cum vs. 2 et 3 docet Dio Chr. 59, 1 (supra p. 217). inter fr. 785 et 786 interposuit poeta ea quorum sententiam reddit Dio Chr. 52, 12: *τούτου δὲ φησὶν αἴτιον εἶναι κτἑ.*, vide p. 217.

787

*ὀκνῶ δὲ μόχθων τῶν πρὶν ἐκχέαι χάριν,*
*καὶ τοὺς παρόντας οὐκ ἀπωθοῦμαι πόνους.*

Plut. Mor. p. 544 C: *καὶ τὸ 'ὀκνῶ — πόνους'.* vs. 1 Stob. Flor. 29, 16. huius fabulae esse versus docet Dio Chr. 59, 2: *ὀκνῶν διαφθεῖραι τὴν ἐπὶ τοῖς πρόσθε γεγονόσιν εὔκλειαν.*

788

*δύσμορφα μέντοι τἄνδον εἰσιδεῖν, ξένε.*

Plut. Mor. p. 521 A: *ἀλλ' οὐδὲ ἡδὺ τὸ θέαμα. 'δύσμορ-*

*φα — ξένε'.* versus huc relatus est secundum Dionis Chrys. verba 59, 11: *δυσχερῆ γε μὴν τἄνδον ὁράματα, ὦ ξένε.*

789

*ἄλις, ὦ βιοτά· πέραινε, πρίν τινα συντυχίαν*
*ἢ κτεάτεσσιν ἐμοῖς ἢ σώματι τῷδε γενέσθαι.*

Stob. Flor. 120, 10.

790

*φαγέδαιν' ἀεί μου σάρκα θοινᾶται ποδός*

Aristot. Poet. c. 22 p. 1458 b 23: *τὸ αὐτὸ ποιήσαντος ἰαμβεῖον Αἰσχύλου καὶ Εὐριπίδου, ἓν δὲ μόνον ὄνομα μεταθέντος ἀντὶ κυρίου εἰωθότος γλῶτταν, τὸ μὲν φαίνεται καλόν, τὸ δ' εὐτελές. Αἰσχύλος μὲν γὰρ ἐν τῷ Φιλοκτήτῃ ἐποίησε 'φαγέδαινα ἥ μου σάρκας ἐσθίει ποδός', ὁ δὲ ἀντὶ τοῦ ἐσθίει τὸ θοινᾶται μετέθηκεν.*

791

*μακάριος ὅστις εὐτυχῶν οἴκοι μένει·*
*ἐν γῇ δ' ὁ φόρτος, καὶ πάλιν ναυτίλλεται.*

Stob. Flor. 59, 18. vs. 1 afferunt Stob. Flor. 39, 13 et Clem. Alex. Strom. VI p. 739.

792

*ὁρᾶτε δ' ὡς κἀν θεοῖσι κερδαίνειν καλόν,*
*θαυμάζεται δ' ὁ πλεῖστον ἐν ναοῖς ἔχων*
*χρυσόν. τί δῆτα καὶ σὲ κωλύει λαβεῖν*
*κέρδος, παρόν γε κἀξομοιοῦσθαι θεοῖς;*

Iustinus Mart. de monarchia c. 5: *ἐν Φιλοκτήτῃ* (praecedit Phrixi locus) '*ὁρᾶτε — θεοῖς*'. vs. 1 *ὅρα τόδ'* Bothius.

793

*τί δῆτα θάκοις μαντικοῖς ἐνήμενοι*
*σαφῶς διόμνυσθ' εἰδέναι τὰ δαιμόνων;*
*οὐ τῶνδε χειρώνακτες ἄνθρωποι λόγων·*
*ὅστις γὰρ αὐχεῖ θεῶν ἐπίστασθαι πέρι,*

*οὐδέν τι μᾶλλον οἶδεν ἢ πείθειν λέγων.*

Stob. Ecl. 2, 1, 2 p. 4. vs. 5 *πείθει λέγων* libri, *ψευδῆ λέγειν* vel *ψευδηγορεῖν* Heimsoethius.

794

*λέξω δ' ἐγώ, κἄν μου διαφθείρας δοκῇ*
*λόγους ὑποστὰς αὐτὸς ἠδικηκέναι·*
*ἀλλ' ἐξ ἐμοῦ γὰρ τἀμὰ μαθήσῃ κλύων,*
*ὃ δ' αὐτὸς αὑτὸν ἐμφανιεῖ σοι λέγων.*

Aristot. Rhet. ad Alex. c. 19 p. 1433 b 12: *κέχρηται δὲ καὶ Εὐριπίδης ἐν Φιλοκτήτῃ τεχνικῶς τούτῳ τῷ εἴδει* (*προκαταλήψεις* dicit) *διὰ τοῦδε* '*λέξω — λέγων*'. vs. 2 *ὑποφθὰς* Weilius. vs. 3 *μαθήσῃ*] *πάντ' εἴσει* Meinekius, alii alia. vs. 4 *ἐμφανῆ θήσει* Iacobsius, *ἐμφανιζέτω* Pflugkius, *ἐμφανίζει σοι* Sauppius.

795

*πατρὶς καλῶς πράσσουσα τὸν τυχόντ' ἀεὶ*
*μείζω τίθησι, δυστυχοῦσα δ' ἀσθενῆ.*

Stob. Flor. 40, 1.

796

*ὥσπερ δὲ θνητὸν καὶ τὸ σῶμ' ἡμῶν ἔφυ,*
*οὕτω προσήκει μηδὲ τὴν ὀργὴν ἔχειν*
*ἀθάνατον ὅστις σωφρονεῖν ἐπίσταται.*

Stob. Flor. 20, 17. cf. Phalaridis Epist. 24: *θνητοὺς γὰρ ὄντας ἀθάνατον ὀργὴν ἔχειν, ὥς φασί τινες, οὐ προσήκει.*

797

*φεῦ, μήποτ' εἴην ἄλλο πλὴν θεοῖς φίλος,*
*ὡς πᾶν τελοῦσι, κἂν βραδύνωσιν χρόνῳ.*

Orion. Flor. 5, 4 p. 255, 18 et Flor. Eurip. 1 p. 264, 20.

798

*ἀπέπνευσεν αἰῶνα*

Hesych.: *αἰών· ὁ βίος τῶν ἀνθρώπων — Εὐριπίδης δὲ Φιλοκτήτῃ αἰῶνα τὴν ψυχὴν λέγει ‘ἀπέπνευσεν αἰῶνα’.*

799

*αἱρεῖς*

Hesych.: *αἱρεῖς· δοξάζεις, ἡγῇ· Εὐριπίδης Φιλοκτήτῃ.* (*ειν* *ειν* written above *αἱρεῖς* and *ἡγῇ*) Anecd. Bekk. p. 359, 22 et Suidas: *αἱρεῖς* (*αἱρεῖς* Suid.)· *δοξάζεις, ἡγῇ.*

800

*ἀκριβές*

Hesych.: *ἀκριβές· ἄκρον. Εὐριπίδης Φιλοκτήτῃ.*

## ΦΟΙΝΙΞ

Respicit hanc tragoediam Ar. Ach. 421, qui Euripidem interrogantem facit: *τὰ ποῖα τρύχη; — τὰ τοῦ τυφλοῦ Φοίνικος*; argumenti summam indicat Apollod. 3, 13, 8: *Φοῖνιξ ὁ Ἀμύντορος — ὑπὸ τοῦ πατρὸς ἐτυφλώθη καταψευσαμένης φθορὰν Φθίας τῆς τοῦ πατρὸς παλλακίδος· Πηλεὺς δὲ αὐτὸν πρὸς Χείρωνα κομίσας ὑπ' ἐκείνου θεραπευθέντα τὰς ὄψεις βασιλέα κατέστησε Δολόπων.* cf. Epigr. Cyzic. Anth. Pal. 3, 3: *Ἀλκιμέδη ξυνόμευνον Ἀμύντορα παιδὸς ἐρύκει, Φοίνικος δ' ἐθέλει παῦσαι χόλον γενέτου· — κεῖνος δ' αὖ δολίοις ψιθυρίσμασιν ἤχθετο κούρῳ, ἦγε δ' ἐς ὀφθαλμοὺς λαμπάδα παιδολέτιν.* Schol. A Il. *I*, 453 (Eust. Il. p. 763, 11), ubi pro *τῇ πιθόμην καὶ ἔρεξα* Aristodemus *οὐ πιθόμην οὐδ' ἔρξα* scripsisse traditur: *πρὸ δὲ αὐτοῦ Σωσιφάνης τὴν τοιαύτην εὗρε γραφήν· καὶ Εὐριπίδης δὲ ἀναμάρτητον εἰσάγει τὸν ἥρωα ἐν τῷ Φοίνικι.* Schol. AB Il. *I*, 448: *ἡ ἱστορία* (Phoenicis) *παρὰ τῷ ποιητῇ· παρὰ γὰρ τοῖς τραγικοῖς παραλλάσσει.* Euripidei mythi fontem indicavit Hieronymus teste Suid. v. *Ἀναγυράσιος*: *τούτου* (daemonis Anagyrasii) *δέ τις ἐξέκοψε τὸ ἄλσος· ὁ δὲ τῷ υἱῷ αὐτοῦ ἐπέμηνε τὴν παλλακήν, ἥτις μὴ δυναμένη συμπεῖσαι τὸν παῖδα διέβαλεν ὡς ἀσελγῆ τῷ πατρί. ὁ δὲ ἐπήρωσεν αὐτὸν καὶ ἐγκατῳκοδόμησεν. ἐπὶ τούτοις καὶ ὁ πατὴρ ἑαυτὸν ἀνήρτησεν, ἡ δὲ παλλακὴ εἰς φρέαρ ἑαυτὴν ἔρριψεν. ἱστορεῖ δὲ Ἱερώνυμος ἐν τῷ περὶ τραγῳδοποιῶν, ἀπεικάζων*

τούτοις τὸν Εὐριπίδου Φοίνικα. eodem spectare videtur scriptor nescio quis ap. Suid. v. ἐγχάνειν: ἐντεῦθεν Εὐριπίδης ἐναυσάμενος τὸν λόγον ἅπαντα, εἶτα μέντοι Φοίνικι περιτίθησιν. de histrionibus qui Phoenicem egerint, vide Demosth. F. Leg. § 245 (Greg. Cor. Rhet. vol. 7 p. 1241): ταῦτα μὲν γὰρ τὰ ἰαμβεῖα ἐκ Φοίνικός ἐστιν Εὐριπίδου· τοῦτο δὲ τὸ δρᾶμα οὐδεπώποτε οὔτε Θεόδωρος οὔτε Ἀριστόδημος ὑπεκρίναντο, οἷς οὗτος τὰ τρίτα λέγων διετέλεσεν, ἀλλὰ Μόλων ἠγωνίζετο καὶ εἴ δή τις ἄλλος τῶν παλαιῶν ὑποκριτῶν. Ennium in Phoenice legisse Euripidis vestigia coniecit Valck. Diatr. c. 24.

801

μοχθηρόν ἐστιν ἀνδρὶ πρεσβύτῃ τέκνα
δίδωσιν ὅστις οὐκέθ' ὡραῖος γαμεῖ·
δέσποινα γὰρ γέροντι νυμφίῳ γυνή.

Stob. Flor. 71, 1. vs. 2 δίδωσιν vel potius ΔΙΔΩϹ ex ἠλίθιος ortum videtur; quae suspitio si vera est, vs. 2 et 3 a primo seiungendi erunt. vs. 3 ex Euripide affert Ar. Thesm. 413. γαμοῦντι pro γέροντι legitur in Men. mon. 129.

802

ὦ γῆρας, οἷον τοῖς ἔχουσιν εἶ κακόν.

Stob. Flor. 116, 36: Εὐριπίδου Φοίνικι (Αἰόλου cod. Voss.). 'ὦ — κακόν'.

803

ἀλλ' οὔποτ' αὐτὸς ἀμπλακὼν ἄλλον βροτὸν
παραινέσαιμ' ἂν παισὶ προσθεῖναι κράτη
πρὶν ἂν κατ' ὄσσων τυγχάνῃ μέλας σκότος,
εἰ χρὴ διελθεῖν πρὸς τέκνων νικώμενον.

Stob. Flor. 43, 16. vs. 3 κιγχάνῃ Monkius.

804

πικρὸν νέᾳ γυναικὶ πρεσβύτης ἀνήρ.

Stob. Flor. 71, 8. πικρὸν] αἰσχρὸν Clemens Alex. Strom. VI p. 745, qui Aristophani (Com. 2 p. 1180) hunc versum tribuit.

805

*γυνή τε πάντων ἀγριώτατον κακόν.*
Stob. Flor. 73, 57.

806

*. . . . . οἱ πεῖραν οὐ δεδωκότες*
*μᾶλλον δοκοῦντες ἢ πεφυκότες σοφοί*
Ioh. Damasc. post Stob. Ecl. p. 697, 2.

807

*μέγιστον ἆρ' ἦν ἡ φύσις· τὸ γὰρ κακὸν*
*οὐδεὶς τρέφων εὖ χρηστὸν ἂν θείη ποτέ.*
Stob. Flor. 90, 6.

808

*τἀφανῆ τεκμηρίοισιν εἰκότως ἁλίσκεται.*

Clem. Alex. Strom. VI p. 746: *Εὐριπίδου δὲ ἐν μὲν τῷ Οἰνομάῳ γράφοντος — ἐν δὲ τῷ Φοίνικι 'τἀφανῆ — ἁλίσκεται', Ὑπερίδης λέγει 'ἃ δ' ἐστὶν ἀφανῆ ἀνάγκη τοὺς διδάσκοντας τεκμηρίοις καὶ τοῖς εἰκόσι ζητεῖν'.* Theodoretus vol. 4 p. 881: *καὶ πάλιν ἐν τῷ Φοίνικι 'τἀφανὲς* (al. *τἀφανῆ*) *— ἁλίσκεται'.*

809

*ἤδη δὲ πολλῶν ᾑρέθην λόγων κριτὴς*
*καὶ πόλλ' ἁμιλληθέντα μαρτύρων ὕπο*
*τἀναντί' ἔγνων συμφορᾶς μιᾶς πέρι.*
*κἀγὼ μὲν οὕτως χὤστις ἔστ' ἀνὴρ σοφὸς*
*λογίζομαι τἀληθές, εἰς ἀνδρὸς φύσιν*
*σκοπῶν δίαιτάν θ' ἥντιν' ἡμερεύεται . . .*
*ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνήρ,*
*οὐ πώποτ' ἠρώτησα, γιγνώσκων ὅτι*
*τοιοῦτός ἐσθ' οἷοισπερ ἥδεται ξυνών.*

Aeschines c. Timarch. § 152: *πάλιν τοίνυν ὁ αὐτὸς* (Eur.) *ἐν τῷ Φοίνικι ἀποφαίνεται, ὑπὲρ τῆς γεγενημένης αὐ-*

τῷ πρὸς τὸν πατέρα διαβολῆς ἀπολογούμενος καὶ ἀπεθίζων τοὺς ἀνθρώπους μὴ ἐξ ὑποψίας μηδ' ἐκ διαβολῆς ἀλλ' ἐκ τοῦ βίου τὰς κρίσεις ποιεῖσθαι. 'ἤδη δὲ — ἥδεται ξυνών'. § 153: σκέψασθε δ' ὦ Ἀθηναῖοι τὰς γνώμας ἃς ἀποφαίνεται ὁ ποιητής. ἤδη δὲ πολλῶν πραγμάτων φησὶ γεγενῆσθαι κριτής, ὥσπερ νῦν ὑμεῖς δικασταί· καὶ τὰς κρίσεις οὐκ ἐκ τῶν μαρτυριῶν, ἀλλ' ἐκ τῶν ἐπιτηδευμάτων καὶ τῶν ὁμιλιῶν φησὶ ποιεῖσθαι, ἐκεῖσε ἀποβλέπων, πῶς τὸν καθ' ἡμέραν βίον ζῇ ὁ κρινόμενος καὶ ὅντινα τρόπον διοικεῖ τὴν ἑαυτοῦ οἰκίαν, ὡς παραπλησίως αὐτὸν καὶ τὰ τῆς πόλεως διοικήσοντα, καὶ τίσι χαίρει πλησιάζων· καὶ τελευτῶν οὐκ ὤκνησεν ἀποφήνασθαι τοιοῦτον αὐτὸν εἶναι οἷσπερ ἥδεται ξυνών. Ioh. Damasc. post Stob. Ecl. p. 698, 16: Εὐριπίδου. 'ἤδη δὲ — ἱμερεύεται' (vs. 1—6), ubi quae subiciuntur καὶ τῷδε δηλώσαιμ' ἂν κτέ. seiungenda esse vidit Boiss. vs. 7—9 habent Demosth. F. Leg. § 245 (Greg. Cor. Rhet. vol. 7 p. 1322) et Ioh. Dam. post Stob. Ecl. p. 706, 3. Schol. Demosth. p. 94 a 23: ὅστις δ' ὁμιλῶν· γνώμη Εὐριπίδου ἐκ Φοινίσσης (i. e. Φοίνικος). Anecd. Oxon. vol. 4 p. 144, 31 (sive Maximus Planudes Rhet. vol. 5 p. 572): ὅστις δ' ὁμιλῶν ἥδεται· τοῦτο τοῦ Θεόγνιδος. Tzetz. Anecd. Oxon. vol. 4 p. 145, 2: Μενάνδρου τοῦτο πέφυκεν ἐκ δράματος Πλοκίου, οὐ Θεόγνιδος. vs. 7—9 afferunt Diodorus Sic. 12, 14 Hermog. Rhet. vol. 1 p. 25 Doxopater Rhet. vol. 2 p. 288. cf. Demosth. F. Leg. § 245 (Hermog. Rhet. vol. 3 p. 437): ὅστις δ' ὁμιλῶν ἥδεται καὶ ταῦτα πρεσβεύων Φιλοκράτει, οὐ πώποτ' ἠρώτησα γιγνώσκων ὅτι ἀργύριον εἴληφ' οὗτος ὥσπερ Φιλοκράτης ὁ ὁμολογῶν. Libanius Epist. 430: ὅστις γὰρ ὁμιλῶν κατ' Εὐριπίδην ἥδεται Θεμιστίῳ, οὐ πώποτ' ἠρώτησα γιγνώσκων ὅτι τοῦ ζῆν ὡς ἄριστα ποιεῖται λόγον. verba γιγνώσκων — ξυνών (vs. 8 sq.) habet Plinius Epist. 4, 27, 6. item vs. 9 Aphthon. Rhet. vol. 1 p. 67 anonymi Rhet. vol. 1 p. 130 vol. 3 p. 736 Manuel Palaeol. Praec. c. 72 p. 100, respiciunt Choricius Gaz. p. 296 et Eust. Opusc. p. 351, 10. vs. 1 λόγων κριτὴς Aeschines, κριτὴς λόγων Ioh. Dam. vs. 3 πέρι] πάρα Reiskius, ὕπερ Valck. vs. 6 θ' om. Aesch. ἐμπορεύεται Aeschines, ἱμερεύεται Ioh. Dam., ἡμερεύεται Gaisfordus. vs. 8 ἱστόρησα Herwerdenus. vs. 9

*ἔστιν ἕκαστος οἷσπερ* plerique testes, *ἐστιν οἷσπερ* al., *ἔσθ' οἵοισπερ* H. Wolfius. cum hoc loco iungendum esse fr. 1052 coniecit Bergkius.

### 810

*ὦ πλοῦθ', ὅσῳ μὲν ῥᾷστον εἶ βάρος φέρειν,*
*πόνοι δὲ κἀν σοὶ καὶ φθοραὶ πολλαὶ βίου*
*ἔνεισ'· ὁ γὰρ πᾶς ἀσθενὴς αἰὼν βροτοῖς.*

Stob. Flor. 93, 17: *Εὐριπίδου Φοίνικι* (sic M Vind., *Εὐριπίδου Πλεισθένης* A). '*ὦ πλοῦθ' — βροτοῖς*'. Stob. Flor. 91, 12: *Εὐριπίδου Φοίνικι.* '*ὦ πλοῦθ' — φέρειν*' (vs. 1). vs. 3 *πᾶς γὰρ* malim.

### 811

*φθόνον οὐ σέβω,*
*φθονεῖσθαι δὲ θέλοιμ' ἂν ἐπ' ἐσθλοῖς.*

Stob. Flor. 38, 14.

### 812

*δμωσὶν δ' ἐμοῖσιν εἶπον ὡς ταυτηρίαις*
*πυρίδες καὶ διιπετῆ κτεῖναι*

Erotianus Gloss. Hippocr. p. 65, 9: *διιπετὴς ὁ γόνος· ἀντὶ τοῦ διαυγὴς καὶ καθαρός, ὡς καὶ Εὐριπίδης ἐν Φοίνικι λέγων* '*δμωσὶν — κτεῖναι*'. locus corruptissimus. *δμωσὶν δ' ἐμοῖσιν εἶπον ὡς καυτήρια ἐς πῦρ ἔδει καὶ* [*ταῦτα*] *δὴ διιπετῆ θεῖναι* coniecit Valckenarius.

### 813

*καίτοι ποτ' εἴ τιν' εἰσίδοιμ' ἀνὰ πτόλιν*
*τυφλὸν προηγητῆρος ἐξηρτημένον,*
*ἀδημονοῦντα συμφοραῖς ἐλοιδόρουν,*
*ὡς δειλὸς εἴη θάνατον ἐκποδὼν ἔχων.*
*καὶ νῦν λόγοισι τοῖς ἐμοῖς ἐναντίως*
*πέπτωχ' ὁ τλήμων· ὦ φιλόζωοι βροτοί,*
*οἳ τὴν ἐπιστείχουσαν ἡμέραν ἰδεῖν*

*ποθεῖτ' ἔχοντες μυρίων ἄχθος κακῶν·*
*οὕτως ἔρως βροτοῖσιν ἔγκειται βίου.*
*τὸ ζῆν γὰρ ἴσμεν, τοῦ θανεῖν δ' ἀπειρίᾳ*
*πᾶς τις φοβεῖται φῶς λιπεῖν τόδ' ἡλίου.*

Stob. Flor. 121, 12. vs. 4 ἐμποδὼν malim.

## 814

*σὺ δ' ὦ πατρῴα χθὼν ἐμῶν γεννητόρων*
*χαῖρ'· ἀνδρὶ γάρ τοι, κἂν ὑπερβάλλῃ κακοῖς,*
*οὐκ ἔστι τοῦ θρέψαντος ἥδιον πέδον.*

Stob. Flor. 39, 9. vs. 3 affert anonymus in libro *Les papyrus Grecs* (Paris. 1866) p. 105.

## 815

*ἀμνήστευτος γυνή*

Hesych.: ἀμνήστευτος γυνή· ἡ παλλακή. *Εὐριπίδης Φοίνικι.*

# ΦΡΙΞΟΣ

De argumento cf. Apollod. 1, 9, 1 et Hygini fab. 2 et 3. duplicem fabulae recensionem memorant Scholia Aristoph. Tzetz. Etym. M. cod. Flor. (v. fr. 816 et 824). nonnulli veterum huc referunt fr. 639.

## 816

*Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπών,*
*Ἀγήνορος παῖς, ἦλθε Θηβαίαν χθόνα*
*Φοῖνιξ πεφυκώς, ἐκ δ' ἀμείβεται γένος*
*Ἑλληνικόν, Διρκαῖον οἰκήσας πέδον.*
*ἢ δ' ἦλθ' ἀνάγκῃ πεδία Φοινίκης λιπών,*
*λέγοιμ' ἄν. ἦσαν τρεῖς Ἀγήνορος κόροι·*
*Κίλιξ, ἀφ' οὗ καὶ Κιλικία κικλήσκεται,*
*Φοῖνιξ, ὅθεν περ τοὔνομ' ἡ χώρα φέρει,*
*καὶ Θάσος*

Ar. Ran. 1225: ΕΥΡ. *Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκ-*

λιπὼν Ἀγήνορος παῖς ΑΙΣΧ. ληκύθιον ἀπώλεσεν. ubi Schol.: τοῦ δευτέρου Φρίξου Εὐριπίδου ἡ ἀρχή. Tzetzes eodem de loco haec annotat (edita ab H. Keilio in Mus. Rhen. *N. F.* VI p. 616 sq., repetita in Append. ad Lex. Vindob. p. 250): Σιδώνιόν ποτ' ἄστυ· δευτέρου Φρίξου τοῦτό τινες ἀρχὴν εἶναι λέγουσι, ψεύδονται δέ· τοῦ γὰρ πρώτου Φρίξου τοῦτό ἐστιν ἀρχή. δευτέρου δὲ Φρίξου ἀρχή 'εἰ μὲν τόδ' ἦμαρ — ἐναυστόλουν' (fr. 818, 1 et 2). κἂν οὐδὲν τούτων τῶν ψυχρῶν ἐνθαδὶ τεθειμένων ἐγίνωσκον, τίς ἡ λύμη; κἂν εἰ μὴ τυχαίως προεσχεδίασα ταῦτα, οὐδὲν ἂν ἐγίνωσκον, καίτοι σχεδὸν τὰ λοιπὰ τῶν λόγου ἀξίων εἰδὼς ἀπὸ (ἐπὶ cod.) στόματος. τέως τοῦτο ἀρχὴ τοῦ πρώτου Φρίξου ἐστί 'Σιδώνιόν — κόροι' (vs. 1—6). vs. 1 afferunt Lucianus Macrob. 23 vol. 3 p. 226 et Vit. X orat. in Plut. Mor. p. 837 E (Vita Isocr. in Westerm. Βιογρ. p. 258, 49). vs. 3 habet Plut. Mor. p. 607 B, ubi ἐκ δ' ὁρίζεται γένος legitur. vs. 6—9 afferuntur in Schol. Eur. Phoen. 6: ἐν γοῦν τῷ Φρίξῳ φησὶν 'ἦσαν — καὶ Θάσος'. vs. 8 Φοῖνιξ] θ' addit Valck. vs. 9 καὶ Κάδμος Schneidewin.

## 817

Eratosth. Catast. 14: Ταῦρος. οὗτος λέγεται ἐν τοῖς ἄστροις τεθῆναι διὰ τὸ Εὐρώπην ἀγαγεῖν ἐκ Φοινίκης εἰς Κρήτην διὰ τοῦ πελάγους, ὡς Εὐριπίδης φησὶν ἐν τῷ Φρίξῳ. Hygin. Poet. Astr. 2, 21 p. 469: (Taurus) *dicitur inter astra esse constitutus, quod Europam incolumem transvexerit Cretam, ut Euripides dicit.* Ioh. Malal. p. 31, 6: ἐξ ἧς (ex Europa) ἔσχεν υἱὸν τὸν Μίνω, καθὼς καὶ Εὐριπίδης ὁ σοφώτατος ποιητικῶς συνεγράψατο, ὅς φησί, Ζεὺς μεταβληθεὶς εἰς ταῦρον τὴν Εὐρώπην ἥρπασεν.

## 818

εἰ μὲν τόδ' ἦμαρ πρῶτον ἦν κακουμένῳ
καὶ μὴ μακρὰν δὴ διὰ πόνων ἐναυστόλουν,
εἰκὸς σφαδᾴζειν ἦν ἂν ὡς νεόζυγα
πῶλον χαλινὸν ἀρτίως δεδεγμένον·
νῦν δ' ἀμβλύς εἰμι καὶ κατηρτυκὼς κακῶν.

Galenus vol. 5 p. 418 sq. (vol. 1 p. 283 ed. Basil., vol. 5 p. 152 Chart.): *οὕτω δὲ εἰρῆσθαί φησι καὶ τὰ τοιαῦτα 'εἰ μὲν — κακῶν'*. fabulam indicat Tzetzes (v. fr. 816). vs. 3 respicit Etym. M. p. 737, 17 (cf. Phot. Lex. p. 559, 7 et Suid. v. *σφαδάζειν*): *ἐν δὲ τῷ ῥητορικῷ λεξικῷ εὗρον τὸ σφαδάζειν σημαίνειν τὸ δυσθανατεῖν, ματαίως σπᾶσθαι, χαλεπαίνειν, μετ' ὀργῆς στενάζειν, ὡς Εὐριπίδης*. ubi cod. Florent. in Milleri *Mélanges de litt. Gr.* p. 275 addit: *εἰ μὲν — κακουμένῳ, εἰκὸς σφαδάζειν ἄν. ἣν*] *μ' ἣν* malim. vs. 5 *κακοῖς* Valckenarius. Latine hos versus interpretatur Cic. Tusc. 3, 28, 67.

819

*γυνὴ γὰρ ἐν κακοῖσι καὶ νόσοις πόσει*
*ἥδιστόν ἐστι δῶμαι' ἣν οἰκῇ καλῶς,*
*ὀργήν τε πραΰνουσα καὶ δυσθυμίας*
*ψυχὴν μεθιστᾶσ'· ἡδὺ κἀπάται φίλων.*

Stob. Flor. 67, 15. eosdem versus habet Antipater in Stob. Flor. 67, 25. vs. 1 *κακοῖσι καὶ νόσοις*] *νόσοισι καὶ κακοῖς* loco altero.

820

*δίκαι' ἔλεξε· χρὴ γὰρ εὐναίῳ πόσει*
*γυναῖκα κοινῇ τὰς τύχας φέρειν ἀεί.*

Stob. Flor. 74, 31.

821

*ὡς ὑγιὲς οὐδὲν φασὶ μητρυιὰς φρονεῖν*
*νόθοισι παισίν, ὧν φυλάξομαι ψόγον.*

Stob. Flor. 73, 35. vs. 2 *ὧν*] *ὂν* malim.

822

*κρείσσων δὲ βαιὸς ὄλβος ἀβλαβὴς βροτοῖς*
*ἢ δῶμα πλούτῳ δυσσεβῶς ὠγκωμένον.*

Stob. Flor. 94, 2.

823

*δι' ἐλπίδος ζῇ καὶ δι' ἐλπίδος τρέφου.*

Etym. M. p. 410, 45: τὸ προστακτικὸν ζῆ, ὡς παρ' Εὐριπίδῃ — ἐν Φρίξῳ 'δι' ἐλπίδος — τρέφου'.

824

*χρήζων ἀνοῖξαι μὲν σιροὺς οὐκ ἤξίουν*

Etym. M. p. 714, 21: σιροί, τὸ ἐπιτήδειον ἀγγεῖον εἰς ἀπόθεσιν πυρῶν καὶ τῶν ἄλλων ὀσπρίων — ἡ τριβὴ τῆς ἀναγνώσεως ἐκτείνει αὐτό, εὑρίσκεται δὲ καὶ βραχύ, ὡς παρ' Εὐριπίδῃ ἐν Φρίξῳ (δευτέρῳ addit cod. Flor. in Milleri *Mélanges de litt. Gr.* p. 266) 'χρήζων — ἠξίουν'. χρήζων cod. Flor., καὶ μὴν cod. V teste Gaisf. (καὶ μῶν teste Valck.), ceteri codices sicut Draco p. 82, 3 omittunt. ἠξίουν cod. Flor., ἠξίου ceteri.

825

*αἱ γὰρ πόλεις εἴσ' ἄνδρες, οὐκ ἐρημία.*

Stob. Flor. 43, 4.

826

*ἀνὴρ δ' ὃς εἶναι φησίν, ἄνδρ' οὐκ ἄξιον*
*δειλὸν κεκλῆσθαι καὶ νοσεῖν αἰσχρὰν νόσον.*

Stob. Flor. 8, 7.

827

*λάτρις πενέστης ἀμὸς ἀρχαίων δόμων*

Ath. VI p. 264 C: Εὐριπίδης δ' ἐν Φρίξῳ λάτριας αὐτοὺς (τοὺς πενέστας) ὀνομάζει διὰ τούτων 'λάτρις — δόμων'. repetit Eust. Il. p. 1090, 50.

828

*πολλοῖσι δούλοις τοὔνομ' αἰσχρόν, ἡ δὲ φρὴν*
*τῶν οὐχὶ δούλων ἔστ' ἐλευθερωτέρα.*

Stob. Flor. 62, 39.

829

*ε' εὐσεβὴς ὢν τοῖσι δυσσεβεστάτοις*
*:αὔτ' ἔπρασσον, πῶς τάδ' ἂν καλῶς ἔχοι,*

εἰ Ζεὺς ὁ λῷστος μηδὲν ἔνδικον φρονεῖ;

Iustinus Martyr de monarchia c. 5: ἐν Φρίξῳ ὁ τραγικός ‘εἰ δ’ — φρονεῖ.’ vs. 2 ἔπρασσεν Grotius.

830

τίς δ’ οἶδεν εἰ ζῆν τοῦθ’ ὃ κέκληται θανεῖν,
τὸ ζῆν δὲ θνήσκειν ἐστί; πλὴν ὅμως βροτῶν
νοσοῦσιν οἱ βλέποντες, οἱ δ’ ὀλωλότες
οὐδὲν νοσοῦσιν οὐδὲ κέκτηνται κακά.

Stob. Flor. 120, 18. vs. 2 πλὴν ὅμως verba corrupta.

831

καὶ γὰρ πέφυκε τοῦτ’ ἐν ἀνθρώπου φύσει·
ἢν καὶ δίκῃ θνήσκῃ τις, οὐχ ἧσσον ποθεῖ
πᾶς τις δακρύειν τοὺς προσήκοντας φίλους.

Stob. Flor. 122, 9.

832

ὅστις δὲ θνητῶν οἴεται τοὐφ’ ἡμέραν
κακόν τι πράσσων τοὺς θεοὺς λεληθέναι,
δοκεῖ πονηρὰ καὶ δοκῶν ἁλίσκεται,
ὅταν σχολὴν ἄγουσα τυγχάνῃ Δίκη,
τιμωρίαν ἔτισεν ὧν ἦρξεν κακῶν.

Stob. Ecl. 1, 3, 15 p. 110. vs. 1—4 affert Sextus Emp. p. 661, 25 et p. 665, 23. cf. Iustinus Martyr de monarchia c. 3: καὶ Εὐριπίδης· ἄφθονον βίου μῆκος δίδωσι πρὸς κρίσιν. ‘ὅστις δὲ — Δίκη’ (vs. 1—4). ubi quae praecedunt verba ἄφθονον — κρίσιν, non magis Euripidea sunt quam qui continuo sequuntur versus hi:

ὁρᾶθ’, ὅσοι νομίζετ’ οὐκ εἶναι θεόν,
δὶς ἐξαμαρτάνοντες οὐκ εὐγνωμόνως·
ἔστιν γὰρ ἔστιν. εἰ δέ τις πράσσει καλῶς
κακὸς πεφυκώς, τὸν χρόνον κερδαινέτω·
χρόνῳ γὰρ οὗτος ὕστερον δώσει δίκην.

in quibus Iudaei vel Christiani hominis fraudem agnovit

Valckenarius. Clemens Alex. Strom. V p. 721 sq. (Euseb. P. E. XIII p. 684 A) Diphilo inter alia haec tribuit: *μηδὲν πλανηθῇς· ἔστι κἀν Ἅιδου κρίσις, ἥνπερ ποιήσει θεὸς ὁ πάντων δεσπότης, οὗ τοὔνομα φοβερὸν οὐδ' ἂν ὀνομάσαιμ' ἐγώ· ὃς τοῖς ἁμαρτάνουσι πρὸς μῆκος βίον δίδωσιν. εἴ τις δ' οἴεται τοὐφ' ἡμέραν 'κακόν τι — τυγχάνῃ Δίκη'* (vs. 2—4). *ὁρᾶθ' ὅσοι δοκεῖτε οὐκ εἶναι θεόν· ἔστιν γὰρ ἔστιν· εἰ δέ τις πράττει καλῶς κτἑ.* vs. 1 *τοὐφ' ἡμέραν*] *καθ' ἡμέραν* Sextus p. 661, *τοὐφήμερον* idem p. 665. vs. 5 *τιμωρίαν τ'* Musgravius.

833

*πώγωνα πυρός*

Phot. Lex. p. 478, 3: *πώγωνα πυρός· τὴν ἀναφορὰν τοῦ πυρός. Εὐριπίδης Φρίξῳ.* Pollux 2, 88: *ἐν δὲ τῇ τραγῳδίᾳ πώγων πυρὸς ἡ εἰς ὀξὺ ἀναδρομὴ τῆς φλογός.* Aeschylus Agam. 306: *ἀνδαίοντες ἀφθόνῳ μένει φλογὸς μέγαν πώγωνα.*

834

*ἰλλάδας*

Hesych.: *ἰλλάδας γονὰς ἀγελειὰς καὶ τὰς συστροφάς. Εὐριπίδης Φρίξῳ καὶ Σοφοκλῆς Ἀκρισίῳ.* verba *καὶ τὰς συστροφάς* delet L. Dindorfius, *ἀγελειὰς* in *ἀγελαίας* mutavit Musurus.

835

Schol. Apoll. Rhod. 2, 382: *ἡ δὲ νῆσος καλεῖται Ἀρητιάς* (*ἀρκτιάς* cod. Flor.) — *ὅτι δὲ ἡ νῆσος αὕτη ὄρνιθας ἔχει τοξευούσας τοῖς πτεροῖς ὡς βέλεσιν ἱστορεῖ καὶ Εὐριπίδης ἐν Φρίξῳ.*

## ΧΡΥΣΙΠΠΟΣ

Fabula cum Phoenissis et Oenomao scenae commissa est, vide p. 152 sq. Aelianus N. A. 6, 15: *ἔκειντο ἄμφω* (puer et delphinus) *ὃ μὲν τεθνεώς, ὃ δὲ ψυχορραγῶν. Λάιος δὲ ἐπὶ Χρυσίππῳ, ὦ καλὲ Εὐριπίδη, τοῦτο οὐκ ἔδρασεν, καίτοι τοῦ τῶν ἀρρένων ἔρωτος, ὡς λέγεις αὐτὸς καὶ ἡ φήμη διδάσκει, Ἑλλήνων πρώτιστος ἄρξας.* Cic. Tusc. 4, 33, 71:

*ut muliebres amores omittam — quis aut de Ganymedi raptu dubitat quid poetae velint, aut non intellegit quid apud Euripidem et loquatur et cupiat Laius?* Aelianus V. H. 2, 21: *ἤρα δέ, φασί, τοῦ αὐτοῦ Ἀγάθωνος τούτου καὶ Εὐριπίδης ὁ ποιητής, καὶ τὸν Χρύσιππον τὸ δρᾶμα αὐτῷ χαριζόμενος λέγεται διαφροντίσαι.* disputavit de hac fabula Valck. Diatr. c. III. Musgravius huc rettulit locum Plutarchi Mor. p. 750 B: *τί οὐκ ἄν τις προσδοκήσειεν, εἰ καὶ Πρωτογένης ἔρωτι πολεμήσων πάρεστιν, ᾧ καὶ παιδιὰ πᾶσα καὶ σπουδὴ περὶ ἔρωτα καὶ δι' ἔρωτος, λήθη μὲν λόγων, λήθη δὲ πάτρας, οὐχ ὡς τῷ Λαΐῳ πέντε μόνον ἡμερῶν ἀπέχοντι τῆς πατρίδος.*

836

*Γαῖα μεγίστη καὶ Διὸς Αἰθήρ,*
*ὁ μὲν ἀνθρώπων καὶ θεῶν γενέτωρ,*
*ἡ δ' ὑγροβόλους σταγόνας νοτίας*
*παραδεξαμένη τίκτει θνητούς,*
*τίκτει δὲ βορὰν φῦλά τε θηρῶν·*
*ὅθεν οὐκ ἀδίκως*
*μήτηρ πάντων νενόμισται.*
*χωρεῖ δ' ὀπίσω*
*τὰ μὲν ἐκ γαίας φύντ' εἰς γαῖαν,*
*τὰ δ' ἀπ' αἰθερίου βλαστόντα γονῆς*
*εἰς οὐράνιον πάλιν ἦλθε πόλον·*
*θνήσκει δ' οὐδὲν τῶν γιγνομένων,*
*διακρινόμενον δ' ἄλλο πρὸς ἄλλου*
*μορφὴν ἑτέραν ἐπέδειξεν.*

Sextus Empir. p. 751, 21: *παρὰ τοῖς τραγικοῖς μέλη καὶ στάσιμα φυσικόν τινα ἐπέχοντα λόγον, ὁποῖά ἐστι τὰ οὕτω λεγόμενα 'γαῖα — νενόμισται'* (vs. 1—7). vs. 1 habet Diog. L. 7, 60, vs. 8—14 Philo vol. 2 p. 498 et 612, vs. 8—11 Heraclitus Alleg. Hom. c. 22 p. 47, vs. 9—11 Marcus Anton. 7, 50 et Themistius Paraphr. Aristot. vol. 1 p. 230 sq., vs. 12—14 Philo vol. 1 p. 45 vol. 2 p. 488 et

515 Clemens Alex. Strom. VI p. 750 Plut. Mor. p. 908 D Galenus π. φιλοσ. ἱστ. c. 15 vol. 19 p. 334 (vol. 4 p. 437 ed. Basil., vol. 2 p. 55 Chart.). Euripidis Chrysippum unus memorat Clemens. versus septem priores cum iis qui sequuntur coniungendos esse docet Vitruvius VIII praef. § 1: *Euripides auditor Anaxagorae, quem philosophum Athenienses scenicum appellaverunt, aera et terram eamque ex coelestium imbrium conceptionibus inseminatam fetus gentium et omnium animalium in mundo procreavisse, et quae ex ea essent prognata cum dissolverentur temporum necessitate coacta, in eandem redire, quaeque de aere nascerentur item in coeli regiones reverti, neque interitiones recipere, sed dissolutione mutata* (fort. *mutua*) *in eandem recidere in qua fuerant proprietatem.* cf. Lucretius 2, 991 sqq. fortasse item Pacuvius in Chryse p. 72 Euripidis vestigia legit. vs. 4 θνατοὺς libri, θνητοὺς Dindorfius. vs. 5 δὲ om. libri Bekkeri (CR). τίκτει βοτάναν (debebat βοτάνην) Ed. Mueller. vs. 14 μορφὴν ἑτέραν] μορφὰς ἑτέρας Gal., μορφὰς Plut., μορφὴν ἰδίαν legisse videtur Vitruv. ἐπέδειξε Clem. et Gal., ἔδειξε Plut., ἀπέδειξε Philo.

837

*λέληθεν οὐδὲν τῶνδέ μ' ὧν σὺ νουθετεῖς,*
*γνώμην δ' ἔχοντά μ' ἡ φύσις βιάζεται.*

Clemens Alex. Strom. II p. 462: ὁ μὲν γὰρ Λάιος ἐκεῖνος κατὰ τὴν τραγῳδίαν φησὶν 'λέληθε — βιάζεται'. vs. 2 habent Plut. Mor. p. 446 A et Stob. Ecl. 2, 6, 6 p. 170. huic fabulae fr. 837 et 838 vindicavit Valck.

838

*αἰαῖ, τόδ' ἤδη θεῖον ἀνθρώποις κακόν,*
*ὅταν τις εἰδῇ τἀγαθόν, χρῆται δὲ μή.*

Alcinous Isag. Plat. dogm. c. 24: ὁρᾶται δέ γε ἐπὶ μὲν τῆς Μηδείας ὁ θυμὸς λογισμῷ μαχόμενος — ἐπὶ δὲ τοῦ Λαΐου τὸν Χρύσιππον ἁρπάζοντος ἐπιθυμία λογισμῷ μαχομένη· λέγει γὰρ οὕτως 'αἲ αἲ — μή'. eundem locum afferunt Plut. Mor. p. 33 E p. 446 A Stob. Flor. 5, 6.

839

*γνώμης σόφισμα καὶ χέρ' ἀνδρείαν ἔχων*
*δύσμορφος εἴην μᾶλλον ἢ καλὸς κακός.*

Stob. Flor. 66, 2. vs. 1 *ἔχοι* ed., *ἔχειν* AMVind., *ἔχων* Th. Gomperzius. cum vs. 2 cf. Men. mon. 117: *δύσμορφος εἴην μᾶλλον ἢ κακηλόγος* (*κακήγορος* ed. Ald.). Anecd. Boiss. vol. 1 p. 154: *δύσμορφος ἴσθι μᾶλλον ἢ κακὸς λόγοις.*

840

*ὦ δέσποτ', οὐδεὶς οἶδεν ἄνθρωπος γεγὼς*
*οὔτ' εὐτυχοῦς ἀριθμὸν οὔτε δυστυχοῦς.*

Stob. Flor. 105, 13.

841

*ειάζων*

Hesych.: *ειάζων· εἶα ἐπικελεύων. Εὐριπίδης Χρυσίππῳ.*

---

## INCERTARVM FABVLARVM FRAGMENTA

---

842

*ἀπρόσειλος*

Hesych.: *ἀπρόσειλος· ᾧ οὐδεὶς προσειλεῖται, ἀλλ' εὐθέως πίπτει. ἢ ἀκαυμάτιστος ἀπὸ τῆς εἵλης. Εὐριπίδης ἀλη.* Anecd. Bekk. p. 440, 32: *ἀπρόσειλος· ᾧ οὐδεὶς προσειλεῖται. οὕτως Εὐριπίδης.* Hesychius aut *Ἀλκμαίωνι* aut *Ἀλκμήνῃ* scripsisse videtur.

843

*εἰ μὴ γὰρ ἴδιον ἔλαβον εἰς χεῖρας μύσος*

Schol. Ar. Plut. 907: *ἰδίων τῶν ἰδιωτικῶν. Εὐριπίδης ἐν Βάκχαις* '*εἰ μὴ — μύσος*'. Tyrwhittus probabiliter

*τἀλλότρια δειπνεῖν τὸν καλῶς εὐδαίμονα.* ubi *δειπνεῖν* lusui comico debetur, Euripidem *φεύγειν* vel simile quid dixisse suspicor.

## 887

*ἐν πλησμονῇ τοι Κύπρις, ἐν πεινῶντι δ' οὔ.*

Ath. VI p. 270 C (Eust. Od. p. 1596, 45): *παρ' οὗ* (ab Achaeo) *ὁ σοφὸς Εὐριπίδης λαβὼν ἔφη 'ἐν — οὔ'*. eundem versum afferunt Schol. cod. Ambr. Theocr. 10, 9 Libanius Decl. vol. 3 p. 389 sq. paroemiographus in Milleri *Mélanges de litt. Gr.* p. 381 Schol. Soph. Ant. 781 Gregor. Naz. vol. 2 p. 213 C Men. mon. 159. item verba *ἐν πλησμονῇ τοι Κύπρις* Aristot. Probl. 10, 47 p. 896 a 24 Themistius p. 164 B Clemens Alex. Strom. III p. 514. cf. Antiphanes (Com. 3 p. 144) ap. Ath. I p. 28 F Plut. Mor. p. 126 C Aelianus N. A. 8, 1.

## 888

*Βακχίου φιλανθέμου*
*Αἴθοπα πεπαίνοντ' ὀρχάτους ὀπωρινούς,*
*ἐξ οὗ βροτοὶ καλοῦσιν οἶνον αἴθοπα.*

Ath. XI p. 465 B: *διόπερ καὶ Εὐριπίδης ἕνα τῶν Ἡλίου ἵππων φησὶν 'Βακχίου — οἶνον αἴθοπα'*. Eust. Il. p. 883, 62: *λέγεται γάρ που Εὐριπίδης εἰπεῖν ἕνα εἶναι τῶν ἵππων Ἡλίου 'Αἴθοπα — οἶνον αἴθοπα'* (vs. 2 et 3). vs. 1 *φιλανθέου* libri, *φιλανθέμου* Schweighaeuser.

## 889

*παίδευμα δ' Ἔρως σοφίας ἀρετῆς*
*πλεῖστον ὑπάρχει,*
*καὶ προσομιλεῖν οὗτος ὁ δαίμων*
*πάντων ἥδιστος ἔφυ θνητοῖς·*
*καὶ γὰρ ἄλυπον τέρψιν τιν' ἔχων*
*εἰς ἐλπίδ' ἄγει. τοῖς δ' ἀτελέστοις*
*τῶν τοῦδε πόνων μήτε συνείην*
*χωρίς τ' ἀγρίων ναίοιμι τρόπων.*

τὸ δ' ἐρᾶν προλέγω τοῖσι νέοισιν
μήποτε φεύγειν,
χρῆσθαι δ' ὀρθῶς, ὅταν ἔλθῃ.

Ath. XIII p. 561 A: ἐμνημόνευσαν τοῦ σκηνικοῦ φιλοσόφου Εὐριπίδου ᾀσμάτων, ὧν ἦν καὶ τάδε 'παίδευμα — ἔλθῃ'. vs. 1 sq. ἀρετῆς τ' ἐσθλὸν Heimsoethius. vs. 4 aut ἥδιστος ἔφυ (deletis verbis πάντων et θνητοῖς) aut πάντων θνητοῖς ἥδιστος ἔφυ scribendum suspicor. vs. 11 ὅταν ἐξῇ malim.

## 890

τὴν Ἀφροδίτην οὐχ ὁρᾷς ὅση θεός;
ἣν οὐδ' ἂν εἴποις οὐδὲ μετρήσειας ἂν
ὅση πέφυκε κἀφ' ὅσον διέρχεται.
αὕτη τρέφει σὲ κἀμὲ καὶ πάντας βροτούς.
τεκμήριον δέ, μὴ λόγῳ μόνον μάθῃς,
ἔργῳ δὲ δείξω τὸ σθένος τὸ τῆς θεοῦ.
ἐρᾷ μὲν ὄμβρου γαῖ', ὅταν ξηρὸν πέδον
ἄκαρπον αὐχμῷ νοτίδος ἐνδεῶς ἔχῃ·
ἐρᾷ δ' ὁ σεμνὸς οὐρανὸς πληρούμενος
ὄμβρου πεσεῖν εἰς γαῖαν Ἀφροδίτης ὕπο·
ὅταν δὲ συμμιχθῆτον ἐς ταὐτὸν δύο,
φύουσιν ἡμῖν πάντα καὶ τρέφουσ' ἅμα,
δι' ὧν βρότειον ζῇ τε καὶ θάλλει γένος.

Ath. XIII p. 599 F: τὰ Εὐριπίδου ἐπὶ νοῦν λαμβάνων λέγω 'τὴν Ἀφροδίτην — γένος'. Stob. Ecl. 1, 9, 1 p. 268 sine lemmate: 'τὴν Ἀφροδίτην — γένος'. vs. 1 affert Plut. Mor. p. 756 E. vs. 3 Plut. Mor. p. 442 C. vs. 7 Aristot. Eth. Nic. 9, 2 p. 1155 b 3: Εὐριπίδης μὲν φάσκων ἐρᾶν μὲν ὄμβρου γαῖαν ξηρανθεῖσαν, 'ἐρᾶν δὲ σεμνὸν — γαῖαν' (vs. 9 et 10). Eth. M. 2, 11 p. 1208 b 16: ἐρᾷ μὲν γάρ, φησίν, ὄμβρου γαῖα, ὅταν ξηρὸν πέδον. ibid. p. 1210 a 14: διὸ καὶ Εὐριπίδης 'ἐρᾷ μὲν ὄμβρου γαῖα, ὅταν ξηρὸν πέδον'. cf. Aristot. Eth. Eud. 8, 1 p. 1235 a 16: ὅθεν εἴρηται 'ἐρᾷ μὲν ὄμβρου γαῖα'. Plut. Mor. p. 770 A: οὕτω

γὰρ ἐρᾶν ὄμβρου γαῖαν οἱ ποιηταὶ λέγουσι καὶ γῆς οὐρανόν. Marcus Anton. 10, 21: ἐρᾷ μὲν ὄμβρου γαῖα, ἐρᾷ δὲ ὁ σεμνὸς αἰθήρ, ἐρᾷ δὲ ὁ κόσμος ποιεῖν ὃ ἂν μέλλῃ γίνεσθαι. Schol. Hes. Theog. 138: Μένανδρος ʻἐρᾷ μὲν ὄμβρων γαῖαʼ. vs. 6 spurium iudicat Th. Gomperzius. vs. 9—14 ex Athenaeo desumpsit Eust. Il. p. 978, 23. vs. 12 φύουσιν] τίκτουσιν Stob. καὶ τρέφουσ'] κἀκτρέφουσ' Stob. vs. 13 δι' ὧν] ὅθεν καὶ Stob.

## 891

εἴ μοι τὸ Νεστόρειον εὔγλωσσον μέλος
Ἀντήνορός τε τοῦ Φρυγὸς δοίη θεός,
οὐκ ἂν δυναίμην μὴ στέγοντα πιμπλάναι,
σοφοὺς ἐπαντλῶν ἀνδρὶ μὴ σοφῷ λόγους.

Ath. XV p. 665 A: ʻεἴ μοι — δοίη θεόςʼ (vs. 1 et 2) κατὰ τὸν πάνσοφον Εὐριπίδην, ἑταῖρε Τιμόκρατες, οὐκ ἂν δυναίμην ἀπομνημονεύειν ἔτι σοι τῶν πολλάκις λεχθέντων κτέ. Eust. Il. p. 1301, 33: καὶ δηλοῖ αὐτὸ καὶ Εὐριπίδης εἰπὼν ʻεἴ μοι, ἤγουν εἴθε μοι, τὸ Νεστόρειον εὔγλωττον — θεόςʼ. vs. 3 et 4, quos Musgr. huc rettulit, servarunt Plut. Mor. p. 502 C et Stob. Flor. 4, 30. vs. 1 fortasse κεἴ μοι legendum. μέλος] μέλι Barnesius.

## 892

ὤφειλε δῆθεν, εἴπερ ἔστ' ἐν οὐρανῷ
Ζεύς, μὴ τὸν αὐτὸν δυστυχῆ καθεστάναι.

Athenagor. Legat. pro Christ. c. 5 p. 22: ὁ μὲν Εὐριπίδης ἐπὶ μὲν τῶν κατὰ κοινὴν πρόληψιν ἀνεπιστημόνως ὀνομαζομένων θεῶν διαπορῶν ʻὤφειλεν — καθεστάναιʼ. vs. 2 τὸν αὐτὸν] τὸν ἐσθλὸν Heimsoethius.

## 893

πῶς οὖν τάδ' εἰσορῶντες ἢ θεῶν γένος
εἶναι λέγωμεν ἢ νόμοισι χρώμεθα;

Athenagoras Legat. pro Christ. c. 25 p. 134: τὸ παρ' [illegible] λίκην εὖ πράττειν ἢ κακῶς ἐν ἀφασίᾳ τὸν Εὐ-

ριπίδην ἐποίησε, τίνος ἡ τοιαύτη τῶν περιγείων διοίκησις, ἐν ᾗ εἴποι τις ἂν 'πῶς οὖν — χρώμεθα'.

894

σοφὸν γὰρ ἄνδρα, κἂν ἑκὰς ναίῃ χθονός,
κἂν μήποτ' ὄσσοις εἰσίδω, κρίνω φίλον.

Basilius Epist. 63 vol. 3 p. 156 D: Τὸν σοφὸν ἄνδρα, κἂν ἑκὰς ναίῃ χθονός, κἂν μήποτ' αὐτὸν ὄσσοις προσίδω, κρίνω φίλον, Εὐριπίδου ἐστὶ τοῦ τραγικοῦ λόγος. iidem versus addito Euripidis nomine leguntur in codice quodam Cantabrigiensi (Dd. IV 16), unde protulit Babington in *Journal of classical and sacred philol.* 1 p. 133. cf. Procop. Epist. 96 in Maii Class. Auct. vol. 4 p. 267: σοφὸς ἦν ὄντως ὁ ταῦτα δήπου φθεγξάμενος, ὡς ἄρα τὸν σοφόν, κἂν ἑκὰς ναίῃ χθονός, κἂν μήπως ὄσσοις ἐσίδω, κρίνω φίλον. Iohannes Georgides in Boiss. Anecd. vol. 1 p. 90: Τὸν σοφὸν ἄνδρα, κἂν ἑκὰς ναίῃ χθονός, κἂν μήποτε αὐτὸν ὀφθαλμοῖς ἴδω, κρίνω φίλον. Themist. p. 275 B: ὁ μὲν οὖν τραγικὸς ποιητὴς καὶ τὸν ἀγνῶτα μὲν ἀγαθὸν δὲ ἐπαινεῖ καὶ φίλον ἡγεῖται. Iambl. V. Pythag. § 237: ὥστ' ἐκ τῶν τοιῶνδε ἔργων μηδ' ἐκεῖνον τὸν λόγον ἀπιστεῖσθαι ὡς ἄρα οἱ σπουδαῖοι ἄνδρες καὶ προσωτάτω γῆς οἰκοῦντες φίλοι εἰσὶν ἀλλήλοις, πρὶν ἢ γνώριμοί τε καὶ προσήγοροι γένωνται. vs. 1 σοφὸν γὰρ ἄνδρα Porsonus.

895

ἄφρων ἂν εἴην, εἰ τρέφοιν τὰ τῶν πέλας.

Choerob. in Theodos. p. 773, 19: τὸ τρέφοιν, ὡς παρ' Εὐριπίδῃ 'ἄφρων — πέλας' — ἀπὸ τοῦ τρεφοίην κατὰ συγκοπὴν τοῦ Η. eadem fere Etym. M. p. 764, 52 Anecd. Oxon. vol. 4 p. 204, 25 p. 424, 3.

896

οὐκ ἐν γυναιξὶ τοὺς νεανίας χρεών,
ἀλλ' ἐν σιδήρῳ κἀν ὅπλοις τιμὰς ἔχειν.

Anonymus in libro *Les papyrus Grecs* (Paris. 1866) p. 99: ὃ ἔλεγεν Εὐριπίδης 'οὐκ — ἔχειν'.

## 897

*μισῶ σοφιστήν, ὅστις οὐχ αὑτῷ σοφός.*

Cic. ad fam. 13, 15, 2: *itaque ab Homeri magniloquentia confero me ad vera praecepta Εὐριπίδου· 'μισῶ — σοφός'.* eundem versum habent Plut. V. Alex. 53 Mor. p. 1128 B Lucian. Apol. 5 vol. 1 p. 712 Men. mon. 332 Anecd. Paris. vol. 4 p. 343, 21. imitatus est Ennius (Ribbeck. Trag. Lat. p. 41): *qui ipse sibi sapiens prodesse non quit, nequiquam sapit.* respicere videtur Maximus Tyrius XXI p. 409: *ἦν σοφὸς ὁ Ἡρακλῆς, ἀλλὰ οὐχ αὑτῷ σοφός.*

## 898

*ψῦχος δὲ λεπτῷ χρωτὶ πολεμιώτατον.*

Cic. ad fam. 16, 8, 2: *'ψῦχος — πολεμιώτατον', inquit Euripides.*

## 899

*κρέασι βοείοις χλωρὰ σῦκ' ἐπήσθιεν*
*ἄμουσ' ὑλακτῶν ὥστε βαρβάρῳ μαθεῖν.*

Clemens Alex. Protr. p. 65: *Εὐριπίδης — ἐμμανῆ εἰσάγων Ἡρακλέα καὶ μεθύοντα ἀλλαχόθι καὶ ἄπληστον· πῶς γὰρ οὐχί; ὃς ἑστιώμενος τοῖς κρέασι 'χλωρὰ σῦκ' — μαθεῖν'.* vs. 1 supplevit Musgr. ex Ath. VII p. 276 F: *λέγομεν οὖν ὀψοφάγους οὐ τοὺς βόεια ἐσθίοντας, οἷος ἦν Ἡρακλῆς, ὃς τοῖς βοείοις κρέασιν ἐπήσθιε σῦκα χλωρά, οὐδὲ τὸν φιλόσυκον.* cf. Eust. Il. p. 867, 64 et Plut. Mor. p. 667 F. Sylei esse versus coniecit Matthiae.

## 900

*τὸ μὴ γενέσθαι κρεῖσσον ἢ φῦναι βροτούς.*
*ἔπειτα παῖδας σὺν πικραῖς ἀλγηδόσι*
*τίκτω; τεκοῦσα δ' ἢν μὲν ἄφρονας τέκω,*
*στένω ματαίως, εἰσορῶσα μὲν κακούς,*
*χρηστοὺς δ' ἀπολλῦσ'· ἢν δὲ καὶ σεσωσμένους,*

*τήκω τάλαιναν καρδίαν ὀρρωδίᾳ.*
*τί τοῦτο δὴ τὸ χρηστόν; οὐκ ἀρκεῖ μίαν*
*ψυχὴν ἀλύειν κἀπὶ τῇδ' ἔχειν πόνους;*

Clemens Alex. Str. III p. 520: *λέγει γὰρ ἡ τραγῳδία* ‘*τὸ μὴ — πόνους*’. Euripidis esse locum docet Stob. Flor. 120, 17: *Εὐριπίδου.* ‘*τὸ μὴ — βροτούς*’ (vs. 1). vs. 1 *βροτοῖς* malim. vs. 3 *ἄφρονας*] *ἄρσενας* Madwig.

901

*οὐδεμίαν ὤνησε κάλλος εἰς πόσιν ξυνάορον,*
*ἀρετὴ δ' ὤνησε πολλάς· πᾶσα γὰρ ἀγαθὴ γυνὴ*
*ἥτις ἀνδρὶ συντέτηκε σωφρονεῖν ἐπίσταται.*
*πρῶτα μέν γε τοῦθ' ὑπάρχει· κἂν ἄμορφος ᾖ πόσις,*
*χρὴ δοκεῖν εὔμορφον εἶναι τῇ γε νοῦν κεκτημένῃ·*
*οὐ γὰρ ὀφθαλμὸς τὸ κρίνειν .. ἐστὶν ἀλλὰ νοῦς.*
*εὖ λέγειν δ', ὅταν τι λέξῃ, χρὴ δοκεῖν, κἂν μὴ λέγῃ,*
*κἀκπονεῖν ἂν τῷ ξυνόντι πρὸς χάριν μέλλῃ λέγειν.*
*ἡδὺ δ', ἢν κακὸν πάθῃ τι, συσκυθρωπάζειν πόσει*
*ἄλοχον ἐν κοινῷ τε λύπης ἡδονῆς τ' ἔχειν μέρος . . .*
*σοὶ δ' ἔγωγε καὶ νοσοῦντι συννοσοῦσ' ἀνέξομαι*
*καὶ κακῶν τῶν σῶν ξυνοίσω, κοὐδέν ἐστί μοι πικρόν.*
*μετὰ γὰρ .. τῶν φίλων . . . . . εὐτυχεῖν*
*δυστυχεῖν τε χρή· τί γὰρ δὴ τὸ φίλον ἄλλο πλὴν τόδε;*

Clemens Alex. Strom. IV p. 620 sq.: *φίλανδρον μετὰ σεμνότητος ὑπογράφει γυναῖκα Εὐριπίδης παραινῶν* ‘*εὐλο-*

γεῖν — μέλλῃ λέγειν' (vs. 7 et 8). καὶ αὖθίς που τούτοις τὰ ὅμοια 'ἡδὺ δ' — ἔχειν μέρος' (vs. 9 et 10). τό τε πρᾶον καὶ φιλόστοργον ὧδέ πως ὑποδεικνύων κἂν ταῖς συμφοραῖς ἐπιφέρει 'σοὶ δ' — πλὴν τόδε' (vs. 11—14). paulo post sequuntur haec p. 621: χρὴ δὲ τὸν εὐδαίμονα γάμον οὔτε πλούτῳ ποτὲ οὔτε κάλλει κρίνεσθαι, ἀλλ' ἀρετῇ. 'οὐδεμίαν' φησὶν ἡ τραγῳδία 'ὤνησε κάλλος — ἐπίσταται' (vs. 1—3). εἶτα οἷον παραινέσεις διδοῦσά φησι 'πρῶτα μέν — νοῦς' (vs. 4—6). καὶ τὰ ἐπὶ τούτοις. iustum ordinem horum versuum, quos manifestum est arcte inter se cohaerere, restitit Musgravius. vs. 4 μὲν γὰρ Grotius. vs. 6 τὸ κρίνειν δυνατόν ἐστιν temptabam, τὸ κρίνειν ἱκανόν ἐστιν Heimsoethius. vs. 9 πράξῃ τι cod., πάθῃ τι scripsi. vs. 12 κοὐδὲν ἔσται Musgravius. vs. 13 et 14 num Euripidis sint dubium est. vs. 13 lacunas indicavi. vs. 14 δυστυχεῖν addidit Dobraeus. locum ex Oedipo (v. fr. 549) petitum esse coniecit C. Fr. Hermannus.

## 902

ὄλβιος ὅστις τῆς ἱστορίας
ἔσχε μάθησιν,
μήτε πολιτῶν ἐπὶ πημοσύνην
μήτ' εἰς ἀδίκους πράξεις ὁρμῶν,
ἀλλ' ἀθανάτου καθορῶν φύσεως
κόσμον ἀγήρων, πῇ τε συνέστη
καὶ ὅπῃ καὶ ὅπως.
τοῖς δὲ τοιούτοις οὐδέποτ' αἰσχρῶν
ἔργων μελέδημα προσίζει.

Clemens Alex. Str. IV p. 634 sine poetae nom.: 'ὄλβιος — προσίζει'. Themist. p. 307 D: καὶ αὗταί εἰσιν ἃς Εὐριπίδης ὁ σοφὸς οὔτε πολιτῶν φησὶν ἐπὶ πημοσ'νας οὔτ' εἰς ἀδίκους πράξεις ὁρμᾶν, ἀλλ' ἀθανάτου καθορᾶν φύσιος κόσμον ἀγήρω. vs. 1 τῆσδ' ἱστορίας malim. vs. 6 respicit Pollux 2, 14: καὶ Πλάτων τὸν ἀγήρω κόσμον· Εὐριπίδης δὲ κόσμον ἀγήρω (in codicibus nonnullis haec omittuntur). ἀγήρων scripsi, ἀγήρω Clem. Al. Themist. Poll. vs. 7 ὅπῃ

vitiosum, ὅπου suasit Meinekius, an ὅτῳ leg.? vs. 9 *μελέδημα* scripsi, *μελέτημα* cod.

## 903

*χρύσεαι δή μοι πτέρυγες περὶ νώτῳ*
*καὶ τὰ Σειρήνων πτερόεντα πέδιλ' ἁρμόζεται,*
*βάσομαί τ' εἰς αἰθέρα πολὺν ἀερθεὶς*
*Ζηνὶ προσμίξων*

Clemens Alex. Str. IV p. 642: *ὁ μὲν οὖν Εὐριπίδης 'χρύσεαι δή μοι πτέρυγες περὶ νώτῳ' φησί 'καὶ τὰ — προσμίξων'.* vs. 1 respicit Plut. Mor. p. 786 D: *οὐ ταῖς Εὐριπίδου χρυσαῖς πτέρυξιν, ἀλλὰ τοῖς Πλατωνικοῖς ἐκείνοις καὶ οὐρανίοις πτεροῖς.* vs. 2 *ἁρμόζεται* vide an Clementi debeatur. vs. 3 *αἰθέρ' ἄπειρον ἀερθεὶς* Heimsoethius, *αἰθέριον πόλον ἀρθεὶς* Th. Gomperzius.

## 904

*σοὶ τῷ πάντων μεδέοντι χοὴν*
*πέλανόν τε φέρω, Ζεὺς εἴτ' Ἀίδης*
*ὀνομαζόμενος στέργεις· σὺ δέ μοι*
*θυσίαν ἄπυρον παγκαρπείας*
*δέξαι πλήρη προχυθεῖσαν.*
*σὺ γὰρ ἔν τε θεοῖς τοῖς οὐρανίδαις*
*σκῆπτρον τὸ Διὸς μεταχειρίζων*
*χθονίων θ' Ἅιδῃ μετέχεις ἀρχῆς.*
*πέμψον δ' ἐς φῶς ψυχὰς ἐνέρων*
*τοῖς βουλομένοις ἄθλους προμαθεῖν*
*πόθεν ἔβλαστον, τίς ῥίζα κακῶν,*
*τίνα δεῖ μακάρων ἐκθυσαμένους*
*εὑρεῖν μόχθων ἀνάπαυλαν.*

Clemens Alex. Strom. V p. 688: *πάνυ θαυμαστῶς ὁ ἐπὶ τῆς σκηνῆς φιλόσοφος Εὐριπίδης τοῖς προειρημένοις ἡμῖν συνῳδὸς διὰ τούτων εὑρίσκεται, πατέρα καὶ υἱὸν ἅμα οὐκ οἶδ' ὅπως αἰνισσόμενος 'σοὶ τῷ — προχυτίαν'* (vs. 1—5).

ὁλοκάρπωμα γὰρ — ὁ Χριστός, καὶ ὅτι τὸν σωτῆρα αὐτὸν οὐκ εἰδὼς λέγει, σαφὲς ποιήσει ἐπάγων ‘σὺ γὰρ — ἀρχῆς’ (vs. 6—8). ἔπειτα ἄντικρυς λέγει ‘πέμψον — ἀνάπαυλαν’ (vs. 9—13). vs. 1 χλόην Bergkius. vs. 2 εἴθ’ Ἅιδης Dindorfius. vs. 7 μεταχειρίζεις Herwerdenus. vs. 8 δ’ cod., θ’ Sylburgius. vs. 9 δ’ ἐκ scripsi, μὲν cod. ἐνέρων scripsi, ἀνέρων cod. Cretensibus locum adscribit Valck.

## 905

*ὃς τάδε λεύσσων θεὸν οὐχὶ νοεῖ,*
*μετεωρολόγων δ’ ἑκὰς ἔρριψεν*
*σκολιὰς ἀπάτας, ὧν ἀτηρὰ*
*γλῶσσ’ εἰκοβολεῖ περὶ τῶν ἀφανῶν*
*οὐδὲν γνώμης μετέχουσα*

Clemens Alex. Strom. V p. 732: ὁ τοίνυν μὴ πειθόμενος τῇ ἀληθείᾳ, διδασκαλίᾳ δὲ ἀνθρωπίνῃ τετυφωμένος δυσδαίμων ἄθλιός τε καὶ κατὰ τὸν Εὐριπίδην ‘ὃς τάδε λεύσσων — μετέχουσα’. vs. 2 μετεωροπόλων malim. cf. Hesych.: μετεωροπόλων· τῶν τὰ οὐράνια σκοπούντων.

## 906

*κακὸν γυναῖκα πρὸς νέον ζεῦξαι νέαν·*
*ὃ μὲν γὰρ ἄλλης λέκτρον ἱμείρει λαβεῖν,*
*ἡ δ’ ἐνδεὴς τοῦδ’ οὖσα βουλεύει κακά.*

Clemens Alex. Strom. VI p. 740: Ἐπιχάρμου τε εἰπόντος — Εὐριπίδης γράφει ‘κακὸν γυναῖκα — βουλεύει κακά’. vs. 1 recurrit in Eur. fr. 24. Clemens locos diversos confudisse videtur.

## 907

*νικᾷ δὲ χρεία μ’ ἡ κακῶς τ’ ὀλουμένη*
*γαστήρ, ἀφ’ ἧς δὴ πάντα γίγνεται κακά.*

Clemens Alex. Strom. VI p. 743: πρὸς τούτοις Ὁμήρου λέγοντος ‘γαστέρα δ’ — δίδωσιν’ (Od. ρ, 286 sq.) Εὐριπίδης ποιεῖ ‘νικᾷ δὲ — κακά’. Diphilus (Com. vol. 4 p. 402) ap. Ath. X p. 422 B: εὖ γ’ ὁ κατάχρυσος εἶπε πόλλ’

*Εὐριπίδης· 'νικᾷ δὲ χρεία μ' ἡ ταλαίπωρός τέ μου γαστήρ'. ταλαιπωρότερον οὐδέν ἐστι γὰρ γαστρός.*

908

*ὦ πολύμοχθος βιοτὴ θνητοῖς,*
*ὡς ἐπὶ παντὶ σφαλερὰ κεῖσαι,*
*καὶ τὰ μὲν αὔξεις, τὰ δ' ἀποφθινύθεις·*
*κοὐκ ἔστιν ὅρος κείμενος οὐδεὶς*
*εἰς ὅντινα χρὴ τελέσαι θνητοῖς,*
*πλὴν ὅταν ἔλθῃ κρυερὰ Διόθεν*
*θανάτου πεμφθεῖσα τελευτή.*

Clemens Alex. Strom. VI p. 744: *αὖθις Εὐριπίδου εἰπόντος 'ὦ πολύμοχθος — τελευτή' Δίφιλος γράφει 'οὐκ ἔστι' κτέ.* vs. 5 *θνητούς* Grotius.

909

*ὅσοι δ' ἰατρεύειν καλῶς*
*πρὸς τὰς διαίτας τῶν ἐνοικούντων πόλιν*
*τὴν γῆν τ' ἰδόντας, τὰς νόσους σκοπεῖν χρεών.*

Clemens Alex. Strom. VI p. 749: *ἀλλὰ καὶ τοῦ ἰατροῦ Ἱπποκράτους 'ἐπιβλέπειν οὖν καὶ ὥρην καὶ χώρην καὶ ἡλικίην καὶ νούσους' γράφοντος Εὐριπίδης ἐν ἑξαμέτρῳ τηρήσει* (*χρήσει* Hemsterh.) *φησίν 'ὅσοι δ' — χρεών'.* Bellerophontis esse locum coniecit Gataker.

910

*πρὸς ταῦθ' ὅ τι χρὴ καὶ παλαμάσθω*
*καὶ πᾶν ἐπ' ἐμοὶ τεκταινέσθω·*
*τὸ γὰρ εὖ μετ' ἐμοῦ*
*καὶ τὸ δίκαιον σύμμαχον ἔσται,*
*κοὐ μή ποθ' ἁλῶ κακὰ πράσσων.*

Clemens Alex. Strom. VI p. 797: *καί μοι δοκῶ κομπώδους μὲν εἶναι ψυχῆς καύχημα, πλὴν εὐσυνειδήτου, ἐπιφθέγγεσθαι τοῖς κατὰ περίστασιν συμβαίνουσι 'πρὸς ταῦθ'*

— *πράσσων'* (vs. 1 et 3—5). vs. 1—3 habent Cic. ad Att. 8, 8, 2 et Suidas v. *παλαμᾶσθαι*, vs. 3 Cic. ad Att. 6, 1, 8. verba *τὸ γὰρ εὖ — δίκαιον* (vs. 3 sq.) habet Marcus Anton. 7, 42. Euripideum esse locum docet Suidas v. *ἀλωτόν: καὶ Εὐριπίδης 'οὐ μή ποθ' ἁλῶ κακὰ πράσσων'* (vs. 5). parodia locum expressit Ar. Ach. 659: *πρὸς ταῦτα Κλέων καὶ παλαμάσθω καὶ πᾶν ἐπ' ἐμοὶ τεκταινέσθω· τὸ γὰρ εὖ μετ' ἐμοῦ καὶ τὸ δίκαιον ξύμμαχον ἔσται, κοὐ μή ποθ' ἁλῶ περὶ τὴν πόλιν ὢν ὥσπερ ἐκεῖνος δειλὸς καὶ λακαταπύγων.* vs. 1 *χρῇ* Bergkius, qui Telephi esse locum coniecit.

## 911

*κορυφὴ δὲ θεῶν ὁ πέριξ χθόν' ἔχων*
*φαεννὸς αἰθήρ*

Cornutus de N. D. 20 p. 104: *'κορυφὴ δὲ θεῶν'* κατὰ *τὸν Εὐριπίδην 'ὁ — αἰθήρ'*. vs. 2 *φαεννὸς* codex Par. 4, *φαεινὸς* al., *φαέθων* Maehly, *νήνεμος* anonymus.

## 912

*ἡ φύσις ἐβούλεθ', ᾗ νόμων οὐδὲν μέλει.*

Cyrillus de trinit. dial. II vol. V, 1 p. 456 A: *τοῖς δὲ τὸ ἀνθ' ὅτου λέγουσιν ἕν γε τουτοισὶ σοφὸν ὑπειπεῖν τὸ τισὶν ὑμνούμενον 'ἡ φύσις — μέλει'*. Aelianus N. A. 4, 54: *Ὅμηρος μὲν οὖν ἔδωκεν ἵππῳ φωνήν, ἀσπίδι δὲ ἡ φύσις, ᾗ νόμων οὐδὲν μέλει, φησὶν Εὐριπίδης.* ibid. 9, 1: *διδάσκει δὲ ἡ φύσις, ᾗ νόμων ἀνθρωπικῶν μέλει οὐδέν.* Sextus Empir. p. 576, 12: *οὐχ ἡμᾶς αἰτιᾶσθαι δεῖ, ἀλλὰ τὴν φύσιν, ᾗ νόμων οὐδὲν μέλει.* Aristaen. 2, 5 p. 145: *τῆς φύσεως βουλομένης, ᾗ νόμων, ὡς ἔοικεν, οὐδὲν μέλει.* adde parodiam Anaxandr. Com. 3 p. 200 ap. Aristot. Eth. Nic. 7, 11 p. 1152 a 23: *ἡ πόλις ἐβούλεθ', ᾗ νόμων οὐδὲν μέλει.*

## 913

*ἀωρὶ πόντου κύματ' εὐρέος περᾷ . . .*
*σμικραῖς ἑαυτοὺς ἐπιτρέπουσιν ἐλπίσιν*

Dio Chr. 64, 9: *εἶτα Εὐριπίδης τὸν ναύτην μέμφεται,*

ἀωρὶ πόντου κύματ' εὐρέος περῶντα· καὶ διὰ τῶν ἑξῆς ἐπιτιμᾷ λέγων ὅτι σμικραῖς ἐπιτρέπουσιν αὑτοὺς ἐλπίσιν. ὦ παῖ Μνησαρχίδου, ποιητὴς μόνον ἦσθα, σοφὸς δὲ οὐδαμῶς. οὔτε γὰρ πίττῃ τὴν ψυχὴν οὔτε σχοινίοις ἐπιτρέπουσιν οὔτε τριδάκτυλον αὐτοὺς σῴζει ξύλον πεύκινον, ἀλλ' ἐπέτρεψαν βεβαίῳ καὶ μεγάλῳ πράγματι, τῇ τύχῃ. vs. 1 incertum utrum περᾷ an περῶν Euripides dixerit. verba τριδάκτυλον αὐτοὺς σῴζει ξύλον πεύκινον ex Euripide desumpta esse non crediderim.

914

τίς τοὐμὸν ὄνομα τοὐπονείδιστον βροτοῖς
οὐκ οἶδα Λαμίας τῆς Λιβυστικῆς γένος;

Diod. Sic. 20, 41: ὅτι δὲ κατὰ τὴν Λιβύην γέγονεν αὕτη (Lamia) καὶ τὸν Εὐριπίδην δεῖξαι τις ἂν μαρτυροῦντα· λέγει γὰρ 'τίς — γένος'. vs. 1 τοὔνομα τὸ ἐπονείδιστον libri, τοὐμὸν ὄνομα τοὐπονείδιστον Meinekius, τοὔνομ' αὐτὸ τοὐπ. Alexandre. locus ad Lamiam relatus est, de qua fabula diximus p. 126.

915

οὐκ ἐγγυῶμαι, ζημίαν φιλεγγύων
σκοπῶν· τὰ Πυθοῖ δ' οὐκ ἐᾷ με γράμματα.

Diod. Sic. exc. Vat. p. 20 de proverbio 'ἐγγύα, πάρα δ' ἄτα' disputans: καὶ Εὐριπίδης 'οὐκ ἐγγυῶμαι — γράμματα'. vs. 1 sq. ζημίαν φιλεγγύων σκοπῶν Herwerdenus, ζημία φιλέγγυον σκοπεῖν cod. vs. 2 με Matthiae, τὰ cod.

916

μή μοι λεπτῶν θίγγανε μύθων, ψυχή·
τί περισσὰ φρονεῖς; εἰ μὴ μέλλεις
σεμνύνεσθαι παρ' ὁμοίοις.

Dionys. C. V. c. 4 vol. 5 p. 25 (p. 54 Schaef.): καλῶς ἂν ἔχοι τὰ Εὐριπίδεια ταῦτα ἐπενεγκεῖν 'μή μοι — ὁμοίοις'. vs. 1 ψυχή] delet hoc vocabulum Bernhardy, μή μοι — μύθων, μή μοι, ψυχή proposuit Elmsleius.

γὰρ ἐρᾶν ὄμβρου γαῖαν οἱ ποιηταὶ λέγουσι καὶ γῆς οὐρανόν. Marcus Anton. 10, 21: ἐρᾷ μὲν ὄμβρου γαῖα, ἐρᾷ δὲ ὁ σεμνὸς αἰθήρ, ἐρᾷ δὲ ὁ κόσμος ποιεῖν ὃ ἂν μέλλῃ γίνεσθαι. Schol. Hes. Theog. 138: Μένανδρος 'ἐρᾷ μὲν ὄμβρων γαῖα'. vs. 6 spurium iudicat Th. Gomperzius. vs. 9—14 ex Athenaeo desumpsit Eust. Il. p. 978, 23. vs. 12 φύουσιν] τίκτουσιν Stob. καὶ τρέφουσ'] κἀκτρέφουσ' Stob. vs. 13 δι' ὧν] ὅθεν καὶ Stob.

891

εἴ μοι τὸ Νεστόρειον εὔγλωσσον μέλος
Ἀντήνορός τε τοῦ Φρυγὸς δοίη θεός,
οὐκ ἂν δυναίμην μὴ στέγοντα πιμπλάναι,
σοφοὺς ἐπαντλῶν ἀνδρὶ μὴ σοφῷ λόγους.

Ath. XV p. 665 A: 'εἴ μοι — δοίη θεός' (vs. 1 et 2) κατὰ τὸν πάνσοφον Εὐριπίδην, ἑταῖρε Τιμόκρατες, οὐκ ἂν δυναίμην ἀπομνημονεύειν ἔτι σοι τῶν πολλάκις λεχθέντων κτἑ. Eust. Il. p. 1301, 33: καὶ δηλοῖ αὐτὸ καὶ Εὐριπίδης εἰπών 'εἴ μοι, ἤγουν εἴθε μοι, τὸ Νεστόρειον εὔγλωττον — θεός'. vs. 3 et 4, quos Musgr. huc rettulit, servarunt Plut. Mor. p. 502 C et Stob. Flor. 4, 30. vs. 1 fortasse κεἴ μοι legendum. μέλος] μέλι Barnesius.

892

ὤφειλε δῆθεν, εἴπερ ἔστ' ἐν οὐρανῷ
Ζεύς, μὴ τὸν αὐτὸν δυστυχῆ καθεστάναι.

Athenagor. Legat. pro Christ. c. 5 p. 22: ὁ μὲν Εὐριπίδης ἐπὶ μὲν τῶν κατὰ κοινὴν πρόληψιν ἀνεπιστημόνως ὀνομαζομένων θεῶν διαπορῶν 'ὤφειλεν — καθεστάναι'. vs. 2 τὸν αὐτὸν] τὸν ἐσθλὸν Heimsoethius.

893

πῶς οὖν τάδ' εἰσορῶντες ἢ θεῶν γένος
εἶναι λέγωμεν ἢ νόμοισι χρώμεθα;

Athenagoras Legat. pro Christ. c. 25 p. 134: τὸ παρ' ἐλπίδα καὶ δίκην εὖ πράττειν ἢ κακῶς ἐν ἀφασίᾳ τὸν Εὐ-

ριπίδην ἐποίησε, τίνος ἡ τοιαύτη τῶν περιγείων διοίκησις, ἐν ᾗ εἴποι τις ἂν 'πῶς οὖν — χρώμεθα'.

894

σοφὸν γὰρ ἄνδρα, κἂν ἑκὰς ναίῃ χθονός,
κἂν μήποτ' ὄσσοις εἰσίδω, κρίνω φίλον.

Basilius Epist. 63 vol. 3 p. 156 D: Τὸν σοφὸν ἄνδρα, κἂν ἑκὰς ναίῃ χθονός, κἂν μήποτ' αὐτὸν ὄσσοις προσίδω, κρίνω φίλον, Εὐριπίδου ἐστὶ τοῦ τραγικοῦ λόγος. iidem versus addito Euripidis nomine leguntur in codice quodam Cantabrigiensi (Dd. IV 16), unde protulit Babington in *Journal of classical and sacred philol.* 1 p. 133. cf. Procop. Epist. 96 in Maii Class. Auct. vol. 4 p. 267: σοφὸς ἦν ὄντως ὁ ταῦτα δήπου φθεγξάμενος, ὡς ἄρα τὸν σοφόν, κἂν ἑκὰς ναίῃ χθονός, κἂν μήπως ὄσσοις ἐσίδω, κρίνω φίλον. Iohannes Georgides in Boiss. Anecd. vol. 1 p. 90: Τὸν σοφὸν ἄνδρα, κἂν ἑκὰς ναίῃ χθονός, κἂν μήποτε αὐτὸν ὀφθαλμοῖς ἴδω, κρίνω φίλον. Themist. p. 275 B: ὁ μὲν οὖν τραγικὸς ποιητὴς καὶ τὸν ἀγνῶτα μὲν ἀγαθὸν δὲ ἐπαινεῖ καὶ φίλον ἡγεῖται. Iambl. V. Pythag. § 237: ὥστ' ἐκ τῶν τοιῶνδε ἔργων μηδ' ἐκεῖνον τὸν λόγον ἀπιστεῖσθαι ὡς ἄρα οἱ σπουδαῖοι ἄνδρες καὶ προσωτάτω γῆς οἰκοῦντες φίλοι εἰσὶν ἀλλήλοις, πρὶν ἢ γνώριμοί τε καὶ προσήγοροι γένωνται. vs. 1 σοφὸν γὰρ ἄνδρα Porsonus.

895

ἄφρων ἂν εἴην, εἰ τρέφοιν τὰ τῶν πέλας.

Choerob. in Theodos. p. 773, 19: τὸ τρέφοιν, ὡς παρ' Εὐριπίδῃ 'ἄφρων — πέλας' — ἀπὸ τοῦ τρεφοίην κατὰ συγκοπὴν τοῦ Η. eadem fere Etym. M. p. 764, 52 Anecd. Oxon. vol. 4 p. 204, 25 p. 424, 3.

896

οὐκ ἐν γυναιξὶ τοὺς νεανίας χρεών,
ἀλλ' ἐν σιδήρῳ κἀν ὅπλοις τιμὰς ἔχειν.

Anonymus in libro *Les papyrus Grecs* (Paris. 1866) p. 99: ὃ ἔλεγεν Εὐριπίδης 'οὐκ — ἔχειν'.

897

*μισῶ σοφιστήν, ὅστις οὐχ αὑτῷ σοφός.*

Cic. ad fam. 13, 15, 2: *itaque ab Homeri magniloquentia confero me ad vera praecepta Εὐριπίδου· 'μισῶ — σοφός'*. eundem versum habent Plut. V. Alex. 53 Mor. p. 1128 B Lucian. Apol. 5 vol. 1 p. 712 Men. mon. 332 Anecd. Paris. vol. 4 p. 343, 21. imitatus est Ennius (Ribbeck. Trag. Lat. p. 41): *qui ipse sibi sapiens prodesse non quit, nequiquam sapit.* respicere videtur Maximus Tyrius XXI p. 409: *ἦν σοφὸς ὁ Ἡρακλῆς, ἀλλὰ οὐχ αὑτῷ σοφός.*

898

*ψῦχος δὲ λεπτῷ χρωτὶ πολεμιώτατον.*

Cic. ad fam. 16, 8, 2: *'ψῦχος — πολεμιώτατον', inquit Euripides.*

899

*κρέασι βοείοις χλωρὰ σῦκ' ἐπήσθιεν*
*ἄμουσ' ὑλακτῶν ὥστε βαρβάρῳ μαθεῖν.*

Clemens Alex. Protr. p. 65: *Εὐριπίδης — ἐμμανῆ εἰσάγων Ἡρακλέα καὶ μεθύοντα ἀλλαχόθι καὶ ἄπληστον· πῶς γὰρ οὐχί; ὃς ἑστιώμενος τοῖς κρέασι 'χλωρὰ σῦκ' — μαθεῖν'.* vs. 1 supplevit Musgr. ex Ath. VII p. 276 F: *λέγομεν οὖν ὀψοφάγους οὐ τοὺς βόεια ἐσθίοντας, οἷος ἦν Ἡρακλῆς, ὃς τοῖς βοείοις κρέασιν ἐπήσθιε σῦκα χλωρά, οὐδὲ τὸν φιλόσυκον.* cf. Eust. Il. p. 867, 64 et Plut. Mor. p. 667 F. Sylei esse versus coniecit Matthiae.

900

*τὸ μὴ γενέσθαι κρεῖσσον ἢ φῦναι βροτούς.*
*ἔπειτα παῖδας σὺν πικραῖς ἀλγηδόσι*
*τίκτω; τεκοῦσα δ' ἢν μὲν ἄφρονας τέκω,*
*στένω ματαίως, εἰσορῶσα μὲν κακούς,*
*χρηστοὺς δ' ἀπολλῦσ'· ἢν δὲ καὶ σεσωσμένους,*

τήκω τάλαιναν καρδίαν ὀρρωδίᾳ.
τί τοῦτο δὴ τὸ χρηστόν; οὐκ ἀρκεῖ μίαν
ψυχὴν ἀλύειν κἀπὶ τῇδ' ἔχειν πόνους;

Clemens Alex. Str. III p. 520: λέγει γὰρ ἡ τραγῳδία 'τὸ μὴ — πόνους'. Euripidis esse locum docet Stob. Flor. 120, 17: Εὐριπίδου. 'τὸ μὴ — βροτούς' (vs. 1). vs. 1 βροτοῖς malim. vs. 3 ἄφρονας] ἄρσενας Madwig.

901

οὐδεμίαν ὤνησε κάλλος εἰς πόσιν ξυνάορον,
ἀρετὴ δ' ὤνησε πολλάς· πᾶσα γὰρ ἀγαθὴ γυνὴ
ἥτις ἀνδρὶ συντέτηκε σωφρονεῖν ἐπίσταται.
πρῶτα μέν γε τοῦθ' ὑπάρχει· κἂν ἄμορφος ᾖ πόσις,
χρὴ δοκεῖν εὔμορφον εἶναι τῇ γε νοῦν κεκτημένῃ·
οὐ γὰρ ὀφθαλμὸς τὸ κρίνειν .. ἐστὶν ἀλλὰ νοῦς.
εὖ λέγειν δ', ὅταν τι λέξῃ, χρὴ δοκεῖν, κἂν μὴ λέγῃ,
κἀκπονεῖν ἂν τῷ ξυνόντι πρὸς χάριν μέλλῃ λέγειν.
ἡδὺ δ', ἢν κακὸν πάθῃ τι, συσκυθρωπάζειν πόσει
ἄλοχον ἐν κοινῷ τε λύπης ἡδονῆς τ' ἔχειν μέρος . . .
σοὶ δ' ἔγωγε καὶ νοσοῦντι συννοσοῦσ' ἀνέξομαι
καὶ κακῶν τῶν σῶν ξυνοίσω, κοὐδέν ἐστί μοι πικρόν.
μετὰ γὰρ . . τῶν φίλων . . . . . εὐτυχεῖν
δυστυχεῖν τε χρή· τί γὰρ δὴ τὸ φίλον ἄλλο πλὴν τόδε;

Clemens Alex. Strom. IV p. 620 sq.: φίλανδρον μετὰ σεμνότητος ὑπογράφει γυναῖκα Εὐριπίδης παραινῶν 'εὐλο-

γεῖν — μέλλῃ λέγειν' (vs. 7 et 8). καὶ αὖθίς που τούτοις τὰ ὅμοια 'ἡδὺ δ' — ἔχειν μέρος' (vs. 9 et 10). τό τε πρᾶον καὶ φιλόστοργον ὧδέ πως ὑποδεικνύων κἂν ταῖς συμφοραῖς ἐπιφέρει 'σοὶ δ' — πλὴν τόδε' (vs. 11—14). paulo post sequuntur haec p. 621: χρὴ δὲ τὸν εὐδαίμονα γάμον οὔτε πλούτῳ ποτὲ οὔτε κάλλει κρίνεσθαι, ἀλλ' ἀρετῇ. 'οὐδεμίαν' φησὶν ἡ τραγῳδία 'ὤνησε κάλλος — ἐπίσταται' (vs. 1—3). εἶτα οἷον παραινέσεις διδοῦσά φησι 'πρῶτα μέν — νοῦς' (vs. 4—6). καὶ τὰ ἐπὶ τούτοις. iustum ordinem horum versuum, quos manifestum est arcte inter se cohaerere, restitit Musgravius. vs. 4 μὲν γὰρ Grotius. vs. 6 τὸ κρίνειν δυνατόν ἐστιν temptabam, τὸ κρίνειν ἱκανόν ἐστιν Heimsoethius. vs. 9 πράξῃ τι cod., πάθῃ τι scripsi. vs. 12 κοὐδὲν ἔσται Musgravius. vs. 13 et 14 num Euripidis sint dubium est. vs. 13 lacunas indicavi. vs. 14 δυστυχεῖν addidit Dobraeus. locum ex Oedipo (v. fr. 549) petitum esse coniecit C. Fr. Hermannus.

## 902

ὄλβιος ὅστις τῆς ἱστορίας
ἔσχε μάθησιν,
μήτε πολιτῶν ἐπὶ πημοσύνην
μήτ' εἰς ἀδίκους πράξεις ὁρμῶν,
ἀλλ' ἀθανάτου καθορῶν φύσεως
κόσμον ἀγήρων, πῇ τε συνέστη
καὶ ὅπῃ καὶ ὅπως.
τοῖς δὲ τοιούτοις οὐδέποτ' αἰσχρῶν
ἔργων μελέδημα προσίζει.

Clemens Alex. Str. IV p. 634 sine poetae nom.: 'ὄλβιος — προσίζει'. Themist. p. 307 D: καὶ αὗταί εἰσιν ἃς Εὐριπίδης ὁ σοφὸς οὔτε πολιτῶν φησὶν ἐπὶ πημοσ'νας οὔτ' εἰς ἀδίκους πράξεις ὁρμᾶν, ἀλλ' ἀθανάτου καθορᾶν φύσιος κόσμον ἀγήρω. vs. 1 τῆσδ' ἱστορίας malim. vs. 6 respicit Pollux 2, 14: καὶ Πλάτων τὸν ἀγήρω κόσμον· Εὐριπίδης δὲ κόσμον ἀγήρω (in codicibus nonnullis haec omittuntur). ἀγήρων scripsi, ἀγήρω Clem. Al. Themist. Poll. vs. 7 ὅπῃ

vitiosum, ὅπου suasit Meinekius, an ὅτῳ leg.? vs. 9 μελέδημα scripsi, μελέτημα cod.

903

χρύσεαι δή μοι πτέρυγες περὶ νώτῳ
καὶ τὰ Σειρήνων πτερόεντα πέδιλ' ἁρμόζεται,
βάσομαί τ' εἰς αἰθέρα πολὺν ἀερθεὶς
Ζηνὶ προσμίξων

Clemens Alex. Str. IV p. 642: ὁ μὲν οὖν Εὐριπίδης 'χρύσεαι δή μοι πτέρυγες περὶ νώτῳ' φησί 'καὶ τὰ — προσμίξων'. vs. 1 respicit Plut. Mor. p. 786 D: οὐ ταῖς Εὐριπίδου χρυσαῖς πτέρυξιν, ἀλλὰ τοῖς Πλατωνικοῖς ἐκείνοις καὶ οὐρανίοις πτεροῖς. vs. 2 ἁρμόζεται vide an Clementi debeatur. vs. 3 αἰθέρ' ἄπειρον ἀερθεὶς Heimsoethius, αἰθέριον πόλον ἀρθεὶς Th. Gomperzius.

904

σοὶ τῷ πάντων μεδέοντι χοὴν
πέλανόν τε φέρω, Ζεὺς εἴτ' Ἀίδης
ὀνομαζόμενος στέργεις· σὺ δέ μοι
θυσίαν ἄπυρον παγκαρπείας
δέξαι πλήρη προχυθεῖσαν.
σὺ γὰρ ἔν τε θεοῖς τοῖς οὐρανίδαις
σκῆπτρον τὸ Διὸς μεταχειρίζων
χθονίων θ' Ἅιδῃ μετέχεις ἀρχῆς.
πέμψον δ' ἐς φῶς ψυχὰς ἐνέρων
τοῖς βουλομένοις ἄθλους προμαθεῖν
πόθεν ἔβλαστον, τίς ῥίζα κακῶν,
τίνα δεῖ μακάρων ἐκθυσαμένους
εὑρεῖν μόχθων ἀνάπαυλαν.

Clemens Alex. Strom. V p. 688: πάνυ θαυμαστῶς ὁ ἐπὶ τῆς σκηνῆς φιλόσοφος Εὐριπίδης τοῖς προειρημένοις ἡμῖν συνῳδὸς διὰ τούτων εὑρίσκεται, πατέρα καὶ υἱὸν ἅμα οὐκ οἶδ' ὅπως αἰνισσόμενος 'σοὶ τῷ — προχυτίαν' (vs. 1—5).

— *πράσσων'* (vs. 1 et 3—5). vs. 1—3 habent Cic. ad Att. 8, 8, 2 et Suidas v. *παλαμᾶσθαι*, vs. 3 Cic. ad Att. 6, 1, 8. verba *τὸ γὰρ εὖ — δίκαιον* (vs. 3 sq.) habet Marcus Anton. 7, 42. Euripideum esse locum docet Suidas v. *ἀλωτόν*: *καὶ Εὐριπίδης 'οὐ μή ποθ' ἁλῶ κακὰ πράσσων'* (vs. 5). parodia locum expressit Ar. Ach. 659: *πρὸς ταῦτα Κλέων καὶ παλαμάσθω καὶ πᾶν ἐπ' ἐμοὶ τεκταινέσθω· τὸ γὰρ εὖ μετ' ἐμοῦ καὶ τὸ δίκαιον ξύμμαχον ἔσται, κοὐ μή ποθ' ἁλῶ περὶ τὴν πόλιν ὢν ὥσπερ ἐκεῖνος δειλὸς καὶ λακαταπύγων.* vs. 1 *χρῆ* Bergkius, qui Telephi esse locum coniecit.

## 911

*κορυφὴ δὲ θεῶν ὁ πέριξ χθόν' ἔχων*
*φαεννὸς αἰθήρ*

Cornutus de N. D. 20 p. 104: *'κορυφὴ δὲ θεῶν' κατὰ τὸν Εὐριπίδην 'ὁ — αἰθήρ'.* vs. 2 *φαεννὸς* codex Par. 4, *φαεινὸς* al., *φαέθων* Maehly, *νήνεμος* anonymus.

## 912

*ἡ φύσις ἐβούλεθ', ᾗ νόμων οὐδὲν μέλει.*

Cyrillus de trinit. dial. II vol. V, 1 p. 456 A: *τοῖς δὲ τὸ ἀνθ' ὅτου λέγουσιν ἕν γε τουτοισὶ σοφὸν ὑπειπεῖν τὸ τισὶν ὑμνούμενον 'ἡ φύσις — μέλει'.* Aelianus N. A. 4, 54: *Ὅμηρος μὲν οὖν ἔδωκεν ἵππῳ φωνήν, ἀσπίδι δὲ ἡ φύσις, ᾗ νόμων οὐδὲν μέλει, φησὶν Εὐριπίδης.* ibid. 9, 1: *διδάσκει δὲ ἡ φύσις, ᾗ νόμων ἀνθρωπικῶν μέλει οὐδέν.* Sextus Empir. p. 576, 12: *οὐχ ἡμᾶς αἰτιᾶσθαι δεῖ, ἀλλὰ τὴν φύσιν, ᾗ νόμων οὐδὲν μέλει.* Aristaen. 2, 5 p. 145: *τῆς φύσεως βουλομένης, ᾗ νόμων, ὡς ἔοικεν, οὐδὲν μέλει.* adde parodiam Anaxandr. Com. 3 p. 200 ap. Aristot. Eth. Nic. 7, 11 p. 1152 a 23: *ἡ πόλις ἐβούλεθ', ᾗ νόμων οὐδὲν μέλει.*

## 913

*ἀωρὶ πόντου κύματ' εὐρέος περᾷ . . .*
*σμικραῖς ἑαυτοὺς ἐπιτρέπουσιν ἐλπίσιν*

Dio Chr. 64, 9: *εἶτα Εὐριπίδης τὸν ναύτην μέμφεται,*

ἀωρὶ πόντου κύματ' εὐρέος περῶντα· καὶ διὰ τῶν ἑξῆς ἐπιτιμᾷ λέγων ὅτι σμικραῖς ἐπιτρέπουσιν αὐτοὺς ἐλπίσιν. ὦ παῖ Μνησαρχίδου, ποιητὴς μόνον ἦσθα, σοφὸς δὲ οὐδαμῶς. οὔτε γὰρ πίττῃ τὴν ψυχὴν οὔτε σχοινίοις ἐπιτρέπουσιν οὔτε τριδάκτυλον αὐτοὺς σῴζει ξύλον πεύκινον, ἀλλ' ἐπέτρεψαν βεβαίῳ καὶ μεγάλῳ πράγματι, τῇ τύχῃ. vs. 1 incertum utrum περᾷ an περῶν Euripides dixerit. verba τριδάκτυλον αὐτοὺς σῴζει ξύλον πεύκινον ex Euripide desumpta esse non crediderim.

914

*τίς τοὐμὸν ὄνομα τοὐπονείδιστον βροτοῖς*
*οὐκ οἶδα Λαμίας τῆς Λιβυστικῆς γένος;*

Diod. Sic. 20, 41: ὅτι δὲ κατὰ τὴν Λιβύην γέγονεν αὕτη (Lamia) καὶ τὸν Εὐριπίδην δεῖξαι τις ἂν μαρτυροῦντα· λέγει γὰρ 'τίς — γένος'. vs. 1 τοὔνομα τὸ ἐπονείδιστον libri, τοὐμὸν ὄνομα τοὐπονείδιστον Meinekius, τοὔνομ' αὐτὸ τοὐπ. Alexandre. locus ad Lamiam relatus est, de qua fabula diximus p. 126.

915

*οὐκ ἐγγυῶμαι, ζημίαν φιλεγγύων*
*σκοπῶν· τὰ Πυθοῖ δ' οὐκ ἐᾷ με γράμματα.*

Diod. Sic. exc. Vat. p. 20 de proverbio 'ἐγγύα, πάρα δ' ἄτα' disputans: καὶ Εὐριπίδης 'οὐκ ἐγγυῶμαι — γράμματα'. vs. 1 sq. ζημίαν φιλεγγύων σκοπῶν Herwerdenus, ζημία φιλέγγυον σκοπεῖν cod. vs. 2 με Matthiae, τὰ cod.

916

*μή μοι λεπτῶν θίγγανε μύθων, ψυχή·*
*τί περισσὰ φρονεῖς; εἰ μὴ μέλλεις*
*σεμνύνεσθαι παρ' ὁμοίοις.*

Dionys. C. V. c. 4 vol. 5 p. 25 (p. 54 Schaef.): καλῶς ἂν ἔχοι τὰ Εὐριπίδεια ταῦτα ἐπενεγκεῖν 'μή μοι — ὁμοίοις'. vs. 1 ψυχή] delet hoc vocabulum Bernhardy, μή μοι — μύθων, μή μοι, ψυχή proposuit Elmsleius.

## 917

Eratosth. Catast. 13 de Erichthonio: *λέγει δὲ καὶ Εὐριπίδης περὶ τῆς γενέσεως αὐτοῦ τὸν τρόπον τοῦτον· Ἥφαιστον ἐρασθέντα Ἀθηνᾶς βούλεσθαι αὐτῇ μιγῆναι· τῆς δὲ ἀποστρεφομένης καὶ τὴν παρθενίαν μᾶλλον αἱρουμένης ἔν τινι τόπῳ τῆς Ἀττικῆς κρύπτεσθαι, ὃν λέγουσι καὶ ἀπ' ἐκείνου προσαγορευθῆναι Ἥφαιστον* (*Ἡφαιστεῖον* Matth.). *ὃς* (f. *ὃς δὲ*) *δόξας αὐτὴν κρατήσειν καὶ ἐπιθέμενος πληγεὶς ὑπ' αὐτῆς τῷ δόρατι ἀφῆκε τὴν ἐπιθυμίαν, φερομένης εἰς τὴν γῆν τῆς σπορᾶς· ἐξ ἧς γεγενῆσθαι λέγουσι παῖδα, ὃς ἐκ τούτου Ἐριχθόνιος ἐκλήθη καὶ αὐξηθεὶς τοῦθ' εὗρε καὶ ἐθαυμάσθη ἀγωνιστὴς γενόμενος.* Hyginus Poet. Astr. 2, 13 p. 446: *de cuius progenie Euripides ita dicit: Vulcanum Minervae pulchritudine corporis inductum petiisse ab ea ut sibi nuberet neque inpetrasse, et coepisse Minervam sese occultare in eodem loco qui propter Vulcani amorem Hephaestius est adpellatus. quo persecutum Vulcanum ferunt coepisse ei vim adferre* et q. s. Schol. Germ. Caes. Arat. p. 73, 6: *Euripides refert Vulcanum Minervam dilexisse et quae secuntur, dum Erichthonius nasceretur.*

## 918

*κρήμνη σεαυτὴν ἐκ μέσης ἀντηρίδος*

Etym. M. p. 112, 26: *ἀντηρίς ἀντηρίδος, ὡς παρ' Εὐριπίδῃ 'κρήμνη — ἀντηρίδος'.* Etym. Gud. p. 345, 47: *κρήμνη, ὡς παρ' Εὐριπίδῃ 'κρήμνη — μέσης'.* eundem versum om. p. nom. afferunt Choerob. Epim. p. 60, 8 Etym. M. p. 537, 35 Eust. Il. p. 903, 51. item verba *κρήμνη σεαυτήν* Eust. Il. p. 695, 43 p. 1003, 24. *Εὐριπίδῃ* fortasse in *Εὐπόλιδι* mutandum est.

## 919

*γλώσσῃ διαψαίρουσα μυκτήρων τόπους*

Etym. M. p. 272, 1: *διαψαίρουσι — Εὐριπίδης ἐπὶ τοῦ καθαίρειν, οἷον 'γλώσσῃ — τόπους'.* eadem fere Zon. Lex. v. *διαψαίρουσα* p. 536. *τόπους*] *πόρους* Valckenarius.

920

*ἔνδον γυναικῶν καὶ παρ' οἰκέταις λόγος.*

Eust. Il. p. 566, 14 de v. *οἰκέτης: παράγει δὲ αὐτὸς* (Aristophanes grammaticus) *καὶ παροιμίαν ἐξ Εὐριπίδου λέγουσαν 'ἔνδον λόγος'.*

921

*οὐ γὰρ ἀσφαλὲς*
*περαιτέρω τὸ κάλλος ἢ μέσον λαβεῖν.*

Galenus vol. 1 p. 16 (vol. 1 p. 3 ed. Basil., vol. 2 p. 8 Chart.): *τῷ γήρᾳ λοιδοροῦνται δέον ἑαυτοῖς, καὶ τὸν Εὐριπίδην ἐπαινοῦσι λέγοντα 'οὐ γὰρ ἀσφαλὲς εἶναι περαιτέρω — λαβεῖν'.*

922

*οἴμοι, δράκων μου γίγνεται τὸ ἥμισυ·*
*τέκνον, περιπλάκηθι τῷ λοιπῷ πατρί.*

Hermog. in Rhet. vol. 3 p. 180: *γίνεται δὲ τὸ κακόζηλον κατὰ τὸ εὐτελὲς πολλάκις, ὡς ἐκεῖνο 'οἴμοι — ἥμισυ'.* mox ibidem: *τὰ εὐτελῶς εἰρημένα ἡ σεμνότης διορθοῦται, ὡς παρὰ τῷ Εὐριπίδῃ 'οἴμοι — ἥμισυ'. τοῦτο γὰρ κοινῶς καὶ εὐτελῶς εἰπὼν ἐθεράπευσε τῇ ἐπιφορᾷ 'τέκνον — πατρί'.* vs. 1 *τό γ' ἥμισυ* Barnesius, malim *τόδ' ἥμισυ.* locum e Cadmo petitum esse coniecit Valckenarius. falsum videtur quod tradit Schol. Hermog. Rhet. vol. 7 p. 853: *περὶ Κέκροπος ὁ λόγος εἰς δράκοντα μεταβαλλομένου.* et ibid.: *ἀσυνεσία γάρ τις τὸ λέγειν τὸν Κέκροπα ὅτι δράκων μου γέγονε τὸ ἥμισυ.*

923

*λωτίνας ἀηδόνας*

Hesych.: *ἀηδόνα· γλωσσίδα, μεταφορικῶς Εὐριπίδης Οἰδίποδι. καὶ τοὺς αὐλοὺς δὲ 'λωτίνας ἀηδόνας' που ἔφη.* Hesych.: *λωτίνας ἀηδόνας· τοὺς αὐλούς.* Anecd. Bekk. p. 349, 3: *ἀηδόνα· ἔστι μὲν ἡ ὄρνις, ἐκ μεταφορᾶς δὲ οἱ τραγικοὶ τὴν γλωσσίδα τῶν βοῶν* (*τῶν αὐλῶν* Ruhnkenius), *ἔστι δὲ ὅπου καὶ τὸν αὐλόν. ἡ λέξις Διδύμου.*

924

*Αἰγυπτία . . ἐμπολή*

Hesych.: *Αἰγυπτία ἐμπολή· ὁ ῥῶπος καὶ τὰ ἐκεῖθεν φορτία, ὡς Εὐριπίδης.*

925

*πολλαῖσι μορφαῖς οἱ θεοὶ σοφισμάτων*
*σφάλλουσιν ἡμᾶς κρείσσονες πεφυκότες.*

Plut. Mor. p. 431 A: *πολλαῖς γὰρ οἱ θεοὶ μορφαῖς οὐ σοφισμάτων, ὡς Εὐριπίδης φησίν, ἀλλὰ πραγμάτων σφάλλουσιν ἡμᾶς.* Plut. Mor. p. 20 F: *πάλιν Εὐριπίδου λέγοντος 'πολλαῖσι — πεφυκότες'.* Stob. Flor. 3, 3 sine lemmate: *'πολλαῖσι — πεφυκότες'.*

926

*παῖς ὢν φυλάσσου πραγμάτων αἰσχρῶν ἄπο·*
*ὡς ἢν τραφῇ τις μὴ κακῶς, αἰσχύνεται*
*ἀνὴρ γενόμενος αἰσχρὰ δρᾶν· νέος δ' ὅταν*
*πόλλ' ἐξαμάρτῃ, τὴν ἁμαρτίαν ἔχει*
*εἰς γῆρας αὑτοῦ τοῖς τρόποισιν ἔμφυτον.*

Ioh. Dam. post Stob. Ecl. p. 724, 25: *τοῦ αὐτοῦ* (praecedit Eur. Hec. 600). *'παῖς ὢν — ἔμφυτον'.* vs. 1 *ἄπο* suspectum, *κλέος* coniecit Meinekius.

927

*ὅστις νέος ὢν Μουσῶν ἀμελεῖ,*
*τόν τε παρελθόντ' ἀπόλωλε χρόνον*
*καὶ τὸν μέλλοντα τέθνηκε.*

Ioh. Dam. post Stob. Ecl. p. 728, 19: *Εὐριπίδου κωμικοῦ. 'ὅστις — τέθνηκε'.*

928

*νοῦν ἔχοντος ἦν ἄρα,*
*φίλον πρίασθαι χρημάτων πολλῶν σαφῆ.*

Liban. Epist. 487: *ἐπαινῶν Εὐριπίδην λέγοντα νοῦν*

ἔχοντος εἶναι 'φίλον — σαφῆ'. Theodorus Hyrt. Epist. 81 in *Notices et Extr.* VI p. 40: *Εὐριπίδης ὁ τραγικὸς δίκαιον εἶναι φησὶ πολλῶν σαφῆ φίλον πρίασθαι χρημάτων.*

929

*ἀλλ' ὦ φίλιπποι Τρῶες*

Longinus de subl. c. 15, 4: *ὅμοια καὶ τὰ ἐπὶ τῆς Κασσάνδρας αὐτῷ* (Euripidi) '*ἀλλ' — Τρῶες*'.

930

*οὐκ· ἀλλ' ἔτ' ἔμπνουν Ἀίδης μ' ἐδέξατο.*

Lucian. Necyom. 2 vol. 1 p. 456: ΦΙΛ. *Ἡράκλεις, ἐλελήθει Μένιππος ἡμᾶς ἀποθανών· κᾆτ' ἐξ ὑπαρχῆς ἀναβεβίωκεν.* MEN. '*οὐκ — ἐδέξατο*'. Euripidis versum esse docet loci nexus.

931

*μὴ κτεῖνε· τὸν ἱκέτην γὰρ οὐ θέμις κτανεῖν.*

Lucian. Pisc. 3 vol. 1 p. 573: *ἐπὶ τὸν Εὐριπίδην δή μοι καταφευκτέον· τάχα γὰρ ἂν ἐκεῖνος ἐκσώσειέ με.* '*μὴ — κτανεῖν*'.

932

*νῦν οὖν ἕκατι ῥημάτων κτενεῖτέ με;*

Lucian. Pisc. 3 vol. 1 p. 573: ΠΛΑΤ. *τί δέ; οὐχὶ κἀκεῖνα Εὐριπίδου ἐστίν; οὐ δεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους* (Eur. Or. 413); ΛΟΥΚ. '*νῦν — με*'. *ῥήματος* malim. Euripideum esse versum e praegressis verbis patet.

933

*ὦ παγκάκιστα χθόνια γῆς παιδεύματα*

Lucian. Iov. trag. 1 vol. 2 p. 643, vide fr. 934. e Luciano hunc versum sumpsit Theodorus Prodr. in *Notices et Extr.* VIII, 2 p. 143.

934

*τί δ' ἔστι; πρὸς χορὸν γὰρ οἰκείων ἐρεῖς.*

Lucian. Iov. trag. 2 vol. 2 p. 643: ΖΕΥΣ. ὦ παγκάκιστα χθόνια γῆς παιδεύματα, σύ τ' ὦ Προμηθεῦ, οἷά μ' εἴργασαι κακά. ΑΘΗΝ. τί δ' ἔστι; πρὸς χορὸν γὰρ οἰκείων ἐρεῖς; ΖΕΥΣ. ὦ μεγαλοσμαράγου στεροπᾶς ῥοίζημα, τί ῥέξεις; ΗΡΑ. κοίμισον ὀργάν, εἰ μὴ — τὸν Εὐριπίδην ὅλον καταπεπώκαμεν ὥστε σοι ὑποδραματουργεῖν. non dubitavi ex hoc loco duos Euripideos versus acquirere. cf. Schol. Luciani p. 242: μεμνήμεθα γὰρ καὶ αὐτοί, καὶ τοῦτο δὴ τὸ τῶν τραγῳδῶν 'πρὸς οἰκεῖον χορὸν ἐρεῖς'.

## 935

ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα
καὶ γῆν πέριξ ἔχονθ' ὑγραῖς ἐν ἀγκάλαις;
τοῦτον νόμιζε Ζῆνα, τόνδ' ἡγοῦ θεόν.

Lucianus Iov. trag. 41 vol. 2 p. 689: ἄκουσον αὐτοῦ (sc. Εὐριπίδου) τότε παρρησιαζομένου 'ὁρᾷς — θεόν'. eosdem versus habent Stob. Ecl. 1, 2, 2 p. 26 Heraclit. Alleg. Hom. c. 23 p. 49 anonymus de Arati interpret. in Petavii Vranol. p. 273 E Athenag. Leg. pro Christ. c. 5 p. 24 Clem. Alex. Strom. V p. 717 Euseb. P. E. p. 681 A Tzetz. Exeg. Il. p. 53, 2 (cf. p. 68, 4), item graviter corruptos Probus in Verg. Ecl. 6, 31 p. 11, 8. vs. 1 et 2 afferunt Plut. Mor. p. 601 A 780 D 919 B et Clem. Alex. Protr. p. 21, cf. Schol. Il. Ξ, 200 p. 392 b 33. vs. 3 respiciunt Lucianus Philop. c. 12 vol. 3 p. 597 et Clemens Alex. Protr. p. 63. Latine locum interpretatur Cicero N. D. 2, 25, 65: *Euripides autem ut multa praeclare, sic hoc breviter:*

*vides sublime fusum immoderatum aethera,*
*qui tenero terram circumiectu amplectitur?*
*hunc summum habeto divum, hunc perhibeto Iovem.*

Antiopae esse fragmentum docere videtur Probus in Vergil. Ecl. 6, 31 p. 21, 6 (cf. quae diximus in fr. 226). Ennius in Thyeste p. 48 ed. Ribbeck.: *aspice hoc sublimen candens, quem invocant omnes Iovem.* vs. 2 καὶ γῆν] τὴν γῆν Herwerdenus, ego γαῖαν malim.

936

Ioh. Lydus de mens. 4, 62 p. 94, 10: *οὐδὲν γὰρ ἀσφαλὲς οὐδὲ κεκριμένον ἐστὶν ἐπὶ τῆς τύχης, ὡς Εὐριπίδης φησίν.* fortasse respicitur Alc. 785: *τὸ τῆς τύχης γὰρ ἀφανὲς οἷ προβήσεται, κἄστ' οὐ διδακτὸν οὐδ' ἁλίσκεται τέχνῃ.*

937

*πυριγενὴς δὲ δράκων ὁδὸν ἡγεῖται ταῖς τετραμόρφοις*
*ὥραις ζευγνὺς ἁρμονίᾳ πολύκαρπον ὄχημα.*

Macrob. Sat. 1, 17, 59: *solis meatus — iter suum velut flexum draconis involvit, unde Euripides 'πυριγενὴς — ὄχημα'.* Euripidis num ista sint, iure dubitat Lobeckius Aglaoph. p. 463.

938

*καὶ Γαῖα μῆτερ· Ἑστίαν δέ σ' οἱ σοφοὶ*
*βροτῶν καλοῦσιν ἡμένην ἐν αἰθέρι.*

Macrob. Saturn. 1, 23, 8: *haec sola (Ἑστία), quam terram esse accipimus, manet immobilis intra domum deorum, id est intra mundum, ut ait Euripides 'καὶ — αἰθέρι'.* Theol. Arithm. p. 7 Ast.: *καὶ δὴ Εὐριπίδης ὡς Ἀναξαγόρου γενόμενος μαθητὴς οὕτω τῆς γῆς μέμνηται 'ἑστίαν δέ σε οἱ σοφοὶ βροτῶν νομίζουσιν'.*

939

*ἀεί τι καινὸν ἡμέρα παιδεύεται.*

Orion. Flor. 8, 1 p. 261, 18. cf. Posidipp. Com. vol. 4 p. 519: *ἡ δ' ἡμέρα ἀεί τι καινὸν εἰς τὸ φροντίζειν φέρει.*

940

*εὖ ἴσθ', ὅταν τις εὐσεβῶν θύῃ θεοῖς,*
*κἂν μικρὰ θύῃ, τυγχάνει σωτηρίας.*

Orion Flor. Eurip. 2 p. 264, 22. vs. 1 *σάφ' ἴσθ'* malim.

941

*ἢ πολλὰ καὶ δύσγνωστα βουλεύει θεός.*

Orion Flor. Eurip. 3 p. 264, 24.

942

*θεοὺς ἀρέσκου· πᾶν γὰρ ἐκ θεῶν τέλος.*

Orion Flor. Eurip. 6 p. 265, 5. *θεοὺς* scripsi, *θεοῖς* cod.

943

*καὶ τοῖς τεκοῦσιν ἀξίαν τιμὴν νέμειν*

Orion Flor. Eurip. 10 p. 265, 17. idem versus cum Eur. Heracl. 297 et 298 coniunctus extat in Stob. Flor. 79, 3: *ἐν ταὐτῷ* (sc. *Εὐρ. Ἡρακλείδαις*). *'οὐκ ἔστι παισὶ τοῦδε κάλλιον γέρας ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι καὶ τοῖς τεκοῦσιν ἀξίαν τιμὴν νέμειν'*.

944

*ὡς ἡδὺ πατέρα παισὶν ἤπιον κυρεῖν*
*καὶ παῖδας εἶναι πατρὶ μὴ στυγουμένους.*

Orion Flor. Eurip. 12 p. 265, 21.

945

*ἢν οἱ τεκόντες τοῦτο γιγνώσκωσ' ὅτι*
*νέοι ποτ' ἦσαν, ἠπίως τὴν τῶν τέκνων*
*οἴσουσι Κύπριν, φύντες οὐ σκαιοὶ φύσιν.*

Orion Flor. Eurip. 13 p. 265, 23. vs. 2 *καὐτοὶ νέοι ποτ' ἦσαν, ἠπίως τέκνων* Meinekius. vs. 3 *φύντες* scripsi, *ὄντες* cod.

946

*ὅστις πατὴρ πρὸς παῖδας ἐκβαίνει πικρῶς,*
*τὸ γῆρας οὗτος ἐρματίζεται βαρύ.*

Orion Flor. Eurip. 14 p. 265, 26. vs. 1 *πικρός* Wagner.

947

Philo Iud. Quaest. in Genes. vol. 7 p. 188 ed. Richter.: *optime dixit Epicharmus: quicunque, ait, minus delinquit, optimus est vir; nemo est enim innocens, nemo reprehensionis expers. et Euripides 'quicunque incontinentes sunt et redundat in eis malum inimicitiae et iniustitiae, mali sunt; in quibus autem opposita praevalent, virtute praediti; in aliis vero ita quasi aequalis sit commixtio, ita ut nulli sint qui omnia mala habeant sine ullo bono'*. ibid. p. 240: *Euripides quoque neminem irreprehensibilem dixit, tamen quibusdam abundantur malitiarum fomenta turpia iniqua, adeo pravis adversantur strenui; quibusdam tamen ita altrinsecus inest temperantia, ut nonnulli* (immo *nulli*) *omnia pessima obtineant absque ullo bono, nonnulli omnia necessaria* (expectes *nulli omnia bona*) *sine ullo malo.*

948

*εὔξει τοιοῦτον ἄνδρα σοι παρεστάναι.*

Plat. Epist. 1 p. 309 D: *καί μοι τὸ τοῦ Εὐριπίδου κατὰ καιρὸν ἔστιν εἰπεῖν, ὅτι σοὶ πραγμάτων ἄλλων ποτὲ ξυμπεσόντων 'εὔξει — παρεστάναι'.* in verbis prioribus versum *καὶ ξυμπεσόντων πραγμάτων ἄλλων ποτέ* latere coniecit Grotius.

949

*Δήμητρος λάτριν*

Philodemus *περὶ εὐσεβείας* in Gomperzii libro *Herkulanische Studien* fasc. 2 p. 42 (Hercul. Vol. coll. alt. II fol. 91): *λέγουσιν δέ τινες — καὶ τὴν Ἑκάτην ὀπαδὸν Ἀρτέμιδος εἶναι, Δήμητρος δὲ λάτριν Εὐριπίδης, Ὅμηρος δ' ἐν τοῖς ὕμνοις πρόπολον καὶ ὀπάονα.*

950

*τίς δ' ἔστι δοῦλος τοῦ θανεῖν ἄφροντις ὤν;*

Plut. Mor. p. 34 B: *καὶ πάλιν τοῦ Εὐριπίδου λέγοντος 'τίς — ὤν;' ὑπακουστέον ὅτι καὶ περὶ πόνου καὶ περὶ νόσου τὰ αὐτὰ εἴρηκεν.* eundem versum afferunt Plut. Mor.

p. 106 D Clemens Alex. Strom. IV p. 586 Philo Iud. vol. 2 p. 448 Cic. ad Att. 9, 2a, 2.

951

ἐγὼ δ'
οὐδὲν πρεσβύτερον νομί-
ζω τᾶς σωφροσύνας, ἐπεὶ
τοῖς ἀγαθοῖς ἀεὶ ξύνεστι.

Plut. Mor. p. 36 C: καὶ πάλιν ὑπὸ τοῦ Εὐριπίδου παραπλησίως 'ἐγὼ — σύνεστι'. eundem locum habet Stob. Flor. 5, 2. vs. 2 τῆς σωφροσύνης Stob.

952

τιμᾶν τὰν τέτασθε, πλούτῳ δ' ἀρετὰν κατεργάσασθαι δοκεῖτ', ἐν ἐσθλοῖς δὲ καθήσεσθ' ἄνολβοι.

Plut. Mor. p. 36 C: καὶ πάλιν ὑπὸ τοῦ Εὐριπίδου παραπλησίως 'ἐγὼ δ' οὐδὲν — σύνεστι' (fr. 951), καὶ τὸ 'τιμᾶν — ἄνολβοι'. vs. 1 τιμὰν πέπασθε legendum suspicor. vs. 2 κάθησθ' scripserim.

953

φεῦ, τοῖσι γενναίοισιν ὡς ἅπαν καλόν.

Plut. Mor. p. 85 A: ἀξιέραστον ἡγούμενοι τὴν ἀρετὴν ὁμόσε χωρῶμεν αὐτῇ, τὸ Εὐριπίδειον ἐφ' ἑκάστῳ φθεγγόμενοι 'φεῦ — καλόν'. eundem versum habet Plut. V. Pomp. c. 73. cf. Eur. fr. 331, 1.

954

. . ἄλλ' ἐπ' ἄλλῃ φάρμακον κεῖται νόσῳ·
λυπουμένῳ μὲν μῦθος εὐμενὴς φίλων,
ἄγαν δὲ μωραίνοντι νουθετήματα.

Plut. Mor. p. 102 B: κατὰ γὰρ τὸν σοφὸν Εὐριπίδην 'ἄλλ' ἐπ' — νουθετήματα'. vs. 1 ἀλλ' addit Gataker. vs. 2 et 3 habent Plut. Mor. p. 69 D et Sotion in Stob. Flor. 113, 15. vs. 2 φίλου Stob.

955

*μηδ' εὐτύχημα μηδὲν ὧδ' ἔστω μέγα,*
*ὅ σ' ἐξεπαρεῖ μεῖζον ἢ χρεὼν φρονεῖν,*
*μηδ' ἤν τι συμβῇ δυσχερές, δουλοῦ πάλιν·*
*ἀλλ' αὐτὸς ἀεὶ μίμνε τὴν σαυτοῦ φύσιν*
*σῴζων βεβαίως ὥστε χρυσὸς ἐν πυρί.*

Plut. Mor. p. 102 F: *τῶν μὲν γὰρ καλῶς λεγομένων ἔστιν ἐν ὑποθήκης μέρει καὶ τοῦτο 'μηδ' εὐτύχημα — πυρί'.* Euripidis esse locum docet Libanius Epist. 471: *τοῦτον οὔτε εὐτυχία πώποτε ἐπῆρεν ἐν δυσκολίᾳ τε οὐκ ἔπτηξεν Εὐριπίδου μεμνημένος.*

956

*ὅστις δ' ἀνάγκῃ συγκεχώρηκεν βροτῶν,*
*σοφὸς παρ' ἡμῖν καὶ τὰ θεῖ' ἐπίσταται.*

Plut. Mor. p. 116 F: *καὶ ὁ Εὐριπίδης 'ὅστις δ' — ἐπίσταται'.* eosdem versus habet Epictet. Enchir. 52, quo de loco Simplicius vol. 4 p. 523: *τὸ δεύτερον δὲ ἔστι μὲν Εὐριπίδου τοῦ τραγικοῦ.*

957

*ὁ βίος γὰρ ὄνομ' ἔχει πόνος γεγώς*

Plut. Mor. p. 120 A: *ἄωρος ἐτελεύτησεν· οὔκουν εὐποτμότερος διὰ τοῦτο καὶ κακῶν ἀπείρατός ἐστιν; ὁ βίος γάρ, φησὶν Εὐριπίδης, ὄνομ' ἔχει, πόνος γεγώς· οὗτος δ' ἐπὶ τῆς εὐανθεστάτης ἡλικίας προαπεφοίτησεν κτἑ. ὁ βίος]* *βίος* malim.

958

*εἴης μοι, μέτριον δέ πως*
*εἴης μηδ' ἀπολείποις.*

Plut. Mor. p. 132 B: *πρὸς δὲ τὸν οἶνον, ἅπερ Εὐριπίδης πρὸς τὴν Ἀφροδίτην, διαλεκτέον 'εἴης μοι — ἀπολείποις'.*

959

*Ἑκάτης ἄγαλμα φωσφόρου κύων ἔσει.*

Plut. Mor. p. 379 D: *Ἕλληνες μὲν γὰρ ἕν γε τούτοις λέγουσιν ὀρθῶς καὶ νομίζουσιν, ἱερὸν Ἀφροδίτης ζῷον εἶναι τὴν περιστερὰν καὶ τὸν δράκοντα τῆς Ἀθηνᾶς καὶ τὸν κόρακα τοῦ Ἀπόλλωνος, καὶ τὸν κύνα τῆς Ἀρτέμιδος, ὡς Εὐριπίδης 'Ἑκάτης — ἔσει'*. locum repetit Aristoph. Com. 2 p. 1195 ap. Eust. Od. p. 1467, 37: *καὶ κύων ἀκράχολος Ἑκάτης ἄγαλμα φωσφόρου γενήσομαι*. cf. Hesych. vv. *ἄγαλμα Ἑκάτης* et *Ἑκάτης ἄγαλμα*.

960

***οὐ βούλομαι πλουτοῦντι δωρεῖσθαι πένης,***
***μή μ' ἄφρονα κρίνῃς ἢ διδοὺς αἰτεῖν δοκῶ.***

Plut. Mor. p. 384 D: *στιχιδίοις τισὶν οὐ φαύλως ἔχουσιν, ὦ φίλε Σαραπίων, ἐνέτυχον πρῴην, ἃ Δικαίαρχος Εὐριπίδην οἴεται πρὸς Ἀρχέλαον εἰπεῖν, 'οὐ βούλομαι — δοκῶ'*. poetae nomen omittit Comp. Men. et Philem. p. 358, ubi haec extant: *αἰσχύνομαι πλουτοῦντι δωρεῖσθαι φίλῳ, μή μ' ἄφρονα κρίνῃ καὶ διδοὺς αἰτῶν δοκῶ*. cf. Gregor. Naz. vol. 2 p. 154 C: *μισῶ πένητα πλουσίῳ δωρούμενον*.

961

***ὃ δ' ἄρτι θάλλων σάρκα διοπετὴς ὅπως***
***ἀστὴρ ἀπέσβη, πνεῦμ' ἀφεὶς ἐς αἰθέρα.***

Plut. Mor. p. 416 E: *ἡ δὲ φύσις αἰσθητὰς εἰκόνας ἐξέθηκε — ὡς Εὐριπίδης εἴκασεν ἐν οἷς εἶπεν 'ὃ δ' — αἰθέρα'*. Plut. Mor. p. 1090 C: *σφαλερὸν γὰρ ἡ ἐπ' ἄκρον εὐεξία, φησὶν Ἱπποκράτης· 'ὃ δ' ἄρτι — ἀστὴρ ἀπέσβη' κατὰ τὸν Εὐριπίδην*. vs. 1 *σαρκὶ* p. 1090.

962

***ἀλλ' ἀνοιστέος λόγος***

Plut. Mor. p. 431 A: *ἀλλ' ἀνοιστέος ὁ λόγος, ὡς ὁ αὐτὸς ἀνὴρ φησίν* (sc. *Εὐριπ.*) *ἐπὶ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν*. p. 390 C: *ἀλλ' ἀνοιστέος ὁ λόγος, ὡς Εὐριπίδης φησίν*. cf. Herc. F. 1221: *ἐκεῖσ' ἀνοιστέον*, quem locum respici putabat Matthiae.

963

*μάντις δ' ἄριστος ὅστις εἰκάζει καλῶς.*

Plut. Mor. p. 432 C: οὐ γάρ, ὡς Εὐριπίδης φησί, 'μάντις ἄριστος — καλῶς'. Appian. B. Civ. 2, 153: τοῦ δὲ τὸ ἰαμβεῖον εἰπόντος, ὅτι 'μάντις ἄριστος — καλῶς'. Arrian. Exp. Alex. 7, 16, 6: τὸν δὲ ἀποκρίνασθαι αὐτοῖς λόγον τοῦ Εὐριπίδου τοῦ ποιητοῦ ἔπος, ἔχει δὲ τὸ ἔπος Εὐριπίδῃ ὧδε 'μάντις δ' ἄριστος — καλῶς'. Cic. ad Att. 7, 13 a, 4 om. p. nom.: μάντις δ' ἄριστος. Gregorius Naz. vol. 1 p. 122 A (Socrates Hist. eccl. 3, 23 p. 163 A Niceph. Callist. Hist. eccl. 10, 37 vol. 2 p. 91 D): εἴπερ μάντις ἄριστος ὅστις εἰκάζειν οἶδε καλῶς. Menandro (Com. 4 p. 288) versus tribuitur in Schol. Aristid. p. 403. Plut. Mor. p. 399 A: ὁ μὲν εἰκάζων καλῶς, ὃν ἄριστον μάντιν ἀνηγόρευκεν ἡ παροιμία. Latine reddit Cic. de div. 2, 5, 12: *est quidam Graecus vulgaris in hanc sententiam versus 'bene qui coniciet, vatem hunc perhibeto optimum'.*

964

*τῶν ἄγαν γὰρ ἅπτεται*
*θεός, τὰ μικρὰ δ' εἰς τύχην ἀφεὶς ἐᾷ.*

Plut. Mor. p. 464 A: ὁ μὲν οὖν θεός, ὡς Εὐριπίδης φησί, τῶν ἄγαν ἅπτεται, 'τὰ μικρὰ — ἐᾷ'. p. 811 D: ὡς ὁ τοῦ κόσμου βασιλεὺς 'τῶν ἄγαν γὰρ ἅπτεται θεός, τὰ — ἐᾷ' κατὰ τὸν Εὐριπίδην. vs. 2 ἀφεὶς] ἀνεὶς p. 811.

965

*χαλεποὶ πόλεμοι γὰρ ἀδελφῶν.*

Plut. Mor. p. 480 D: 'χαλεποὶ — ἀδελφῶν', ὡς Εὐριπίδης εἴρηκεν, ὄντες χαλεπώτατοι τοῖς γονεῦσιν αὐτοῖς εἶσιν. Aristot. Polit. 8, 7 p. 1328 a 15: ὅθεν εἴρηται 'χαλεποὶ γὰρ πόλεμοι ἀδελφῶν'.

966

*ἀκόλαστα πάντῃ γίγνεται δούλων τέκνα.*

Plut. Mor. p. 526 C: οὐ γὰρ μόνον κατὰ τὸν Εὐριπίδην

'ἀκόλαστα — τέκνα', ἀλλὰ καὶ μικρολόγων. Diog. L. 4, 35 de Arcesilao: στωμύλου δὲ ἀγεννοῦς πράγματα αὐτῷ παρέχοντος ἔφη 'ἀκόλασθ' ὁμιλεῖν γίγνεται δούλων τέκνα'.

967

ἡ γὰρ σιωπὴ τοῖς σοφοῖσιν ἀπόκρισις.

Plut. Mor. p. 532 F: τὴν γὰρ σιωπὴν ὁ μὲν Εὐριπίδης φησὶ τοῖς σοφοῖς ἀπόκρισιν εἶναι. versum ipsum habemus in Men. mon. 222. σοφοῖσιν scripsi, σοφοῖς vel σοφοῖς ἐστ' libri.

968

εἰ δ' ἦσαν ἀνθρώποισιν ὠνητοὶ λόγοι,
οὐδεὶς ἂν αὑτὸν εὖ λέγειν ἐβούλετο·
νῦν δ', ἐκ βαθείας γὰρ πάρεστιν αἰθέρος
λαβεῖν ἀμοχθεί, πᾶς τις ἥδεται λέγων
τά τ' ὄντα καὶ μή· ζημίαν γὰρ οὐκ ἔχει.

Plut. Mor. p. 539 B: ὁ γοῦν Εὐριπίδης εἰπὼν 'εἰ δ' — οὐκ ἔχει', φορτικωτάτῃ κέχρηται μεγαλαυχίᾳ. vs. 3 et 4 respicit Philodemus περὶ παρρησίας in Hercul. Vol. V col. 18 p. 35: οὐκ ὠνούμενοι τοὺς λόγους, ἀλλ' ἐκ βαθείας αἰθέρος ἀμοχθεὶ λαμβάνοντες. vs. 4 ἀμισθί Plut.

969

οὔτοι προσελθοῦσ' ἡ Δίκη σε, μὴ τρέσῃς,
παίσει πρὸς ἧπαρ οὐδὲ τῶν ἄλλων βροτῶν
τὸν ἄδικον, ἀλλὰ σῖγα καὶ βραδεῖ ποδὶ
στείχουσα μάρψει τοὺς κακούς, ὅταν τύχῃ.

Plut. Mor. p. 549 A: ὅθεν Εὐριπίδης ἄτοπος εἰς ἀποτροπὴν κακίας τούτοις χρώμενος 'οὔτοι — τύχῃ'. Stob. Ecl. 1, 3, 21 p. 114: Εὐριπίδου. 'οὔτοι — τοὺς κακοὺς ἀεὶ βροτῶν'. vs. 1 μὴ τρέσῃς] πώποτε Stob. vs. 3 respicit Plut. Mor. p. 549 D: ἡ δὲ ἀτρέμα καὶ βραδεῖ ποδὶ κατ' Εὐριπίδην καὶ ὡς ἔτυχεν ἐπιπίπτουσα δίκη. item Anna Comn. vol. 1 p. 17, 20: οὐχ ὅτι βραδεῖ ποδὶ κατὰ τὴν τραγῳδίαν ἔστιχεν. vs. 4 ὅταν τύχῃ] ἀεὶ βροτῶν Stob.

970

*τὰ τῶν τεκόντων σφάλματ' εἰς τοὺς ἐκγόνους*
*οἱ θεοὶ τρέπουσιν.*

Plut. Mor. p. 556 E: *ἃ γὰρ Εὐριπίδης ἐγκαλεῖ καὶ παρρησιάζεται πρὸς τοὺς θεοὺς τὰ τῶν τεκόντων σφάλματα εἰς τοὺς ἐγγόνους τρέποντας, αἰτιᾶσθαι νόμιζε καὶ τοὺς σιωπῶντας ἡμῶν.* cf. p. 562 F: *ὅθεν οὐδὲ πάντα τὰ τῶν τεκόντων σφάλματα εἰς τοὺς ἐκγόνους οἱ θεοὶ τρέπουσιν· ἀλλ' ἐὰν μὲν ἐκ φαύλου γένηται χρηστός κτἑ.*

971

*εἰ δὲ πάρεργον χρή τι κομπάσαι, γύναι,*
*οὐρανὸν ὑπὲρ γῆς ἔχομεν εὖ κεκραμένον,*
*ἵν' οὔτ' ἄγαν πῦρ οὔτε χεῖμα συμπίτνει·*
*ἃ δ' Ἑλλὰς Ἀσία τ' ἐκτρέφει κάλλιστα, γῆν*
*δέλεαρ ἔχοντες τήνδε συνθηρεύομεν.*

Plut. Mor. p. 604 E: *τίς γὰρ εἴρηκε τῆς ἑαυτοῦ πατρίδος ἐγκώμιον τοιοῦτον οἷον Εὐριπίδης; 'ἣ πρῶτα — ἐξαγώγιμοι'* (fr. 362). *'εἰ δὲ πάρεργον — συνθηρεύομεν'. ἀλλ' ὁ ταῦτα γράψας εἰς Μακεδονίαν ᾤχετο καὶ παρ' Ἀρχελάῳ κατεβίωσεν.* Plutarchus duos diversarum fabularum locos attulit: itaque non opus erit Dobraei coniectura (vs. 1) *κομπάσαι γυναῖκα χρή.* vs. 1 *εἰ δ' οὖν* (vel *αὖ*) *πάρεργον* Dobraeus, ego *εἰ δ' ἐκ παρέργου* malim.

972

*πολλοὺς δὲ βροντῆς τραῦμ' ἄναιμον ὤλεσεν.*

Plut. Mor. p. 666 C: *πολλοὺς γάρ, ὥς ὁ Εὐριπίδης φησίν, 'βροντῆς — ὤλεσε'.* Theo Smyrn. de musica c. 2 p. 75: *ὥς τις φησί 'πολλοὺς δὲ — ὤλεσε'. τραῦμ'* Theo, *πνεῦμ'* Plut.

973

*οἶνος περάσας πλευμόνων διαρροάς*

Plut. Mor. p. 699 A: *Εὐριπίδης δὲ σαφῶς δήπου λέγων 'οἶνος — διαρροάς', δῆλός ἐστιν Ἐρασιστράτου βλέπων τι*

*ὀξύτερον.* Macrob. Saturn. 7, 15, 23: *Euripides vero huius rei manifestissimus adstipulator est, ʻοἶνος — διαρροάςʼ.* cf. Plut. Mor. p. 1047 D: *τῶν ποιητῶν Εὐριπίδην Ἀλκαῖον Εὔπολιν Ἐρατοσθένην, λέγοντας ὅτι τὸ ποτὸν διὰ τοῦ πνεύμονος διέξεισι.*

974

*ἄλλην θέλουσιν εἰσαγώγιμον λαβεῖν.*

Plut. Mor. p. 713 D: *οὐ γὰρ μόνον ὅσοι τὴν σωτηρίαν οἴκοι καὶ παρ' αὐτῶν ἔχοντες ʻἄλλην — λαβεῖνʼ, ὡς Εὐριπίδης εἶπεν, ἀβέλτεροί εἰσιν, ἀλλὰ καὶ ὅσοι — ἔξωθεν ἐπάγειν τὰ τέρποντα φιλοτιμοῦνται.*

975

*ὁ πετόμενος ἱερὸν ἀνὰ Διὸς αἰθέρα γοργοφόνος*

Plut. Mor. p. 747 D: *πολλὰς δὲ καὶ συνθέσεις τῶν ὀνομάτων κατὰ μέλη μιμητικῶς σχηματίζουσιν, ὡς Εὐριπίδης ʻὁ — γοργοφόνοςʼ.*

976

*πλούτῳ χλιδῶσα θνητὰ δ', ὦ γύναι, φρόνει.*

Plut. Mor. p. 755 B: *τὸν μὲν Ζεύξιππον ὁ πατὴρ ἔφη γελάσαι καὶ εἰπεῖν ἅτε δὴ καὶ φιλευριπίδην ὄντα, ʻπλούτῳ — φρόνειʼ.*

977

*εἴθ' ἦν ἄφωνον σπέρμα δυστήνων βροτῶν.*

Plut. Mor. p. 802 A: *μηδὲ πολλάκις δέηται τῶν Εὐριπιδείων ἐκείνων ʻεἴθ' — βροτῶνʼ.*

978

*τέκτων γὰρ ὢν ἔπρασσες οὐ ξυλουργικά.*

Plut. Mor. p. 812 E: *ὁ δὲ — πρὸς ὃ μὴ πέφυκε μηδὲ ἤσκηται προσάγων αὑτὸν — προσακούει τὸ τοῦ Εὐριπίδου ʻτέκτων — ξυλουργικάʼ.*

979

*ὁ τῆς τύχης παῖς κλῆρος*

Plut. Mor. p. 965 E: εἶτα κατ' Εὐριπίδην ὁ τῆς τύχης παῖς κλῆρος ἐπὶ τούτῳ ταγεὶς τὰ χερσαῖα προεισάγει δίκαια τῶν ἐνάλων. Plut. Mor. p. 644 D: παυσώμεθα τὰς Μοίρας ἀτιμάζοντες καὶ τὸν τῆς τύχης παῖδα κλῆρον, ὡς Εὐριπίδης φησίν. vulgo integer versus ὁ τῆς τύχης παῖς κλῆρος ἐπὶ τούτῳ ταγείς Euripidi tribuitur: at ἐτάγην forma ab Atticorum usu aliena est.

980

φίλης τ' ὀπώρας διπτύχους ἦρός τ' ἴσους

Plut. Mor. p. 1028 F: εἰ δὲ ὀρθῶς ὁ Εὐριπίδης διορίζεται θέρους τέσσαρας μῆνας καὶ χειμῶνος ἴσους, 'φίλης — ἴσους', ἐν τῷ διὰ πασῶν αἱ ὧραι μεταβάλλουσιν.

981

ἀλλ' ἔστι, κεἴ τις ἐγγελᾷ λόγῳ,
Ζεὺς καὶ θεοὶ βρότεια λεύσσοντες πάθη.

Plut. Mor. p. 1040 B: (Chrysippus) ἐπαινεῖ πάλιν ἐν ἄλλοις καὶ προφέρεται τὰ τοῦ Εὐριπίδου ταυτὶ πολλάκις 'ἀλλ' — πάθη'. vs. 1 ἐγγελᾷ τὠμῷ λόγῳ scribendum videtur.

982

ἀμφίπολος Ἄρεος ἀνιέρου

Plut. Comp. Demetr. et Anton. c. 2: κοιμίζων δὲ τοὺς θιάσους καὶ τὰ βακχεῖα καταπαύων ἀμφίπολος Ἄρεος ἀνιέρου κατὰ τὸν Εὐριπίδην ἐγένετο (Demetrius).

983

φίλων λαβεῖν γὰρ πεῖραν οὐ σμικρὸν κακόν.

Plut. V. Fabii c. 17: οὐ μόνον δ' ἦν ἄρα τὸ φίλων πεῖραν λαβεῖν, ὡς Εὐριπίδης φησίν, οὐ σμικρὸν κακόν, ἀλλὰ καὶ τὸ φρονίμων στρατηγῶν. cf. Philem. Com. 4 p. 31: εὔχου μὴ λαβεῖν πεῖραν φίλων.

984

εἰ δὲ θανεῖν θέμις, ὧδε θανεῖν καλόν,

εἰς ἀρετὴν καταλυσαμένους βίον.

Plut. Comp. Pelop. et Marc. c. 3: ἄριστον μὲν γὰρ νικῶντα σῴζεσθαι τὸν στρατηγόν, εἰ δὲ θανεῖν, εἰς ἀρετὴν καταλύσαντα βίον, ὡς Ευριπίδης φησίν. Plut. Mor. p. 24 D om. p. nom.: ‘εἰ δὲ — βίον’.

985

πολλοῖσι πολλήν, δὶς τόσοις δὲ πλείονα

Plut. V. Solon. c. 22: Λυκούργῳ καὶ πόλιν οἰκοῦντι καθαρὰν ὄχλου ξενικοῦ καὶ χώραν κεκτημένῳ ‘πολλοῖσι — πλείονα’ κατ’ Εὐριπίδην, καὶ τὸ μέγιστον εἱλωτικοῦ πλήθους — περικεχυμένου τῇ Λακεδαίμονι, καλῶς εἶχεν — τοὺς πολίτας συνέχειν ἐν τοῖς ὅπλοις.

986

αἰεὶ πρασίμοχθοι κοὔποθ’ ἥσυχοι δορί

Polyb. 5, 106: οὐ γὰρ οἶδ’ ὅπως ἀεί ποτε Πελοποννήσιοι — κατὰ τὸν Εὐριπίδην ἦσαν αἰεὶ πρασίμοχθοί τινες καὶ οὔποτε ἥσυχοι δορί. αἰεὶ πρασίμοχθοι AB, αἰεὶ πρυσίμοχθοι FDE, αἰεὶ πλησίμοχθοι C¹, ἀμπρευσίμοχθοι temptabam, περισσόμοχθοι Heimsoethius.

987

ἀγήρων ἀρετήν

Pollux 2, 14: ὡς καὶ Εὐριπίδης τὴν ἀγήρων ἀρετήν (τροφήν al.), καὶ Δημοσθένης τιμὰς ἀγήρως.

988

Ζεὺς συγγένειος

Pollux 3, 5: καὶ Ζεύς τις συγγένειος ὁ τὰ τῆς συγγενείας δίκαια ἐφορῶν παρ’ Εὐριπίδῃ.

989

. . λίνου κλωστῆρα περιφέρει λαβών

Pollux 7, 31: κλωστήρ· οὕτω δὲ καὶ τὴν περιστροφὴν τοῦ λίνου Εὐριπίδης ὠνόμασεν ‘λίνου — λαβών’.

990

*κορμοῖσι πεύκης*

Pollux 7, 109: *καὶ Εὐριπίδης λέγει ʽκορμοῖσι πεύκηςʼ.*

991

*λῦε πηκτὰ δωμάτων*

Pollux 10, 27: *τῷ δὲ κλεῖσαι ἴσον καὶ τὸ πακτοῦν καὶ τὸ ἐπιπακτοῦν τὰς θύρας ἐστίν, ὥσπερ τῷ ἀνοίγειν ταὐτὸν τὸ λύειν, ὡς ἔφη Εὐριπίδης ʽλῦε πακτὰ δωμάτωνʼ.* Aristophanes Ach. 479 Euripidem dicentem facit: *ἀνὴρ ὑβρίζει· κλεῖε πηκτὰ δωμάτων.*

992

Porphyr. de abst. 3, 25: *συγγενὲς ἡμῖν τὸ τῶν λοιπῶν ζῴων γένος· καὶ γὰρ τροφαὶ πᾶσαι αἱ αὐταὶ πᾶσιν αὐτοῖς καὶ πνεύματα ὡς Εὐριπίδης καὶ φοινίους ἔχει ῥοὰς τὰ ζῷα πάντα, καὶ κοινοὺς ἁπάντων δεικνυσι γονεῖς, οὐρανὸν καὶ γῆν.* in his Euripidea esse ʽ*φοινίους ἔχει ῥοὰς | τὰ ζῷα πάντα*ʼ coniecit Valck., cf. *αἵματός τε φοινίου ῥοάς* Eur. Suppl. 690; vide tamen an Porphyrius respiciat fr. 836.

993

*ἐγὼ δ' ἐμός εἰμι*

Priscianus Inst. XVII, 110: *in una autem eademque persona possessor simul et possessio intransitive intellegi non potest, nisi figurate dicat aliquis. — Euripides* ʽ*ἐγὼ δ' ἐμός εἰμι*ʼ. similiter XVII, 198. videtur Apollodori comici versus indicari, quem servavit Donatus in Terent. Phorm. 4, 1, 21 sic scriptum: *ἐγὼ γάρ εἰμι μόνος τῶν ἐμῶν ἐμός.* coniunctis Prisciani et Donati lectionibus correxerim *ἐγὼ δ', ἐμὸς γάρ εἰμι τῶν ἐμῶν μόνος.*

994

*οὐχ ἑσπέρας φάσ', ἀλλὰ καὶ μεσημβρίας*
*τούτους ἀφεστήκασιν ἡμέραν τρίτην.*

Priscianus Inst. XVIII, 166: *Latini despero illam rem.*

— *Εὐριπίδης 'οὐχ ἑσπέρας — τρίτην'*. eosdem versus affert Priscianus Inst. XVIII, 194. verba *μεσημβρίας τούτους ἀφεστήκασιν* habet Etym. Voss. p. 332 B ed. Gaisf. sive Philem. Lex. p. 265 locus obscurissimus.

995

*λευκοὺς λίθους ἔχοντες αὐχοῦσιν μέγα.*

Proverb. append. 3, 69: *λίθων χοαί· ἄργυρος καὶ χρυσός. καὶ γὰρ Εὐριπίδης φησί 'λευκοὺς — μέγα'*. eadem Phot. Lex. p. 223, 16 et Suidas v. *λίθων χοαί*. omisso poetae nomine versum repetit Suid. v. *λευκοὺς λίθους. ἔχοντες*] *φέροντες* codex Vat. 482.

996

. . *τί σιγᾷς; μῶν φόνον τιν' εἰργάσω;*

Schol. Aesch. Eum. 276: *καὶ παρ' Εὐριπίδῃ 'τί — εἰργάσω'*.

997

*γλαυκῶπίς τε στρέφεται μήνη*

Schol. Apoll. Rh. 1, 1280 de v. *γλαυκῶπις: καὶ Εὐριπίδης ἐπὶ τῆς σελήνης ἐχρήσατο 'γλαυκῶπις — μήνη'*. Plut. Mor. p. 934 D: *γλαυκῶπιν αὐτὴν* (lunam) *οἱ ποιηταὶ καὶ Ἐμπεδοκλῆς ἀνακαλοῦνται.*

998

*ἤπειρον εἰς ἄπειρον ἐκβάλλων πόδα*

Schol. Apoll. Rh. 4, 71: *ἤπειρος λέγεται πᾶσα γῆ καταχρηστικῶς· κυρίως δὲ ἡ εἰς ἄπειρον ἐκβάλλουσα, ὡς φανερὸν Εὐριπίδης πεποίηκεν 'ἤπειρον — χθόνα'*. similiter Phot. Lex. p. 72, 14 Anecd. Paris. vol. 4 p. 169, 33 Anecd. Bachm. vol. 1 p. 251, 23 Suid. v. *ἤπειρος* Zon. Lex. p. 1001. *πόδα*] *χθόνα* Schol. Apoll. eiusdem versus diversam scripturam habemus in Anecd. Paris. vol. 4 p. 183, 11 et Etym. Gud. p. 247, 6: *καὶ Εὐριπίδης φησίν*

*ἤπειρον εἰς ἄπειρον ἐξεπλεύσαμεν.*

quicum consentit fere Iohannes Philoponus in Aristot. Meteor.

fol. 80 ed. Ald.: ἡ γῆ — μεγίστη ὑπάρχουσα καὶ διὰ τὸ μέγεθος ἤπειρος οἱονεὶ ἄπειρος ὀνομαζομένη, οἷόν ἐστι τὸ ʻἤπειρον εἰς ἄπειρον εἰσεπλεύσαμεν'.

999

ἑῷος ἡνίχ' ἱππότας ἐξέλαμψεν ἀστήρ

Hephaest. p. 98 (Schol. Ar. Eq. 756): τὸ καλούμενον Εὐριπίδειον τεσσαρεσκαιδεκασύλλαβον, οἷον παρὰ μὲν αὐτῷ Εὐριπίδῃ ʻἑῷος — ἀστήρ'. ἱππότας Hephaest., ἱππότης Schol. Ar.

1000

τί χρέος ἔβα δῶμα;

Schol. Ar. Nub. 30: ἀτὰρ τί χρέος ἔβα με] — Εὐριπίδης ʻτί χρέος ἔβα δῶμα'. cf. Eur. Herc. F. 530: τί καινὸν ἦλθε δώμασιν χρέος;

1001

ἀεί ποτ' ἐστὶ σπέρμα κηρύκων λάλον.

Schol. Eur. Or. 895: καὶ ἐν ἄλλοις κατὰ τῶν κηρύκων λέγει, ὅτι ʻἀεί — λάλον'.

1002

τὸ μὲν τέθνηκε σῶμα· τοῦτο δ' ἀναβλέπει.

Schol. Eur. Tro. 628: ἔθος ἐστὶ τῷ Εὐριπίδῃ τῷ βλέπειν χρῆσθαι ἀντὶ τοῦ ζῆν, ὡς καὶ ἀλλαχοῦ ʻτὸ μὲν — ἀναβλέπει'. σώματος, τὸ δ' αὖ βλέπει scribendum suspicor, et αὖ βλέπει ante me suasit Cobetus.

1003

πόλεως μὲν ἀρχῷ, φωτὶ δ' οὐκ ἔτῃ πρέπων

Schol. A Il. Z, 239 de ἔτης: δῆλον ὅτι διὰ τοῦτο συγκαταθετέον τῷ Ἀσκαλωνίτῃ ψιλοῦντι. παρὰ γοῦν τῷ Αἰσχύλῳ (fr. 368) οὕτως εὕρομεν — καὶ παρ' Εὐριπίδῃ τὸ ʻπόλει — πρέπων'. Eust. Il. p. 641, 59: καὶ Εὐριπίδης ʻπόλει — πρέπων'. πόλεως μὲν ἀρχῷ pro πόλει μὲν ἄρχων Th. Gomperzius.

## 1004

*ἀεὶ δὲ μήτηρ φιλότεκνος μᾶλλον πατρός·*
*ἣ μὲν γὰρ αὑτῆς οἶδεν ὄνθ', ὃ δ' οἴεται.*

Schol. Od. *δ*, 387: *τὰ μὲν περὶ τῶν μητέρων ἐκ γενέσεως ἱκανὰ φησὶν Ὅμηρος ἔχειν τεκμήρια, τὸ δὲ τῶν πατέρων ἀδιόριστον εἶναι — ὅθεν καὶ Εὐριπίδης* '*αἰεὶ δὲ — οἴεται*'. eosdem versus praebent Schol. Od. *α*, 215 Eust. Od. p. 1412, 14 Schol. Hermog. in Rhet. Gr. vol. 7 p. 765, 24, denique qui Menandro non recte tribuit Stobaeus Flor. 76, 7.

## 1005

Schol. Pind. Isthm. 4, 104 de Herculis ex Megara filiis: *καὶ περὶ τοῦ ἀριθμοῦ δὲ διαλλάττουσι· Διονύσιος μὲν ἐν πρώτῳ Κύκλων Θηρίμαχον καὶ Δηικόωντα, Εὐριπίδης δὲ προστίθησιν αὐτοῖς καὶ Ἀριστόδημον.* 'tres filios Herculis ex Megara commemorat Eur. Herc. F. 774 994, sed nomina non prodit. deperditum igitur drama grammaticus spectat'. BOECKHIVS.

## 1006

*τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν.*

Schol. Pind. Nem. 1, 13: *ἄκρως ἔνδοξος ὁ εὐτυχής. καὶ Εὐριπίδης* '*τὸν — νομίζομεν*'. om. poetae nomen Stob. Ecl. 1, 6, 12 p. 198 et Simplicius in Aristot. Phys. ausc. fol. 73 b. cf. Men. mon. 497.

## 1007

*ὁ νοῦς γὰρ ἡμῶν ἐστιν ἐν ἑκάστῳ θεός.*

Schol. Pind. Nem. 6, 7: *ἐμφερές τι ἔχομεν τοῖς θεοῖς· ἢ κατὰ νοῦν. θεὸς γάρ τις ἐν ἡμῖν κατὰ τὸν Εὐριπίδην.* Cic. Tusc. 1, 26, 65: *ergo animus, ut ego dico, divinus, ut Euripides audet dicere, deus est.* Theo Rhet. vol. 1 p. 212: *οἷον Εὐριπίδης ὁ ποιητὴς τὸν νοῦν ἡμῶν ἑκάστου ἔφησεν εἶναι θεόν.* Nemesius Emes. de N. H. p. 348 sq.: *Εὐριπίδης δὲ καὶ Μένανδρος ἐν ἐνίοις τὸν νοῦν τὸν ἐν ἑκάστῳ φασὶ προνοεῖν ἑκάστου, θεῶν δὲ μηδένα.* Men. mon. 434: '*ὁ νοῦς γὰρ — θεός*'. Tzetz. Exeg. Il. p. 53, 6: *ὁ Μένανδρος*

*πάλιν φησίν 'ὁ νοῦς γὰρ ἡμῶν ἐστιν ἑκάστῳ θεός'.* Plut. Mor. p. 999 E: *καθάπερ Μένανδρος 'ὁ νοῦς γὰρ ἡμῶν ὁ θεός'.* Iambl. Protr. c. 8 p. 138: *ὁ νοῦς γὰρ ἡμῶν ὁ θεός, εἴτε Ἑρμότιμος εἴτε Ἀναξαγόρας εἶπε τοῦτο καὶ ὅτι 'ὁ θνητὸς αἰὼν μέρος ἔχει θεοῦ τινος'.* Men. Com. vol. 4 p. 72: *θεός ἐστι τοῖς χρηστοῖς ἀεὶ ὁ νοῦς γάρ, ὡς ἔοικεν, ὦ σοφώτατοι.* p. 90: *ο νοῦς γὰρ ἐστιν ὁ λαλήσων θεός.* cf. Marcus Anton. 12, 26: *ἐπελάθου δὲ καὶ τοῦ ὅτι ὁ ἑκάστου νοῦς θεός.* Iulianus p. 68 D: *νῷ καὶ φρονήσει καὶ τὸ ὅλον τῷ ἐν ἡμῖν θεῷ.* idem p. 196 D *ἀλλ' ὅτι τῷ λόγῳ καὶ τῷ ἐν ἡμῖν θεῷ τοῦτ' ἔστι τῷ νῷ ταῦτά ἐστιν ἀπόρρητα.* Hermes Poemandr. c. 12 p. 100: *οὗτος δὲ ὁ νοῦς ἐν μὲν ἀνθρώποις θεός ἐστι.* Theophil. ad Autol. 2, 4 p. 54: *θεὸν εἶναι μόνον φασὶ τὴν ἑκάστου συνείδησιν.*

## 1008

*δούλοισι γάρ τε ζῶμεν οἱ ἐλεύθεροι.*

Schol. Pind. Pyth. 4, 71: *ἐπειδὴ δὲ οἱ οἰκέται τῶν δεσποτῶν τοὺς πόνους διαλύουσι τῇ θεραπείᾳ, λυσιπόνους αὐτοὺς ἐκάλεσεν, ὡς Εὐριπίδης 'δούλοισι — ἐλεύθεροι'.* versus nondum emendatus.

## 1009

*ὃ δ' ἐσφάδαζεν οὐκ ἔχων ἀπαλλαγάς.*

Schol. Soph. Ai. 833: *ἀσφαδάστῳ — καὶ παρ' Εὐριπίδῃ 'ὃ δ' — ἀπαλλαγάς'.*

## 1010

Schol. Soph. Trach. 172 de Dodonaeis columbis: *Εὐριπίδης τρεῖς γεγονέναι φησὶν αὐτάς· οἱ δὲ δύο.*

## 1011

Serv. Verg. A. 7, 337: *tibi nomina mille*] — *secundum Euripidem, in cuius tragoedia dicit Furia se non esse unius potestatis, sed se fortunam, se Nemesin, se fatum, se esse necessitatem.*

## 1012

*Αἰθέρα καὶ Γαῖαν πάντων γενέτειραν ἀείδω.*

Sextus Empir. p. 539, 15: *ἐκ γῆς δὲ καὶ αἰθέρος (γεγενῆσθαι τὰ πάντα) Εὐριπίδης, ὡς πάρεστιν ἐκδέξασθαι ἐκ τοῦ λέγειν αὐτὸν 'αἰθέρα — ἀείδω'.* Hippol. Ref. haeres. p. 498 ed. Gott.: *ἐκ γῆς δὲ καὶ ἀέρος Εὐριπίδης, ὡς πάρεστιν ἐπιγνῶναι ἐκ τοῦ λέγειν αὐτὸν 'αἰθέρα — ἀείδω'.*

## 1013

*φθείρουσιν ἤθη χρήσθ' ὁμιλίαι κακαί.*

Socrates Hist. eccl. 3, 16 p. 155 D: *ἀλλὰ καὶ τὸ 'φθείρουσιν — κακαί' δείκνυσι μὴ ἀνήκοον (Παῦλον) τῶν Εὐριπίδου δραμάτων τυγχάνοντα.* omisso poetae nomine hunc versum afferunt Paulus Epist. ad Corinth. 1, 15, 33 Clemens Alex. Paed. II p. 198 et Strom. I p. 350 Eusebius P. E. VI p. 249 A Gregorius Naz. vol. 2 p. 191 B Cyrill. c. Iul. I p. 3 C Theodoretus vol. 2 p. 1343 Isidorus Pelus. Epist. 4, 35 Athanasius vol. 1 p. 914 A Iohannes Chrysost. vol. 1 p. 565 A vol. 2 p. 909 C vol. 4 p. 42 B p. 151 C vol. 5 p. 142 E vol. 7 p. 35 B vol. 8 p. 457 C vol. 11 p. 602 D vol. 12 p. 274 Photius Epist. 165 p. 232. cf. Men. mon. 738 et Anecd. Oxon. vol. 4 p. 303, 27. Latine reddidit Tertullianus ad uxorem I, 8: *memor illius versiculi sanctificati per apostolum 'bonos corrumpunt mores congressus mali'.* Menandro (Com. 4 p. 132) tribuit Photius Quaest. Amphiloch. 151 in Maii Script. vet. nov. coll. vol. 9 p. 102. item Hieronymus tom. 3 fol. 148 D ed. Basil.: *in alia quoque epistola Menandri ponit senarium 'φθείρουσιν — κακαί'.* cf. Hieronym. tom. 5 fol. 86 D tom. 9 p. 185 B p. 248 C.

## 1014

*θεοῦ γὰρ οὐδεὶς χωρὶς εὐτυχεῖ βροτῶν*
*οὐδ' εἰς τὸ μεῖζον ἦλθε· τὰς θνητῶν δ' ἐγὼ*
*χαίρειν κελεύω θεῶν ἄτερ προθυμίας.*

Stob. Ecl. 1, 2, 17 p. 36 sine lemm.: *'θεοῦ — προθυμίας'.* vs. 1 recurrit in Men. mon. 250 (Anecd. Boiss. vol. 1

p. 155), ubi *θεοῦ γὰρ χωρὶς οὐδεὶς εὐτυχεῖ βροτῶν.* item in Anth. Pal. 10, 107: *Εὐριπίδου.* '*θεοῦ μὲν ἐκτὸς οὐδεὶς* (*οὔτις* Iacobs.) *εὐτυχεῖ βροτός*'. cf. Ioh. Lydus de mens. 4, 7 p. 55, 6. vs. 2 *μεῖον* ante Valckenarium. vs. 3 *προμηθίας* Valckenarius.

1015

*τὰ πλεῖστα θνητοῖς τῶν κακῶν αὐθαίρετα.*

Stob. Ecl. 2, 7, 11 p. 340: '*τὰ πλεῖστα — αὐθαίρετα*'. insequenti Euripidis loco *τοῦ αὐτοῦ* praefigitur. idem versus legitur in Men. mon. 499.

1016

*οὐκ ἔστιν ἀρετῆς κτῆμα τιμιώτερον·*
*οὐ γὰρ πέφυκε δοῦλον οὔτε χρημάτων*
*οὔτ' εὐγενείας οὔτε θωπείας ὄχλου.*
*ἀρετὴ δ', ὅσῳπερ μᾶλλον ἂν χρῆσθαι θέλῃς,*
*τοσῷδε μᾶλλον αὔξεται τελουμένη.*

Stob. Flor. 1, 6 sine lemmate: '*οὐκ ἔστιν — τελειουμένη*'. Euripidis esse locum docet Orion Flor. Eurip. 21 p. 266, 21. vs. 3 *εὐγενείας*] *ἀσφαλείας* Stob. *ὄχλου*] *ὄχλων* Or. vs. 4 et 5 fortasse a praegressis dirimendi sunt; an *ἀρετὴ* vs. 4 in *αὕτη* mutandum? vs. 5 *τελουμένη* Or., *τελειουμένη* Stob.

1017

*ἀρετὴ μέγιστον τῶν ἐν ἀνθρώποις καλόν.*

Stob. Flor. 1, 7. *καλῶν* Meinekius.

1018

*τὸ μὴ εἰδέναι σε μηδὲν ὧν ἁμαρτάνεις,*
*ἔκκαυμα τόλμης ἱκανόν ἐστι καὶ θράσους.*

Stob. Flor. 4, 2. Menandri potius esse locum quam Euripidis statuit Dobraeus.

1019

*τὸ δ' ὠκὺ τοῦτο καὶ τὸ λαιψηρὸν φρενῶν*

*εἰς πημονὰς καθῆκε πολλὰ δὴ βροτούς.*

Stob. Flor. 4, 19: τοῦ αὐτοῦ (Εὐρ.). ‘τὸ δ' — βροτούς’. vs. 1 ὀξὺ Meinekius.

1020

*εὖ γὰρ τόδ' ἴσθι, κεἴ σ' ἐλάνθανεν πάρος,*
*τὸ σκαιὸν εἶναι πρῶτ' ἀμουσίαν ἔχει.*

Stob. Flor. 4, 31: τοῦ αὐτοῦ (Εὐριπίδου). ‘εὖ — ἔχει’. vs. 2 ἀμουσίας Grotius.

1021

*φεῦ φεῦ, τὸ νικᾶν τἄνδιχ' ὡς καλὸν γέρας,*
*τὰ μὴ δίκαια δ' ὡς ἁπανταχοῦ κακόν·*
*καὶ γλῶσσα φλαύρα καὶ φθόνος τοῦ μὴ φθονεῖν*
*ὅσῳ κάκιον μὴ καλῶς ὠγκωμένοις.*

Stob. Flor. 9, 15.

1022

*δύστηνος ὅστις τὰ καλὰ καὶ ψευδῆ λέγων*
*οὐ τοῖσδε χρῆται τοῖς καλοῖς κἀληθέσιν.*

Stob. Flor. 12, 1.

1023

*πότερα θέλεις σοι μαλθακὰ ψευδῆ λέγω*
*ἢ σκλήρ' ἀληθῆ; φράζε· σὴ γὰρ ἡ κρίσις.*

Stob. Flor. 13, 1.

1024

*ἀτὰρ σιωπᾶν τά γε δίκαι' οὐ χρή ποτε.*

Stob. Flor. 13, 15.

1025

*ὀργαὶ γὰρ ἀνθρώποισι συμφορᾶς ὕπο*
*δειναί, πλάνος τε καρδίᾳ προσίσταται.*

Stob. Flor. 20, 26.

1026

ὁ θυμὸς ἀλγῶν ἀσφάλειαν οὐκ ἔχει.

Stob. Flor. 20, 39: τοῦ αὐτοῦ (Εὐρ.). 'ὁ θυμὸς — ἔχει'.

1027

ὅταν δ' ἴδῃς πρὸς ὕψος ἠρμένον τινὰ
λαμπρῷ τε πλούτῳ καὶ γένει γαυρούμενον
ὀφρύν τε μείζω τῆς τύχης ἐπηρκότα,
τούτου ταχεῖαν νέμεσιν εὐθὺς προσδόκα.

Stob. Flor. 22, 5 et Comp. Men. et Philem. p. 360. de auctore versuum testes dissentiunt. Εὐριπίδου Stobaei cod. A, Φιλιστίωνος Maximus Conf. vol. 2 p. 625 et Comp. Men. vs. 2 λαμπρόν Meinekius. γένει] τύχῃ Max. Conf. et Comp. Men. vs. 4 νέμεσιν εὐθὺς ἐκδέχου scribendum suspicor. Maximus Conf. hunc addit versum: ἐπαίρεται γὰρ μεῖζον, ἵνα καὶ μεῖζον πέσῃ, qui num Euripideus sit dubito. respicere videtur Basilius Macedo Exhort. 65: μὴ οὖν μέγα ἐπαρθῇς, φησίν, ἵνα μὴ μεῖζον πέσῃς. unde ἐπαίρεται γὰρ μέγ', ἵνα corrigas.

1028

κρινεῖ τίς αὐτὸν πώποτ' ἀνθρώπων μέγαν,
ὃν ἐξαλείφει πρόφασις ἡ τυχοῦσ' ὅλον;

Stob. Flor. 22, 6: τοῦ αὐτοῦ (Εὐρ.). 'κρίνει — ὅλον'.

1029

ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί,
αὐτοὶ δ' ἁμαρτάνοντες οὐ γιγνώσκομεν.

Stob. Flor. 23, 5: Εὐριπίδου. 'ἅπαντες — γινώσκομεν'. eosdem versus om. p. nom. habent Anecd. Boiss. vol. 1 p. 114 Exc. Vind. in Stob. Flor. ed. Meinek. vol. 4 p. 296, 7 Men. mon. 46 et 47 Vita Aesop. p. 46, 5. vs. 2 ἁμαρτάνοντες] ὅταν σφαλῶμεν Stob., ubi ὅταν ποιῶμεν AM. συνήκαμεν Orion, γινώσκομεν ceteri. Euripidem imitatur Sosicrates Com. 4 p. 592: ἀγαθοὶ δὲ τὸ κακόν ἐσμεν ἐφ' ἑτέρων ἰδεῖν, αὐτοὶ δ' ὅταν ποιῶμεν οὐ γινώσκομεν.

## 1030

*συγγνώμονάς τοι τοὺς θεοὺς εἶναι δοκεῖς,*
*ὅταν τις ὅρκῳ θάνατον ἐκφυγεῖν θέλῃ*
*ἢ δεσμὸν ἢ βίαια πολεμίων κακά,*
*ἢ παισὶν αὐθένταισι κοινωνῇ δόμων;*
*ἦ τἄρα θνητῶν εἰσιν ἀσυνετώτεροι,*
*εἰ τἀπιεικῆ πρόσθεν ἡγοῦνται δίκης.*

Stob. Flor. 28, 12: *Εὐριπίδου.* '*συγγνώμονάς — κακά*' (vs. 1—3). integrum locum sine lemmate Stob. Ecl. 1, 3, 40 p. 126 servavit. vs. 1 *δοκεῖ*] *δοκεῖς* Flor. codex A. vs. 4 *παισὶν* corruptum, *τοῖσιν* Valckenarius.

## 1031

*οὔτ' ἐκ χερὸς μεθέντα καρτερὸν λίθον*
*ῥᾷον κατασχεῖν οὔτ' ἀπὸ γλώσσης λόγον.*

Stob. Flor. 36, 14: *Μενάνδρου.* '*οὔτ' ἐκ — λόγον*'. tragici poëtae locum esse coniecit Meinekius Com. 4 p. XIII sq., quam coniecturam confirmat codex Vindob., ubi insequenti Euripidis loco *τοῦ αὐτοῦ Δίκτυος* praefigitur. respicit Plut. Mor. p. 507 A: *οὔτε γὰρ πτηνὸν ἐκ τῶν χειρῶν ἀφέντα ῥᾴδιόν ἐστιν αὖθις κατασχεῖν οὔτε λόγον ἐκ τοῦ στόματος προέμενον κρατῆσαι καὶ συλλαβεῖν δυνατόν.* vs. 1 *χερὸς μεθέντα*] *χερῶν ἀφέντα* legisse videtur Plut.

## 1032

*μὴ κάμνε πατρίδα σὴν λαβεῖν πειρώμενος.*

Stob. Flor. 39, 2 sine lemmate: '*μὴ — πειρώμενος*'. sequitur Phoenissarum locus, cui *τοῦ αὐτοῦ Φοινίσσαις* praefigit Vindob. *πατρίδι συλλαβεῖν* Maehly.

## 1033

*πολλοῦ γὰρ χρυσοῦ καὶ πλούτου*
*κρείσσων πάτρα σώφρονι ναίειν.*
*τὸ δὲ σύντροφον ἁδύ τι θνητοῖς*

ἐν βίῳ χωρεῖ.

Stob. Flor. 39, 4: τοῦ αὐτοῦ (sic Vind., praecedit Phoenissarum locus). 'πολλοῦ — χωρεῖ'. vs. 1 sq. πολλῷ χρυσοῦ γὰρ καὶ πλούτου κρεῖσσον scripserim. vs. 2 κρεῖσσον παρὰ σώφρονι ναίειν F. G. Schmidtius. vs. 3 et 4 corrupti.

1034

ἅπας μὲν ἀὴρ αἰετῷ περάσιμος,
ἅπασα δὲ χθὼν ἀνδρὶ γενναίῳ πατρίς.

Musonius in Stob. Flor. 40, 9: σύμφωνα δὲ τούτοις λέγει καὶ Εὐριπίδης ἐν οἷς φησιν 'ἅπας — πατρίς'. cf. Ovid. Fast. 1, 493: *omne solum forti patria est, ut piscibus aequor, ut volucri vacuo quidquid in orbe patet.*

1035

οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον·
χρῆν γὰρ τύχας μὲν τὰς μάτην πλανωμένας
μηδὲν δύνασθαι, τἀμφανῆ δ' ὑψήλ' ἄγειν.
ὅστις κατ' ἰσχὺν πρῶτος ὠνομάζετο
ἢ τόξα πάλλων ἢ μάχῃ δορὸς σθένων,
τοῦτον τυραννεῖν τῶν κακιόνων ἐχρῆν.

Stob. Flor. 43, 13: τοῦ αὐτοῦ (Εὐρ.). 'οὐκ — ἐχρῆν'. vs. 1 iisdem verbis in Hecub. 805 legitur. vs. 4—6 alius loci esse suspicabatur Matthiae fortasse recte: cf. fr. 379. vs. 4 πρῶτος ὢν ἠτάζετο Meinekius. vs. 5 τόξ' ἰάλλων Meinekius.

1036

ἐγὼ γὰρ ὅστις μὴ δίκαιος ὢν ἀνὴρ
βωμὸν προσίζει, τὸν νόμον χαίρειν ἐῶν
πρὸς τὴν δίκην ἄγοιμ' ἂν οὐ τρέσας θεούς·
κακὸν γὰρ ἄνδρα χρὴ κακῶς πάσχειν ἀεί.

Stob. Flor. 46, 3.

1037

ἀλλ' οὐ πρέπει τύραννον, ὡς ἐγὼ φρονῶ,

*οὐδ' ἄνδρα χρηστὸν νεῖκος αἴρεσθαι κακοῖς·*
*τιμὴ γὰρ αὕτη τοῖσιν ἀσθενεστέροις.*

Stob. Flor. 48, 2.

1038

*σὺν τοῖσι δεινοῖς αὔξεται κλέος βροτοῖς.*

Stob. Flor. 51, 6.

1039

*νεανίας γὰρ ὅστις ὢν Ἄρη στυγῇ,*
*κόμη μόνον καὶ σάρκες, ἔργα δ' οὐδαμοῦ.*
*ὁρᾷς τὸν εὐτράπεζον ὡς ἡδὺς βίος,*
*ὅ τ' ὄλβος ἔξωθέν τίς ἐστι πραγμάτων·*
*ἀλλ' οὐκ ἔνεστι στέφανος οὐδ' εὐανδρία,*
*εἰ μή τι καὶ τολμῶσι κινδύνου μέτα·*
*οἱ γὰρ πόνοι τίκτουσι τὴν εὐανδρίαν,*
*ἡ δ' εὐλάβεια σκότον ἔχει καθ' Ἑλλάδα,*
*τὸ διαβιῶναι μόνον ἀεὶ θηρωμένη.*

Stob. Flor. 51, 14. vs. 3 utitur Ath. XIV p. 641 C. vs. 4 graviter corruptus. vs. 7 *τὴν εὐδοξίαν* Iacobsius; cf. fr. 239, 3.

1040

*μισῶ δ' ὅταν τις καὶ χθονὸς στρατηλάτης*
*μὴ πᾶσι πάντων προσφέρῃ μειλίγματα.*

Stob. Flor. 54, 14: *Εὐριπίδου.* '*μισῶ δ' — μειλίγματα*'. continuo subicitur *τοῖς πράγμασιν γὰρ κτἑ.* (Eur. fr. 289), quae cum his versibus non cohaerent. vs. 2 *πάντως* Gesner.

1041

*οἰκοφθόρον γὰρ ἄνδρα κωλύει γυνὴ*
*ἐσθλὴ παραζευχθεῖσα καὶ σῴζει δόμους.*

Stob. Flor. 67, 8. *τοῦ αὐτοῦ* (*Εὐρ.*). '*οἰκοφθόρον — δόμους*'.

1042

*οὐ πάντες οὔτε δυστυχοῦσιν ἐν γάμοις*
*οὔτ' εὐτυχοῦσι· συμφορὰ δ' ὃς ἂν τύχῃ*
*κακῆς γυναικός, εὐτυχεῖ δ' ἐσθλῆς τυχών.*

Stob. Flor. 69, 3.

1043

*μακάριος ὅστις εὐτυχεῖ γάμον λαβὼν*
*ἐσθλῆς γυναικός, δυστυχεῖ δ' ὁ μὴ λαβών.*

Stob. Flor. 69, 5. cum vs. 1 cf. Men. mon. 614 sive Anecd. Boiss. 1 p. 157: *μακάριος ὅστις εὐτυχεῖ γενναῖος ὤν.*

1044

*ἐγὼ γὰρ ἕξω λέκτρα αὐτοῖς καλῶς ἔχειν*
*δίκαιόν ἐστιν οἷσι συγγηράσομαι.*

Stob. Flor. 71, 5. locus nondum emendatus. Valckenarius temptavit: A. *ἐγὼ παρέξω λέκτρα σοι καλῶς ἔχειν.* B. *δίκαιόν ἐστιν, οἷσι συγγηράσομαι.*

1045

*δεινὴ μὲν ἀλκὴ κυμάτων θαλασσίων,*
*δειναὶ δὲ ποταμῶν καὶ πυρὸς θερμοῦ πνοαί,*
*δεινὸν δὲ πενία, δεινὰ δ' ἄλλα μυρία,*
*ἀλλ' οὐδὲν οὕτω δεινὸν ὡς γυνὴ κακόν·*
*οὐδ' ἂν γένοιτο γράμμα τοιοῦτον γραφῇ*
*οὐδ' ἂν λόγος δείξειεν. εἰ δέ του θεῶν*
*τόδ' ἐστὶ πλάσμα, δημιουργὸς ὢν κακῶν*
*μέγιστος ἴστω καὶ βροτοῖσι δυσμενής.*

Stob. Flor. 73, 1. vs. 1—4 extant in Vita Aesopi ed. Westerm. p. 21, 5. vs. 1 *δεινὴ μὲν ἀλκὴ* Stob., *πολλαὶ μὲν ὀργαὶ* Vita Aesop. vs. 2 *ποταμῶν* Vita Aesop., *ποταμοῦ* Stob. vs. 4 *ἀλλ'*] *πλὴν* Vita Aesop. vs. 5 *γραφεῖ* malim.

1046

*μοχθοῦμεν ἄλλως θῆλυ φρουροῦντες γένος·*

*ἥτις γὰρ αὐτὴ μὴ πέφυκεν ἔνδικος,*
*τί δεῖ φυλάσσειν κἀξαμαρτάνειν πλέον;*

Stob. Flor. 74, 10. vs. 2 *ἔνδικος* B, *ἔνδον* A, *ενδοσ* MVind. *μὴ πέφυκε κοσμία* suasit Meinekius, *μὴ πέφυκε σωφρονεῖν* Cobetus. vs. 3 *φυλάσσοντ' ἐξαμαρτάνειν* malim.

1047

*γυναικὶ δ' ὄλβος, ἣν πόσιν στέργοντ' ἔχῃ.*

Stob. Flor. 74, 15.

1048

*ἀλλ' ἴσθ', ἐμοὶ μὲν οὗτος οὐκ ἔσται νόμος,*
*τὸ μὴ οὐ σὲ μῆτερ προσφιλῆ νέμειν ἀεὶ*
*καὶ τοῦ δικαίου καὶ τόκων τῶν σῶν χάριν.*
*στέργω δὲ τὸν φύσαντα τῶν πάντων βροτῶν*
*μάλισθ'· ὁρίζω τοῦτο, καὶ σὺ μὴ φθόνει·*
*κείνου γὰρ ἐξέβλαστον· οὐδ' ἂν εἷς ἀνὴρ*
*γυναικὸς αὐδήσειεν, ἀλλὰ τοῦ πατρός.*

Stob. Flor. 79, 27. vs. 6 *εἷς μ' ἀνὴρ* scripserim.

1049

*καὶ τῶν παλαιῶν πόλλ' ἔπη καλῶς ἔχει·*
*λόγοι γὰρ ἐσθλοὶ φάρμακον φόβου βροτοῖς.*

Stob. Flor. 81, 3. vs. 2 *φόβου*] *λύπης* aut *θυμοῦ* expectes, cf. Men. mon. 37: *θυμοῦ φάρμακον χρηστὸς λόγος.*

1050

*ἡ φύσις ἑκάστῳ τοῦ γένους ἐστὶν πατρίς.*

Stob. Flor. 87, 8 et Men. mon. 210. *πατρίς*] *πάρος* coniecit Bothius. Stobaei codices AM coniungunt hunc versum cum Epicharmi, si libris fides, loco: *οὐκ ἔστιν οὐδεὶς ἀποδεδειγμένος τόπος, ὃς ἢ πονηροὺς πάντας ἢ χρηστοὺς ποιεῖ.*

1051

*εἰ τοῖς ἐν οἴκῳ χρήμασιν λελείμμεθα,*

ἡ δ' εὐγένεια καὶ τὸ γενναῖον μένει.

Stob. Flor. 88, 1. vs. 1 εἴ] ἢ Voss. Trinc., ἦν AB, fortasse νῦν legendum. τῶν ἐν οἴκῳ χρημάτων Maehly.

1052

τὸν σὸν δὲ παῖδα σωφρονοῦντ' ἐπίσταμαι
χρηστοῖς θ' ὁμιλοῦντ' εὐσεβεῖν τ' ἠσκηκότα.
πῶς οὖν ἂν ἐκ τοιοῦδε σώματος κακὸς
γένοιτ' ἄν; οὐδεὶς τοῦτό μ' ἂν πίθοι ποτέ.

Stob. Flor. 88, 8. vs. 3 σώματος suspectum, λήματος Düntzer. ex Hippolyto priore locum petitum esse coniecit Monkius, e Phoenice (fr. 809, 9) Bergkius.

1053

οὐ γάρ τις οὕτω παῖδας εὖ παιδεύσεται,
ὥστ' ἐκ πονηρῶν μὴ οὐ κακοὺς πεφυκέναι.

Stob. Flor. 90, 3: τοῦ αὐτοῦ (Εὐρ.). 'οὐ — πεφυκέναι'.

1054

χρυσοῦ σὲ πλήθει, τούσδε δ' οὐ χαίρειν χρεών;
σκαιὸν τὸ πλουτεῖν κἄλλο μηδὲν εἰδέναι.

Stob. Flor. 93, 7: τοῦ αὐτοῦ (Εὐριπίδου). 'σκαιὸν — εἰδέναι' (vs. 2). vs. 1 et 2 om. p. nom. habet Plut. Mor. p. 20 D. vs. 2 σκαιὸν τὸ] σκαιόν γε Plut.

1055

ὅστις δὲ λύπας φησὶ πημαίνειν βροτούς,
δεῖν δ' ἀγχονῶν τε καὶ πετρῶν ῥίπτειν ἄπο,
οὐκ ἐν σοφοῖσίν ἐστιν, εὐχέσθω δ' ὅμως
ἄπειρος εἶναι τῆς νόσου ταύτης ἀεί.

Stob. Flor. 99, 4.

1056

λῦπαι γὰρ ἀνθρώποισι τίκτουσιν νόσους.

Stob. Flor. 99, 10. idem versus extat in Men. mon. 316, ubi *νόσον* aliquot libri praebent.

1057

*μέλλων τ᾽ ἰατρὸς τῇ νόσῳ διδοὺς χρόνον*
*ἰάσατ᾽ ἤδη μᾶλλον ἢ τεμὼν χρόα.*

Stob. Flor. 102, 2.

1058

*οὐ χρή ποτ᾽ ὀρθαῖς ἐν τύχαις βεβηκότα*
*ἕξειν τὸν αὐτὸν δαίμον᾽ εἰς ἀεὶ δοκεῖν·*
*ὁ γὰρ θεός πως, εἰ θεόν σφε χρὴ καλεῖν,*
*κάμνει ξυνὼν τὰ πολλὰ τοῖς αὐτοῖς ἀεί.*
*θνητῶν δὲ θνητὸς ὄλβος· οἱ δ᾽ ὑπέρφρονες*
*καὶ τῷ παρόντι τοὐπιὸν πιστούμενοι*
*ἔλεγχον ἔλαβον τῆς τύχης ἐν τῷ παθεῖν.*

Stob. Flor. 105, 8. vs. 7 *τῆς τύχης* Th. Gomperzius, *τὴν τύχην* libri.

1059

*βέβαια δ᾽ οὐδεὶς εὐτυχεῖ θνητὸς γεγώς.*

Stob. Flor. 105, 40. *εὐτυχεῖ θνητὸς* F. G. Schmidtius, *θνητὸς εὐτυχεῖ* libri.

1060

*θνητὸς γὰρ ὢν καὶ θνητὰ πείσεσθαι δόκει·*
*ἢ θεοῦ βίον ζῆν ἀξιοῖς ἄνθρωπος ὤν;*

Stob. Flor. 108, 15.

1061

*πάντων ἄριστον μὴ βιάζεσθαι θεούς,*
*στέργειν δὲ μοῖραν· τῶν ἀμηχάνων δ᾽ ἔρως*
*πολλοὺς ἔθηκε τοῦ παρόντος ἀμπλακεῖν.*

Stob. Flor. 108, 23. locus lemmate caret, sed teste Gaisfordo 'Euripidi tribuere videtur' codex Vind.

1062

πέπονθας οἷα χἄτεροι πολλοὶ βροτῶν·
τὰς γὰρ παρούσας οὐχὶ σῴζοντες τύχας
ὤλοντ' ἐρῶντες μειζόνων ἀβουλίᾳ.

Stob. Flor. 108, 25.

1063

ἀνδρῶν τάδ' ἐστὶν ἐνδίκων τε καὶ σοφῶν,
κἀν τοῖς κακοῖσι μὴ τεθυμῶσθαι θεοῖς.

Stob. Flor. 108, 43: Εὐριπίδου. 'ἀνδρῶν — θεοῖς'. vs. 2 τοῖς δεινοῖσι Stobaei libri, τοῖς κακοῖσι Plut. Mor. p. 116 F: καὶ ὁ τραγικὸς Αἰσχύλος 'ἀνδρῶν γάρ ἐστιν ἐναρέτων τε καὶ σοφῶν ἐν τοῖς κακοῖσι μὴ τεθυμῶσθαι θεοῖς'.

1064

οὐκ ἔστι λύπης ἄλλο φάρμακον βροτοῖς
ὡς ἀνδρὸς ἐσθλοῦ καὶ φίλου παραίνεσις·
ὅστις δὲ ταύτῃ τῇ νόσῳ ξυνὼν ἀνὴρ ....
μέθῃ ταράσσει καὶ γαληνίζει φρένα,
παραυτὰ δ' ἡσθεὶς ὕστερον στένει διπλᾶ.

Stob. Flor. 113, 5: τοῦ αὐτοῦ (Εὐρ.). 'οὐκ — διπλᾶ'. post vs. 3 quaedam excidisse videntur. vs. 5 παραυτίχ' ἡσθεὶς Gesner, παραύθ' ὅδ' ἡσθεὶς Dobr., παρ' αὐτὰ (παραυτὰ M) δ' ἡσθεὶς libri.

1065

ὦ γῆρας, οἵαν ἐλπίδ' ἡδονῆς ἔχεις,
καὶ πᾶς τις εἰς σὲ βούλετ' ἀνθρώπων μολεῖν·
λαβὼν δὲ πεῖραν μεταμέλειαν λαμβάνει,
ὡς οὐδὲν ἔστι χεῖρον ἐν θνητῷ γένει.

Stob. Flor. 116, 6: τοῦ αὐτοῦ (Εὐρ.). 'ὦ γῆρας — γένει'. vs. 2 βούλετ' ἀνθρώπων] ἕτοιμος ἀνθρώπων Elmsleius, βούλεται βροτῶν Meinekius. vs. 3 μεταμέλεια λαμβάνει Meinekius, μεταμέλειαν ἀλφάνει Heimsoethius.

1066

*τύμβῳ γὰρ οὐδεὶς πιστὸς ἀνθρώπων φίλος.*

Stob. Flor. 126, 1.

1067

*Ζεὺς γὰρ κακὸν μὲν Τρωσί, πῆμα δ' Ἑλλάδι*
*θέλων γενέσθαι ταῦτ' ἐβούλευσεν πατήρ.*

Strab. IV p. 183: *φθόρον Ἑλλήνων καὶ βαρβάρων — Εὐριπίδης ἀνήνεγκεν εἰς τὸν Δία· ʻΖεὺς — πατήρʼ.*

1068

*πολὺν μὲν ἄροτον, ἐκπονεῖν δ' οὐ ῥᾴδιον·*
*κοίλη γὰρ ὄρεσι περίδρομος τραχεῖά τε*
*δυσείσβολός τε πολεμίοις . . . .*
*. . . . . καλλίκαρπον . . .*
*κατάρρυτόν τε μυρίοισι νάμασι*
*καὶ βουσὶ καὶ ποίμναισιν εὐβοτωτάτην,*
*οὔτ' ἐν πνοαῖσι χείματος δυσχείμερον*
*οὔτ' αὖ τεθρίπποις ἡλίου θερμὴν ἄγαν*
*. . . . . . . . . . . . . . . .*
*γαίας Λακαίνης κύριον φαύλου χθονός*
*. . . . . . . . . . . . . . . .*
*ἀρετὴν ἐχούσης μεῖζον' ἢ λόγῳ φράσαι*
*. . . . . . . . . . . . . . . .*
*Παμισὸν εἰς θάλασσαν ἐξορμώμενον*
*. . . . . . . . . . . . . . . .*
*πρόσω . . ναυτίλοισιν . . . . . .*
*πρόσω δὲ βάντι ποταμὸν Ἦλις ἡ Διὸς*
*γείτων κάθηται.*

Strab. VIII p. 366: *περὶ δὲ τῆς φύσεως τῶν τόπων καὶ τούτων καὶ τῶν Μεσσηνιακῶν ταῦτα μὲν ἀποδεκτέον λέγοντος Εὐριπίδου· τὴν γὰρ Λακωνικὴν φησὶν ἔχειν ʻπολὺν — πολεμίοιςʼ* (vs. 1—3). *τὴν δὲ Μεσσηνιακὴν ʻκαλ-*

λίκαρπον κατάρρυτόν τε — ἄγαν' (vs. 4—8). καὶ ὑποβὰς τῶν πάλων φησὶν ὧν οἱ Ἡρακλεῖδαι περὶ τῆς χώρας ἐποιήσαντο τὸν μὲν πρότερον γενέσθαι 'γαίας — χθονός' (vs. 9), τὸν δὲ δεύτερον τῆς Μεσσήνης 'ἀρετὴν — φράσαι' (vs. 10), οἵαν καὶ ὁ Τυρταῖος φράζει. τὴν δὲ Λακωνικὴν καὶ τὴν Μεσσηνίαν ὁρίζειν αὐτοῦ φήσαντος 'Παμισὸν — ἐξορμώμενον' (vs. 11) οὐ συγχωρητέον. — οὐκ εὖ δὲ οὐδ' ὅτι τῆς Μεσσηνίας ὁμοίως ἐπιθαλαττιαίας οὔσης τῇ Λακωνικῇ, φησὶν αὐτὴν 'πρόσω ναυτίλοισιν' (vs. 12) εἶναι. ἀλλ' οὐδὲ τὴν Ἦλιν εὖ διορίζει 'πρόσω — γείτων κάθηται' (vs. 13 et 14). vs. 7 δυσχείμερον] δυσήνεμον malim. vs. 13 πρόσω] διὲκ Meinekius. vs. 14 κάθηται] καλεῖται olim suasi. Cresphontis esse locum coniecit Musgravius.

## 1069

ἥκω περίκλυστον προλιποῦσ' Ἀκροκόρινθον,
ἱερὸν ὄχθον, πόλιν Ἀφροδίτας

Strab. VIII p. 379: τοῦ δ' οὖν Εὐριπίδου φήσαντος οὕτως 'ἥκω — Ἀφροδίτας', τὸ περίκλυστον ἤτοι κατὰ βάθους δεκτέον κτέ. respicit Plut. Mor. p. 767 F: ἐπεὶ δὲ ἔρως ἔθιγεν αὐτῆς (Laidem dicit) Ἱππολόχου τοῦ Θεσσαλοῦ, ὕδατι χλωρῷ κατακλυζόμενον προλιποῦσ' Ἀκροκόρινθον καὶ ἀποδρᾶσα τῶν ἄλλων ἐραστῶν κρύφα μέγαν στρατὸν ᾤχετο. verba ὕδατι χλωρῷ aliunde Plutarchum sumpsisse coniecit Meinekius: recte idem iudicat verba illa exordium esse carminis parodici, chorumque ista canentem compositum fuisse aut ex hierodulis aut e mulieribus Corinthiacis.

## 1070

τὰς διωνομασμένας
ναίειν Κελαινὰς ἐσχάτοις Ἴδης τόποις.

Strab. XIII p. 616: ὁ δὲ Κάικος οὐκ ἀπὸ τῆς Ἴδης ῥεῖ, καθάπερ εἴρηκε Βακχυλίδης, οὔθ' ὡς (οὐδ' ὀρθῶς Meinekius) Εὐριπίδης τὸν Μαρσύαν φησὶ 'τὰς διωνομασμένας ναίειν — τόποις'. ναίειν Straboni deberi videtur, Euripides ναίει dixerit.

## 1071

*ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσιν βρύων.*

Suidas v. *Εὐριπίδειον ἔπος: ἔφη Εὐριπίδης 'ἄλλων — βρύων'*. eundem versum om. p. nom. afferunt Plut. Mor. p. 71 F p. 88 D p. 481 A p. 1110 E Galenus vol. 6 p. 307 (vol. 4 p. 266 ed. Basil., vol. 6 p. 139 Chart.) Flor. Monac. 142 p. 277, 24 Eust. Il. p. 887, 5. cf. Greg. Naz. vol. 1 p. 7 B: *ἢ τῆς παροιμίας μὴ πόρρω θέωμεν, ἄλλους ἰατρεύειν ἐπιχειροῦντες αὐτοὶ βρύοντες ἕλκεσι.* ubi verba Euripidea attulit Elias Cretensis p. 29 B.

## 1072

*εὐφημία γὰρ εὐκολώτατος πόνων.*

Suidas: *εὐφημία — ἡ ὄντως εὐσέβεια κοῦφόν ἐστι καὶ σωφροσύνης ἀνάπλεων καὶ ἥκιστα ἀλγεινόν. 'εὐφημία γὰρ — πόνων', ἤκουσάς που, ὦ παῖ Ἀρίστωνος, καὶ Εὐριπίδου· εὐφημία γὰρ παρὰ σπονδαῖσι κάλλιστον.*

## 1073

*ἀρχαῖον εἴρηκας . .*

Suidas: *παλαιγενές — τοὺς γὰρ εὐήθεις ἀρχαίους καὶ παλαιοὺς ἔλεγον. — καὶ Εὐριπίδης 'ἀρχαῖον εἴρηκας'. ἀντὶ τοῦ εὔηθες. 'εὐεργετῆσαι γὰρ τὸ σῶμ' οὐ βούλομαι'.* extrema verba cum praegressis non cohaerent, unde ducta sint ignoro.

## 1074

*σῶσαι γὰρ ὁπόταν τῷ θεῷ δοκῇ,*
*πολλὰς προφάσεις δίδωσιν εἰς σωτηρίαν.*

Theophil. ad Autol. 2, 8 p. 72: *καὶ πάλιν Εὐριπίδης 'σῶσαι — σωτηρίαν'.* vs. 1 *ὁπόταν τῷ θεῷ δοκῇ τινα* Grotius, an *ὁπόταν ἄνδρα τῷ θεῷ δοκῇ* leg.? vs. 2 *πολλὴν δίδωσι πρόφασιν* Grotius, *πολλὰς λαβὰς δίδωσιν* Meinekius, ego *προφάσεις καλὰς δίδωσιν* temptabam.

## 1075

*. . ου πάσχων· δρῶν γὰρ ἔχαιρες.*

Theophil. ad Autol. 2, 37 p. 176: *ὡσαύτως καὶ Εὐριπίδης* ‘*ἀνάσχου — ἔχαιρες*’. ‘*νόμου — κακῶς*’ (fr. 1076). *ἀνέχου* Heathius, fortasse *ἀνσχοῦ* praeferendum.

1076

*νόμου τὸν ἐχθρὸν δρᾶν, ὅπου λάβῃς, κακῶς.*

Theophil. ad Aut. 2, 37 p. 176, vide fr. 1075. *νόμος* Grotius. *λάβῃς* cod. Ven., *λάβῃ* al.

1077

*ἐχθροὺς κακῶς δρᾶν ἀνδρὸς ἡγοῦμαι μέρος.*

Theophil. ad Aut. 2, 37 p. 176: *καὶ πάλιν ὁ αὐτός* (*Εὐρ.*) ‘*ἐχθροὺς — μέρος*’.

1078

Tzetz. in Lycophr. 175: *κατὰ δὲ Εὐριπίδην ὅτι διωκομένη ἡ Θέτις ὑπὸ Πηλέως μετήλλαττεν ἑαυτὴν ὡς ὁ Πρωτεὺς εἰς διαφόρους ἰδέας.* ibid. v. 178: *ὁ δὲ Εὐριπίδης ἅπαξ φησὶ μιγῆναι Πηλέα τῇ Θέτιδι ἐν τῇ Σηπιάδι, καὶ ἕτεροι σὺν αὐτῷ.*

1079

Varro L. L. 7, 82: *apud Ennium* ‘*Andromachae nomen qui indidit, recte indidit*’. *imitari dum voluit Euripidem et ponere ἔτυμον, est lapsus. nam Euripides quod Graeca posuit, ἔτυμα sunt aperta. ille ait, ideo nomen additum Andromachae, quod ἀνδρὶ μάχεται. hoc Ennii quis potest intellegere viro adversam significare —?*

1080

*αἱμύλη*

Anecd. Bekk. p. 363, 3: *αἱμύλος — Εὐριπίδης δὲ καὶ αἱμύλη εἶπε θηλυκῶς.* Aesch. Prom. 206: *αἱμύλας δὲ μηχανάς.*

1081

*ἀμβλυωπός*

Pollux 2, 51: *ἀμβλυωπία, ἀφ᾽ ἧς ἀμβλυωπός παρ᾽ Εὐ-*

ριπίδῃ. an ἀμβλῶπες legendum? Rhes. 737: ἀμβλῶπες αὐγαί.

1082

*ἀπάγου*

Anecd. Bekk. p. 414, 15: *ἀπάγου· ἀντὶ τοῦ πρὸς σαυτον ἄπαγε. Εὐριπίδης.* cf. Suidas v. *ἀπάγου* et Zon. Lex. p. 283.

1083

*ἐμβριμώμενος*

Etym. Gud. p. 183, 27: *ἐμβριμώμενος· ἐπιτιμῶν — κεῖται δὲ ἡ λέξις ἐν τῷ Εὐριπίδῃ.* Aeschylus dixit *ἵππους δ' ἐν ἀμπυκτῆρσιν ἐμβριμωμένας* Sept. 461.

1084

*εὐπαιδευσία*

Pollux 9, 161: *καὶ ἡ παρ' Εὐριπίδῃ εὐπαιδευσία.*

1085

*θυστάς*

Schol. Aeschyl. Sept. 269: *θυστάδος] τῆς παρὰ ταῖς θυσίαις γινομένης, ἀφ' ἧς ἐνίοτε καὶ ἡ Βάκχη. σημαίνει γὰρ καὶ τοῦτο καὶ τὴν καθαρὰν ἐσθῆτα, ὡς παρ' Εὐριπίδῃ.*

1086

*βάσκανον μέγιστον ψυχαγωγόν*

Lex. Vindob. Ψ, 6 p. 195, 3: *ψυχαγωγὸς ὁ ἀνδραποδιστής. Εὐριπίδης ʻβάσκανον μέγιστον ψυχαγωγόν'.* Euripidis mentionem olim rettuli ad Alc. 1128: *οὐ ψυχαγωγὸν τόνδ' ἐποιήσω ξένον.*

1087

*Ξάνθιος*

Steph. Byz. v. *Ξάνθος* p. 480, 18: *ἔστι καὶ Ξάνθος πόλις ἐν Λέσβῳ· ὁ πολίτης Ξάνθιος, ὡς Εὐριπίδης.*

1088

*ξενοφόνον*

Pollux 3, 58: *ξεναπάτην δὲ Εὐριπίδης εἴρηκε* (fr. 669) *καὶ ξενοφόνον.* fortasse leg. *ξενοφονεῖν*, quod extat Iph. T. 1021.

1089

*ἐπροξένει*

Anecd. Paris. vol. 4 p. 114, 12: *λέγουσι δὲ καὶ ἠγγύησε καὶ κατηγγύησε. καὶ Εὐριπίδης ἐπροξένει, καὶ Ἀριστοφάνης.*

1090

*ῥαχίζειν*

Phot. Lex. p. 482, 1: *ῥακχίζειν· τὸ διαιρεῖν τὰ μέρη τῆς ῥάχεως, ἤτοι διακόπτειν, ὡς φησὶ παρ' Εὐριπίδῃ.* eadem Anecd. Bachm. vol. 1 p. 357, 25 (ubi *ῥακχίζων* ed.) et Anecd. Paris. 4 p. 174, 21 (ubi *ῥαχίζειν*). similiter Cyrillus in Anecd. Paris. vol. 4 p. 199, 31 et Suidas: *ῥαχίζειν· τὸ διαιρεῖν τὰ μέρη τῆς ῥάχεως, ἤτοι διακόπτειν, ὡς φησὶν Εὐριπίδης.*

1091

*χνοῦν*

Anecd. Bachm. vol. 1 p. 418, 24: *χνοῦν· τὸ λεπτὸν τοῦ ἀχύρου. Ἀριστοφάνης. Ευριπίδης δὲ θηλυκῶς τὴν χνοῦν.*

# FRAGMENTA DVBIA ET SPVRIA

1092

*ἄρχεσθαι χρεὼν*
*κακοὺς ὑπ' ἐσθλῶν καὶ κλύειν τῶν κρεσσόνων.*

Stob. Flor. 44, 1: *Εὐριπίδου* (sic Trinc., lemma om. AMVind.). '*ἄρχεσθαι — κρεσσόνων*'. vs. 2 *κρεισσόνων* Valck. recte, dummodo Euripidis sit locus.

1093

*νῦν εὐσέληνον φέγγος ἡ διφρήλατος*

Argum. Eur. Rhes.: *πρόλογοι δὲ διττοὶ φέρονται* (in Eu-

ripidis Rheso). ὁ γοῦν Δικαίαρχος ἐκτιθεὶς τὴν ὑπόθεσιν τοῦ Ῥήσου γράφει κατὰ λέξιν οὕτως ‘νῦν — διφρήλατος’. ἐν ἐνίοις δὲ τῶν ἀντιγράφων ἕτερός τις φέρεται πρόλογος πεζὸς πάνυ καὶ οὐ πρέπων Εὐριπίδῃ· καὶ τάχα ἄν τινες τῶν ὑποκριτῶν διεσκευακότες εἶεν αὐτόν. ἔχει δὲ οὕτως ‘ὦ τοῦ — ἐκτετριμμένην’ (fr. 1094).

## 1094

ὦ τοῦ μεγίστου Ζηνὸς ἄλκιμον τέκος
Παλλάς, τί δρῶμεν; οὐκ ἐχρῆν ἡμᾶς ἔτι
μέλλειν Ἀχαιῶν ὠφελεῖν στρατεύματα.
νῦν γὰρ κακῶς πράσσουσιν ἐν μάχῃ δορὸς
λόγχῃ βιαίως Ἕκτορος στροβούμενοι.
ἐμοὶ γὰρ οὐδέν ἐστιν ἀλγέων ἄκος,
ἐξ οὗτ’ ἔκρινε Κύπριν Ἀλέξανδρος θεὰν
κάλλει προήκειν τῆς ἐμῆς εὐμορφίας
καὶ σῆς, Ἀθάνα, φιλτάτης ἐμοὶ θεῶν,
εἰ μὴ κατασκαφεῖσαν ὄψομαι πόλιν
Πριάμου βίᾳ πρόρριζον ἐκτετριμμένην.

Argum. Eur. Rhes., vide fr. 1093. vs. 2 τί δρῶμεν Morstadtius, παρῶμεν libri.

## 1095

ἀγοραῖος νοῦς

Anecd. Bekk. p. 339, 10: ἀγοραῖος νοῦς· ὁ πάνυ εὐτελὴς καὶ συρφετώδης οὐδὲ πεφροντισμένος· οἱ γὰρ ἀγοραῖοι ἄνθρωποι ἀμαθεῖς καὶ ἀπαίδευτοι. οὕτως Εὐριπίδης. potius οὕτως Ἀριστοφάνης (Com. vol. 2 p. 1142) dicendum fuisse suspicatur Meinekius.

## 1096

θράσει μὲν οὐδεὶς οὐδέπω, πόνῳ δὲ καὶ γενναιότητι καὶ ἐπιεικείᾳ ἀρετὴν ἐπεκτήσατο.

Anonymus Anecd. Oxon. vol. 4 p. 254, 19: Εὐριπίδου.

'*θράσει — ἐπεκτήσατο*'. Theocrito locum tribuit Arsenius p. 458, 17, sed ibi pro *Θεοκρίτου* leg. *Θεοκτίστου*, cf. Theoctisti sent. in Orellii Opusc. sent. vol. 1 p. 404.

1097

*ἡδονὴ πανταχοῦ ἐστι καὶ πάντα δι' ἡδονῆς γίνεται.*

Anecd. Oxon. vol. 4 p. 316, 15: *λιγυρῶς δὲ οὐ λέγω ἡδέως κατὰ τὸν Εὐριπίδην* '*ἡδονὴ — γίνεται*', *ἀλλὰ λιγὺ τὸ ὀξύ*. Schneidewinus Coni. crit. p. 110 proposuit: *ἡδονὴ δὲ πανταχοῦ 'στι πάντα καὶ δι' ἡδονῆς | γίγνεται.* mihi obscurum est quid verba *ἡδονὴ — γίνεται* hoc loco sibi velint.

1098

Eusebius Chron. can. p. 277 sive Georgius Syncellus Chronogr. p. 283, 6: *Εὐριπίδης δὲ τὸν Ἄτλαντα ὄρος εἶναι φησὶν ὑπερνεφές.* Cosmas Hieros. in Greg. Naz. Maii Spicil. vol. 2 p. 162: *Εὐριπίδης δὲ ὁ τραγικὸς ὄρος ὑπερνέφελον ἔφησε τὸν Ἄτλαντα.* fortasse respicitur Eur. Ion. 1.

1099

*κακᾶν βίων διαγωγήν*

Gregorii Cor. codex Paris. 2678 ed. Schaef. p. 226: *γενικὰς τῶν πληθυντικῶν τὰς εἰς ΩΝ ληγούσας διὰ τοῦ ΑΝ προφέρουσιν οἱ Δωριεῖς, μουσᾶν λέγοντες ἀντὶ τοῦ μουσῶν, ὡς καὶ Σοφοκλῆς ἐν Αἴαντι ἁλιαδᾶν, καὶ Εὐριπίδης* '*κακᾶν βίων διαγωγήν*', *ἀντὶ τοῦ ἁλιαδῶν καὶ κακῶν βίων.* Sophocleum *ἁλιαδᾶν* legitur Ai. 880, de Euripide quae traduntur aut ficta sunt aut corrupta.

1100

Lactantius Instit. 5, 15, 11: *neque enim falsa est illa sententia quae apud Euripidem fertur in hunc modum* '*quae hic mala putantur, haec sunt in caelo bona*'. Euripidis nomen mihi suspectum est.

## 1101

Macar. 6, 83: *ὀχληρὸς δὲ ξένος ὄψιος μολών· αὕτη Εὐριπίδου ἐστίν.* Leutschius conicit respici Eur. Alc. 540: *λυπουμένοις ὀχληρός, εἰ μόλοι ξένος.*

## 1102

Olympiod. in Plat. Alcib. pr. p. 45 sq.: *οὗτος (Ξέρξης) γὰρ οὐ μόνον κατὰ ἀνθρώπων, ἀλλὰ καὶ κατὰ τῆς φύσεως αὐτῆς καὶ τῶν στοιχείων ἐπήρετο καὶ ὥς φησιν Εὐριπίδης, ὅτι θάλατταν μὲν ἐπέζευξε.* Aeschyli locum Pers. 72 Olympiodorus spectasse videtur. certe non debebat ex h. l. concludi Euripidis esse timetros a Plut. Mor. p. 110 D traditos.

## 1103

Olympiod. in Plat. Alcib. pr. p. 166 sq.: *ἀλλα καὶ φιλογυμναστίαν ἤσκουν παρὰ τὸν Εὐρώταν κοινῶς ἄνδρες καὶ γυμναζόμενοι* (l. *ἄνδρες καὶ γυναῖκες γυμναζόμενοι*). respici videtur Eur. Andr. 595 sqq.

## 1104

*ὦ Ζεῦ πανόπτα καὶ κατόπτα πανταχοῦ*

Aristoph. Ach. 435: *ὦ Ζεῦ διόπτα καὶ κατόπτα πανταχῇ.* haec verba ut alia multa ibidem ex Euripide adumbrata esse suspicatur Meinekius coll. anonymo de Arati interpr. in Petavi Vranol. p. 275 C: *μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί· ὅτι καὶ οἱ ποιηταὶ πανόπτην καλοῦσι πανταχοῦ. ὦ Ζεῦ πανόπτα. καὶ ἥλιος ὃς πάντ' ἐφορᾷς.* ubi scribendum esse arbitratur *πανόπτην καλοῦσιν· 'ὦ Ζεῦ πανόπτα καὶ κατόπτα πανταχοῦ' καὶ 'ἥλιος ὃς πάντ' ἐφορᾷς'.*

## 1105

Anecd. Bekk. p. 338, 14: *ἄγλαι· ὄμμα. Εὐριπίδης.* locus corruptus: legendum videtur *ἀγλάισμα*, quo vocabulo saepius utitur Euripides.

## 1106

Anecd. Bekk. p. 383, 8: *ἀλίαστον· τὸ μάταιον. Εὐριπίδης. ἔστι δὲ τὸ ἀνέγκλητον, ὃ οὐκ ἔστι φυλάξασθαι, κατὰ ἀπόφασιν.* interpretatio aut inepta aut corrupta; pro *ἀνέγκλητον* temptabam *ἀνέγκλιτον* vel *ἀνέκκλιτον*, quid sit *τὸ μάταιον* ignoro. fortasse respicitur Eur. Hec. 85: *κοὔποτ' ἐμὰ φρὴν ὧδ' ἀλίαστος* (conieci *ἀλίαστον*) *φρίσσει ταρβεῖ.*

## 1107

*ἀλλήλων*

Anecd. Bekk. p. 378, 13: *ἀλλήλων ἀντὶ τοῦ ἑαυτῶν. οὕτως Εὐριπίδης.* eadem Suidas v. *ἀλλήλων* et Philem. Osanni p. 19. observationem perversam notavit Bernhardy.

## 1108

*βάσκανος*

Etym. M. p. 190, 23: *βάσκανος — ὁ φθονερὸς καὶ βλαβερός. οὕτως Ἀριστοφάνης.* [*οὕτως Εὐριπίδης.*] *Φερεκράτης δὲ ἐπὶ τοῦ λυπηροῦ.* verba *οὕτως Εὐριπίδης* om. codex Voss.

## 1109

*ἔρρ' ἰών*

Phot. Lex. p. 17, 11: *ἔρριον· εἰς φθοράν. Εὐριπίδης.* cf. Hesych.: *ἔρριον· εἰς φθόρον, εἰς ὄλεθρον.* pro *ἔρριον* Blomfieldus coniecit *ἔρρ' αἰθέριον* ex Eur. Andr. 830, *ἔρρ' ἰών* Meinekius.

## 1110

*ζύγαστρον*

Phot. Lex. p. 54, 12: *ζύγαστρον· κιβωτός, κυρίως δὲ ἡ ξυλίνη σορός, παρὰ τὸ ἐζυγῶσθαι. οὕτως Εὐριπίδης.* fortasse respicitur Eur. Ion. 32, ubi pro *αὐτῷ σὺν ἄγγει* proposui *αὐτῷ ζυγάστρῳ.*

## 1111

*κρυπταί*

Ar. Thesm. 600: *κρυπτὸς ἐγκαθήμενος.* ubi Schol.: *ἀντὶ τοῦ κεκρυμμένος. καλοῦνται μὲν γὰρ καὶ κρύπται* (*κρύπτειαι* vel potius *κρυπτεῖαι* Bernhardy) *παρὰ Πλάτωνι*

τῷ φιλοσόφῳ καὶ παρ' Εὐριπίδῃ καὶ ἐν ταῖς τῶν Λακεδαιμονίων πολιτείαις. καὶ ἐν Θάσῳ ἀρχή τις κρύπτεται (κρυπτεῖαι Fritzschius, κρυπτευταί Bernh.). Euripidis mentio iam Dindorfio suspecta fuit; fortasse legendum καὶ παρ' Ἀριστοτέλει ἐν ταῖς τῶν Λακ. π., cf. Mülleri Fragm. Hist. vol. 2 p. 129.

1112

περιδῦσαι

Pollux 7, 44: ἀποδῦσαι καὶ ἀπολωπίσαι, ὡς Σοφοκλῆς, καὶ περιλωπίσαι, ὅπερ Ὑπερίδης (Εὐριπίδης C) περιδῦσαι εἴρηκεν.

1113

Phot. Lex. p. 421, 22: περισο· περιπέρειν. Εὐριπίδης. vide quae de hoc loco disputavit Naber in Phot. Lex. Proleg. p. 52.

1114

Schol. Phleg. Trall. Mirab. c. 3 p. 48 Franz.: μεταξὺ Σουσιανῆς καὶ Βακτριανῆς τόπος ἔστι Καταστίγωνα, ὅπερ Ἑλληνιστὶ νῆσον δηλοῖ. ἐνταῦθα δὲ ἵπποι διάφοροι γίνονται· εἰσὶ δὲ πᾶσαι ξανθαί. ὁ δὲ Εὐριπίδης πρὸς τῇ ἐρυθρᾷ θαλάσσῃ τὴν Νησαῖαν φησὶν εἶναι. Euripidis mentionem ad Dictyem referri iussit Vnger Theb. Parad. p. 376 coll. Suid. v. ἵππος Νισαῖος, cuius glossae initium cum scholio allato fere consentit, post διάφοροι γίνονται autem haec extant: οἳ δὲ ἀπὸ ἐρυθρᾶς θαλάσσης· εἶναι δὲ ξανθὰς πάσας. ὁ δὲ Ἡρόδοτος τῆς Μηδίας εἶναι τὸν τόπον Νίσαιον. ὁ δὲ Πολέμων κακῶς φησὶ λευκὸν ἵππον Νισαῖον. ἐν δὲ Δίκτυι Ὀρφεὺς λέγει· ἡ Νίσα τόπος ἐστὶν ἐν ἐρυθρᾷ θαλάσσῃ. fortasse Euripides dixit Νησαίας ἵππους (hanc enim glossam praebent Photius Lex. p. 299, 2 et Hesychius), fortasse ὁ δὲ Εὐριπίδης errori debetur sive librariorum sive auctoris.

1115

θεὸν δὲ ποῖον, εἰπέ μοι, νομιστέον;
τὸν πάνθ' ὁρῶντα καὐτὸν οὐχ ὁρώμενον.

Clem. Alex. Protr. p. 59: 'θεὸν — ὁρώμενον', Εὐριπίδης λέγει. eosdem versus Philemoni tribuit Iustinus M. de

monarchia c. 2. Christiani hominis esse recte iudicat Meinekius. vs. 1 *νοητέον* Clem., *νομιστέον* Iust.

## 1116

*ποῖος δ' ἂν οἶκος τεκτόνων πλασθεὶς ὕπο*
*δέμας τὸ θεῖον περιβάλοι τοίχων πτυχαῖς;*

Clemens Alex. Strom. V p. 691: *παγκάλως τοίνυν ὁ Εὐριπίδης συνᾴδει τούτοις γράφων ‘ποῖος — πτυχαῖς’.* vide quae dixit Meinekius Com. 4 p. 67.

## 1117

ΕΡΜΗΣ. *Δόμοι μὲν οἵδ' εὔπυργά τ' ἐρύματα χθονὸς*
*οὐκ ἐν πολυχρύσοισιν ἤσκηται χλιδαῖς·*
*ἀρχὴν δὲ τῶνδε καὶ θεῶν ἱδρύματα*
*Ἀκρίσιος εἴληχεν, τύραννος τῆσδε γῆς·*
*Ἕλλησι δ' Ἄργος ἡ πόλις κικλήσκεται.*
*οὗτος δ' ἔρωτι παιδὸς ἄρσενος σχεθεὶς*
*Πυθῶδ' ἀφῖκτο, καὶ λέγει Φοίβῳ τάδε·*
*πῶς ἂν γένοιτο σπέρμα παιδὸς ἐν δόμῳ,*
*τίνος θεῶν βροτῶν τε πρευμενοῦς τυχών;*
*κεῖνος δὲ δυσξύμβλητον ἐξήνεγκ' ὄπα·*
*ἔσται μὲν ἔσται παιδὸς ἄρσενος τόκος*
*οὐκ ἐξ ἐκείνου· πρῶτα γὰρ θῆλυν σπορὰν*
*φῦσαι δεήσει. κατά πως κείνη ποτὲ*
*εὐνὴν κρυφαίαν γνοῦσα καὶ μὴ γνοῦσα δὴ*
